11 Ὅταν δὲ ἐμβῆκεν ὁ βασιλεὺς διὰ νὰ ἴδῃ τοὺς καθισμένους εἰς τὸ τραπέζι, εἶδεν ἐκεῖ ἄνθρωπον, ποὺ δὲν ἐφοροῦσεν ἔνδυμα γάμου. Δὲν εἶχε δηλαδὴ μαζί μὲ τὴν πίστιν καὶ τὸν καρπὸν τῆς πίστεως, τουτέστι τὰς ἀρετάς.

12 καὶ λέγει αὐτῷ· ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; ὁ δὲ ἐφιμώθη.

12 Καὶ λέγει εἰς αὐτόν· Φίλε, πῶς ἐμβῆκες ἐδῶ, χωρὶς νὰ ἔχῃς ἔνδυμα γάμου; Εὔκολον ἦτο νὰ ἀπευθυνθῇς εἰς τὴν ὑπηρεσίαν μου καὶ νὰ σοῦ προμηθεύσῃ τοιοῦτον. Αὐτὸς δὲ ἀπεστομώθη.

13 τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις· δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας ἄρατε αὐτὸν καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

13 Τότε εἶπεν ὁ βασιλεὺς εἰς τοὺς ὑπηρέτας· Ἀφοῦ τοῦ δέσετε χέρια καὶ πόδια, πάρτε τον καὶ ρίψατέ τον ἔξω εἰς τὸ σκότος τὸ πιὸ βαθύ, ποὺ εἶναι μακρυὰ ἀπὸ τὴν βασιλείαν τοῦ Θεοῦ. Ἐκεῖ θὰ εἶναι ὁ κλαυθμὸς καὶ τὸ τρίξιμο τῶν δοντιῶν.

14 πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

14 Διότι πολλοὶ εἶναι οἱ καλεσμένοι εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ὀλίγοι ὅμως εἶναι ἐκλεκτοί, ποὺ ἔχουν τὰς ἀρετάς, καὶ θὰ κληρονομήσουν τὴν βασιλείαν αὐτήν.

Στίχ. 15-46. Αἱ πονηραὶ ἐρωτήσεις τῶν Φαρισαίων καὶ αἱ θαυμασταὶ ἀποκρίσεις τοῦ Κυρίου.

15 Τότε πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ.

15 Τότε ἀφοῦ ἐπῆγαν οἱ Φαρισαῖοι εἰς τὸν τόπον τῶν συσκέψεών τους, συνεφώνησαν νὰ τὸν πιάσουν εἰς παγίδα μὲ λόγον.

[8-10]) η΄ 11. ι΄ 5 - 7. ιγ΄ 31. 32. 41. κα΄ 43. κη΄ 19. Λκ. ιδ΄ 21 - 24. Πρ. α΄ 8. β΄ 39. ιγ΄ 46. Ἐφ. β΄ 11 - 13. [11-14]) η΄ 12. ιγ΄ 30. 38 - 42. 48 - 50. ιη΄ 2 - 4. Ἀπ. ιθ΄ 8. 9. [15-20]) Μρ. γ΄ 6. ιβ΄ 13 - 16. Λκ. ια΄ 53. 54. κ΄ 20 - 24. Γλ. β΄ 6.

16 καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρῳδιανῶν λέγοντες· διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων·

16 Καὶ τοῦ ἀποστέλλουν τοὺς μαθητάς των μαζί μὲ ἐκείνους, ποὺ ἀνῆκον εἰς τὸ κόμμα τοῦ Ἡρῴδου, καὶ τοῦ εἶπαν· Διδάσκαλε, γνωρίζομεν, ὅτι εἶσαι εἰλικρινὴς καὶ ἀληθὴς καὶ διδάσκεις μὲ τὴν ἀλήθειαν καὶ χωρὶς ψέματα τὸν δρόμον τοῦ Θεοῦ καὶ δὲν σὲ μέλει γιὰ τίποτε· διότι δὲν ἐπηρεάζεσαι ἀπὸ σκέψεις καὶ ἰδέας ἀνθρώπων, οὔτε χαρίζεσαι εἰς πρόσωπα.

17 εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ; ἔξεστι δοῦναι κῆνσον Καίσαρι ἢ οὔ;

17 Εἰπέ μας λοιπόν, ποίαν γνώμην ἔχεις; Ἐπιτρέπεται ἢ δὲν ἐπιτρέπεται νὰ δώσωμεν κεφαλικὸν φόρον εἰς τὸν Καίσαρα καὶ νὰ ἀναγνωρίσωμεν ἔτσι ὅτι εἴμεθα ὑποτελεῖς καὶ δοῦλοι τοῦ Καίσαρος; Ἐσκόπευαν δὲ οἱ Φαρισαῖοι ἢ νὰ κινήσουν κατ' αὐτοῦ τὴν ὀργὴν τοῦ πλήθους, ἐὰν ἐπέτρεπε τὴν πληρωμὴν τοῦ φόρου, ἢ νὰ τὸν καταγγείλουν διὰ τῶν Ἡρῳδιανῶν ὡς ἐπαναστάτην, ἐὰν ἀπηγόρευε τὴν πληρωμὴν τοῦ φόρου.

18 γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν εἶπε· τί με πειράζετε, ὑποκριταί;

18 Ὁ Ἰησοῦς ὅμως ἀντελήφθη τὴν πονηρίαν τους καὶ εἶπε· διατί μὲ ἐκθέτετε εἰς πειρασμόν, ὦ ὑποκριταί;

19 ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου. οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον.

19 Δείξατέ μου τὸ νόμισμα, μὲ τὸ ὁποῖον πληρώνεται ὁ φόρος. Αὐτοὶ δὲ τοῦ ἔφεραν ἕνα δηνάριον, τὸ ὁποῖον ὡς νόμισμα ρωμαϊκὸν ἔφερεν ἐπάνω τὴν εἰκόνα καὶ τὴν ἐπιγραφὴν τοῦ Καίσαρος.

20 καὶ λέγει αὐτοῖς· τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή;

20 Καὶ τότε δεικνύων τὸ νόμισμα τοὺς λέγει· Ποίου εἶναι αὐτὴ ἡ εἰκόνα καὶ ἡ ἐπιγραφή;

21 λέγουσιν αὐτῷ· Καίσαρος. τότε λέγει αὐτοῖς· ἀπόδοτε οὖν τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ.

21 Λέγουν εἰς αὐτόν· τοῦ Καίσαρος. Τότε τοὺς εἶπε· Δώσατε λοιπὸν ὀπίσω εἰς τὸν Καίσαρα ἐκεῖνα, ποὺ ἀνήκουν εἰς τὸν Καίσαρα· καὶ εἰς τὸν Θεὸν δώσατε ἐκεῖνα, ποὺ ἀνήκουν εἰς τὸν Θεόν. Εἰς τὸν Καίσαρα καὶ εἰς τοὺς ἄρχοντας ἀνήκουν οἱ φόροι καὶ ὁ σεβασμὸς καὶ ἡ ὑποταγὴ εἰς τοὺς νόμους, ἐφ' ὅσον δὲν παραβλάπτουν ταῦτα τὴν εὐσέβειαν. Ἡ ψυχή σας ὅμως καὶ ὁλόκληρον τὸ ἐσωτερικόν σας καὶ ὁ ἑαυτός σας ὅλος ἀνήκουν εἰς τὸν Θεόν.

22 καὶ ἀκούσαντες ἐθαύμασαν, καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.

22 Καὶ ὅταν ἤκουσαν τὴν ἀπάντησιν, ἐθαύμασαν καὶ ἀφοῦ τὸν ἄφησαν, ἔφυγαν.

23 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ λέγοντες μὴ εἶναι ἀνάστασιν, καὶ ἐπηρώτησαν αὐτὸν

23 Κατ' ἐκείνην τὴν ἡμέραν τὸν ἐπλησίασαν οἱ Σαδδουκαῖοι, οἱ ὁποῖοι ἔλεγαν, ὅτι δὲν ὑπάρχει ἀνάστασις νεκρῶν, καὶ τὸν ἠρώτησαν

24 λέγοντες· διδάσκαλε, Μωσῆς εἶπεν, ***ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.***

24 λέγοντες· Διδάσκαλε, ὁ Μωϋσῆς εἶπεν· Ἐὰν κανεὶς ἀποθάνῃ χωρὶς νὰ ἀποκτήσῃ παιδιά, πρέπει νὰ νυμφευθῇ ὁ ἀδελφός του τὴν γυναῖκα του καὶ νὰ γεννήσῃ ἀπόγονον εἰς τὸν ἀδελφόν του.

[21-22]) Ἐξ. κβ΄ 28. Μτ. ιζ΄ 25 - 27. Μρ. ιβ΄ 17. Λκ. κ΄ 25. 26. Ῥμ. ιγ΄ 1 - 7. Ττ. γ΄ 1. 1 Πτ. β΄ 13 - 15. [23]) Μρ. ιβ΄ 18. Λκ. ιδ΄ 14. κ΄ 27. Πρ. κγ΄ 6 - 8. κδ΄ 15. [24-28]) Γν. λη΄ 8. Δτ. κε΄ 5. 6. Ῥθ. δ΄ 5 - 7. Μρ. ιβ΄ 19 - 23. Λκ. κ΄ 28 - 33.

25 ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησε, καὶ μὴ ἔχων σπέρμα ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ·

25 Ἦσαν δὲ μεταξύ μας ἑπτὰ ἀδελφοί. Καὶ ὁ πρῶτος, ἀφοῦ ἦλθεν εἰς γάμον, ἀπέθανε καὶ ἐπειδὴ δὲν εἶχε παιδιά, ἀφῆκε τὴν γυναῖκα του εἰς τὸν ἀδελφόν του·

26 ὁμοίως καὶ ὁ δεύτερος καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά.

26 Κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ δεύτερος καὶ ὁ τρίτος ἐνυμφεύθησαν τὴν αὐτὴν γυναῖκα, μέχρις οὗ καὶ οἱ ἑπτὰ ἔλαβον αὐτήν.

27 ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή.

27 Ὕστερον δὲ ἀπὸ ὅλους ἀπέθανε καὶ ἡ γυνή.

28 ἐν τῇ οὖν ἀναστάσει τίνος τῶν ἑπτὰ ἔσται ἡ γυνή; πάντες γὰρ ἔσχον αὐτήν.

28 Κατὰ τὴν ἀνάστασιν λοιπὸν ποίου σύζυγος ἐκ τῶν ἑπτὰ θὰ εἶναι ἡ γυνή; Διότι ὅλοι τὴν εἶχαν γυναῖκα.

29 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ.

29 Ὁ δὲ Ἰησοῦς ἀπεκρίθη καὶ τοὺς εἶπε· Πλανᾶσθε καὶ δὲν γνωρίζετε οὔτε τὰς Γραφάς, αἱ ὁποῖαι δὲν ὑποστηρίζουν ὑλιστικὰς καὶ παχυλὰς ἀντιλήψεις περὶ ἀναστάσεως, ὅπως φαντάζεσθε τὴν ἀνάστασιν σεῖς, οὔτε τὴν δύναμιν τοῦ Θεοῦ, διὰ τὴν ὁποίαν τίποτε δὲν εἶναι ἀδύνατον ἢ δύσκολον.

30 ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς ἄγγελοι Θεοῦ ἐν οὐρανῷ εἰσι.

30 Πλανᾶσθε δὲ καὶ δὲν ἐννοεῖτε τὸ ἀληθὲς νόημα τῶν Γραφῶν, διότι δὲν ξεύρετε, ὅτι εἰς τὴν ἀνάστασιν οὔτε οἱ ἄνδρες ἔρχονται εἰς γάμον, οὔτε αἱ γυναῖκες δίδονται εἰς γάμον, ἀλλ' εἶναι ὅλοι σὰν ἄγγελοι Θεοῦ εἰς τὸν οὐρανόν.

31 περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Θεοῦ λέγοντος,

31 Διὰ τὴν ἀνάστασιν δὲ τῶν νεκρῶν δὲν ἀνεγνώσατε ἐκεῖνο, ποὺ σᾶς ἐλέχθη ἀπὸ τὸν Θεόν, ὁ ὁποῖος εἰς καιρόν, ποὺ πρὸ πολλοῦ εἶχον ἀποθάνει οἱ τρεῖς πατριάρχαι, εἶπεν·

*32 **ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ;** οὐκ ἔστιν ὁ Θεὸς Θεὸς νεκρῶν, ἀλλὰ ζώντων.*

32 Ἐγὼ εἶμαι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ; Δὲν εἶναι ὁ Θεός, Θεὸς νεκρῶν, ποὺ κατάντησαν εἰς ἀνυπαρξίαν, ὅπως φαντάζεσθε σεῖς, ἀλλ' εἶναι Θεὸς ζωντανῶν. Καὶ οἱ πατριάρχαι λοιπόν, μολονότι εἶναι πεθαμένοι, ζοῦν.

33 καὶ ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

33 Καὶ ὅταν ἤκουσαν αὐτὰ τὸ πλῆθος τοῦ λαοῦ ἐκυριεύθησαν ἀπὸ ἔκπληξιν καὶ βαθὺν θαυμασμὸν διὰ τὴν διδαχήν του.

34 Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες ὅτι ἐφίμωσε τοὺς Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό,

34 Οἱ δὲ Φαρισαῖοι, ὅταν ἤκουσαν, ὅτι ἀπεστόμωσε τοὺς Σαδδουκαίους, ἐμαζεύθησαν εἰς τὸ αὐτὸ μέρος ὅπου ἦτο καὶ ὁ Ἰησοῦς μετὰ τῶν Σαδδουκαίων,

35 καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν, νομικός, πειράζων αὐτὸν καὶ λέγων·

35 καὶ ἕνας ἀπὸ αὐτοὺς νομοδιδάσκαλος ἠρώτησε δοκιμάζων αὐτόν, σὰν ποίαν ἀπόκρισιν θὰ ἔδιδε, καὶ λέγων·

36 διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ;

36 Διδάσκαλε, ποία ἐντολὴ εἶναι ἡ πιὸ μεγάλη μέσα εἰς τὸν νόμον;

*37 ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· **ἀγαπήσεις Κύριον τὸν Θεόν***

37 Ὁ δὲ Ἰησοῦς τοῦ εἶπεν· Ὀφείλεις νὰ ἀγαπᾷς Κύριον τὸν Θεόν σου μὲ ὅλην σου τὴν καρδίαν, ὥστε αὐτὸν ἐξ ὁλοκλήρου

[29-30]) Μρ. ιβ΄ 24. 25. Λκ. κ΄ 34 - 36. Ῥμ. ιδ΄ 17. 1 Κρ. ς΄ 13. ιε΄ 40. 53. Φλ. δ΄ 21. 2 Πτ. γ΄ 13. [31-33]) Ἐξ. γ΄ 6. 15. 16. Δν. ιβ΄ 2. Μτ. ζ΄ 28. Μρ. ιβ΄ 26. 27. Λκ. κ΄ 37. Πρ. ζ΄ 32. Ἑβ. ια΄ 16. [34-36]) ιθ΄ 16. Μρ. ιβ΄ 28. Λκ. ι΄ 25.

σου ἐν ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου.

νὰ ποθῇς, καὶ μὲ ὅλην σου τὴν ψυχήν, ὥστε ὁλόκληρος ἡ θέλησίς σου εἰς αὐτὸν νὰ εἶναι παραδομένη, καὶ μὲ τὸν νοῦν σου ὁλόκληρον, ὥστε αὐτὸν πάντοτε νὰ σκέπτεσαι.

38 αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή.

38 Αὐτὴ εἶναι ἡ πρώτη καὶ μεγάλη ἐντολή.

*39 δευτέρα δὲ ὁμοία αὐτῇ· **ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.***

39 Δευτέρα δὲ ἐντολὴ ὁμοία πρὸς αὐτὴν εἶναι· Νὰ ἀγαπᾷς τὸν πλησίον σου, ὅπως ἀγαπᾷς τὸν ἑαυτόν σου.

40 ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται.

40 Εἰς αὐτὰς τὰς δύο ἐντολὰς ὅλος ὁ νόμος καὶ ἡ διδασκαλία τῶν προφητῶν στηρίζονται.

41 Συνηγμένων δὲ τῶν Φαρισαίων ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς

41 Ἐνῷ δὲ ἦσαν συναγμένοι οἱ Φαρισαῖοι, τοὺς ἐρώτησεν ὁ Ἰησοῦς

42 λέγων· τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστι; λέγουσιν αὐτῷ· τοῦ Δαυΐδ.

42 λέγων· Τί ἰδέαν ἔχετε περὶ τοῦ Μεσσίου, ποὺ θὰ ἀναδειχθῇ καὶ θὰ χρισθῇ τοιοῦτος ἀπὸ αὐτὸν τὸν Θεόν; Τίνος ἀπόγονος εἶναι; Λέγουν εἰς αὐτόν· Εἶναι ἀπόγονος τοῦ Δαβίδ.

43 λέγει αὐτοῖς· πῶς οὖν Δαυΐδ ἐν Πνεύματι Κύριον αὐτὸν καλεῖ λέγων,

43 Λέγει εἰς αὐτούς· Πῶς λοιπὸν ὁ Δαβὶδ ἐμπνεόμενος ἀπὸ τὸ Ἅγιον Πνεῦμα τὸν ἀποκαλεῖ Κύριον, ὅταν λέγῃ:

44 εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου;

44 Εἶπεν ὁ Κύριος καὶ Θεὸς εἰς τὸν Κύριόν μου Χριστόν· Κάθησε ἐπὶ τοῦ θρόνου μου εἰς τὰ δεξιά μου, μέχρις ὅτου θέσω τοὺς ἐχθρούς σου σὰν ἄλλο ὑποστήριγμα, ποὺ θὰ ἀκουμποῦν καὶ θὰ πατοῦν ἐπάνω τὰ πόδια σου. Ἀλλ' οἱ πάπποι ποτὲ δὲν καλοῦν τὰ ἐγγόνια καὶ τρισέγγονά των κυρίους των. Οὔτε στέκει ποτὲ οἱ πρόγονοι νὰ προσφωνοῦν τοὺς ἀπογόνους των κυρίους.

45 εἰ οὖν Δαυΐδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι;

45 Ἐὰν λοιπὸν ὁ Δαβὶδ τὸν ἀποκαλῇ Κύριον, πῶς εἶναι υἱὸς καὶ ἀπόγονός του; Αὐτὸ σημαίνει ὅτι ὁ Μεσσίας δὲν εἶναι μόνον υἱὸς τοῦ Δαβίδ, ἀλλὰ καὶ υἱὸς τοῦ Θεοῦ καὶ ὡς τοιοῦτος εἶναι καὶ κύριος τοῦ Δαβίδ.

46 καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀποκριθῆναι λόγον, οὐδὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.

46 Καὶ κανεὶς δὲν ἠμπόρεσε νὰ τοῦ ἀποκριθῇ οὔτε λέξιν, οὐδὲ ἐτόλμησε κανεὶς ἀπὸ τὴν ἡμέραν ἐκείνην νὰ τὸν ἐρωτήσῃ πλέον.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

Στίχ. 1-39. Ὁ Κύριος ἐλέγχει τοὺς γραμματεῖς καὶ Φαρισαίους.

Τότε ὁ Ἰησοῦς ἐλάλησε τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ

Τότε ὁ Ἰησοῦς ὡμίλησε πρὸς τὰ πλήθη τοῦ λαοῦ καὶ τοὺς μαθητάς του,

2 λέγων· ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι.

2 καὶ εἶπεν· ἐπὶ τοῦ διδασκαλικοῦ θρόνου τοῦ Μωϋσέως ἐκάθισαν οἱ νομοδιδάσκαλοι καὶ οἱ Φαρισαῖοι.

[37-40]) Δτ. ς΄ 4. 5. ι΄ 12. 13. Λτ. ιθ΄ 18. Μτ. ζ΄ 12. ιθ΄ 19. Μρ. ιβ΄ 29 - 31. Λκ. ι΄ 26. 27. [41-42]) α΄ 1. Μρ. ιβ΄ 35. Λκ. κ΄ 41. [43-45]) Ψ. ρθ΄ 1. Μτ. κς΄ 64. Μρ. ιβ΄ 36. 37. Λκ. κ΄ 42 - 44. Πρ. β΄ 34. 35. 1 Κρ. ιε΄ 25. Ἑβ. α΄ 13. ι΄ 12. 13. [46]) 2 Βσ. γ΄ 11. Μρ. ιβ΄ 34. Λκ. ιδ΄ 6. κ΄ 40.

ΚΓ΄. [1]) Μρ. ιβ΄ 37. 38. Λκ. κ΄ 45. [2]) ζ΄ 29. Ἰν. γ΄ 10. θ΄ 28. Πρ. ε΄ 34. κβ΄ 3.

3 πάντα οὖν ὅσα ἐὰν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· λέγουσι γάρ, καὶ οὐ ποιοῦσι.

4 δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων, τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά.

5 πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. πλατύνουσι γὰρ τὰ φυλακτήρια αὐτῶν καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν,

6 φιλοῦσι δὲ τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς

7 καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββὶ ῥαββί.

8 ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί· εἷς γὰρ ὑμῶν ἐστιν ὁ διδάσκαλος, ὁ Χριστός· πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε.

9 καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς.

10 μηδὲ κληθῆτε καθηγηταί· εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγητής, ὁ Χριστός.

11 ὁ δὲ μείζων ὑμῶν ἔσται ὑμῶν διάκονος.

12 ὅστις δὲ ὑψώσει ἑαυτὸν ταπεινωθήσεται, καὶ ὅστις ταπεινώσει ἑαυτὸν ὑψωθήσεται.

3 Ὅλα λοιπόν, ὅσα ἐπὶ τῇ βάσει τοῦ νόμου θὰ σᾶς εἴπουν αὐτοί νὰ τὰ φυλάττετε, φυλάττετε καὶ πράττετε αὐτά. Μὴ πράττετε ὅμως σύμφωνα πρὸς τὰ ἔργα των καὶ τὸ παράδειγμά των. Διότι λέγουν μὲν καὶ διδάσκουν τὴν ἀλήθειαν τοῦ νόμου, δὲν πράττουν ὅμως σύμφωνα μὲ αὐτήν.

4 Μὲ ἄλλα λόγια, σφικτοδένουν φορτώματα βαρειὰ καὶ δυσκόλως βασταζόμενα καὶ τὰ ἐπιβάλλουν εἰς τοὺς ὤμους τῶν ἀνθρώπων, αὐτοὶ ὅμως δὲν θέλουν οὔτε μὲ τὸ δάκτυλό τους νὰ τὰ κινήσουν. Μὲ τὰς ἰδικάς των δηλαδὴ γνώμας καὶ παραδόσεις μετέβαλαν τὸν νόμον εἰς βαρὺ φορτίον, τὸ ὁποῖον φορτώνουν εἰς τοὺς ἄλλους, ἐνῷ αὐτοὶ οὔτε κἂν τὸ ἐγγίζουν, διότι εὑρίσκουν τρόπους νὰ ξεφεύγουν αὐτοὶ ἀπὸ τὰς ὑποχρεώσεις αὐτάς, ποὺ ἐπιβάλλουν εἰς τοὺς ἄλλους.

5 Πράττουν δὲ ὅλα τὰ ἔργα των διὰ νὰ τοὺς βλέπουν οἱ ἄνθρωποι καὶ τοὺς ἐπαινοῦν. Διότι τὰ φυλακτά, ποὺ κρεμοῦν εἰς τὰς χεῖρας των ἢ δένουν εἰς τὰ μέτωπά των, τὰ κατασκευάζουν πλατειὰ καὶ μεγαλώνουν τὶς ἄκρες τῶν φορεμάτων τους, ὥστε νὰ γίνωνται περίβλεπτοι ὡς ἄνθρωποι εὐσεβεῖς, εἰς τοὺς ὁποίους τὰ φυλακτὰ καὶ τὰ κράσπεδά των τοὺς ὑπενθυμίζουν διαρκῶς τὸν νόμον τοῦ Θεοῦ.

6 Ἀγαποῦν δὲ τὴν πρώτην θέσιν εἰς τὰ δεῖπνα καὶ τὰ πρῶτα καθίσματα εἰς τὰς συναγωγάς,

7 καὶ τοὺς εὐλαβεῖς χαιρετισμοὺς εἰς τὰς ἀγορὰς καὶ θέλουν νὰ τοὺς φωνάζουν οἱ ἄνθρωποι, διδάσκαλε, διδάσκαλε.

8 Σεῖς δὲ μὴ ὀνομασθῆτε ἀπὸ τοὺς ἀνθρώπους ραββί· διότι ἕνας εἶναι ὁ διδάσκαλός σας, ὁ Χριστός· ὅλοι δὲ σεῖς εἶσθε ἀδελφοί.

9 Καὶ πατέρα σας μὲ κῦρος καὶ ἐξουσίαν ἀπεριόριστον καὶ ἀπόλυτον μὴ καλέσητε εἰς τὴν γῆν. Διότι ἕνας εἶναι ὁ Πατήρ σας, ἐκεῖνος ποὺ εἶναι εἰς τοὺς οὐρανούς.

10 Οὔτε καθηγηταὶ νὰ κληθῆτε, διότι ἕνας εἶναι ὁ καθηγητής σας, ποὺ μὲ τὴν διδασκαλίαν του σᾶς ὁδηγεῖ εἰς τὴν σωτηρίαν, ὁ Χριστός.

11 Ἐκεῖνος δέ, ποὺ μεταξύ σας εἶναι μεγαλύτερος εἰς τὴν γνῶσιν καὶ εἰς τὸ ἀξίωμα, πρέπει νὰ ὑπηρετῇ τοὺς ἄλλους, γινόμενος μὲ κάθε τρόπον χρήσιμος καὶ ὠφέλιμος εἰς αὐτούς.

12 Ἐκεῖνος ὅμως, ποὺ θὰ ὑψώσῃ τὸν ἑαυτόν του μεταχειριζόμενος τοὺς ἄλλους ὡς κατωτέρους του, θὰ ταπεινωθῇ καὶ θὰ ἐξευτελισθῇ. Καὶ ἐκεῖνος, ποὺ θὰ ταπεινώσῃ τὸν ἑαυτόν του γινόμενος διὰ τῆς χριστιανικῆς ἀγάπης δοῦλος καὶ ὑπηρέτης τῶν ἄλλων, θὰ ἀνυψωθῇ ἀπὸ τὸν Θεὸν καὶ θὰ δοξασθῇ.

---

[3]) Μλ. β´ 7. 8. Μτ. ε´ 20. ζ´ 21. ις´ 6. 12. Ῥμ. β´ 17 - 29. [4]) ια´ 30. Λκ. ζ´ 46. Πρ. ιε´ 10. [5-7]) Ἐξ. ιγ´ 9. 16. Ἀρ. ιε´ 38. 39. Δτ. ς´ 8. κβ´ 10 - 12. Μτ. ς´ 1 - 5. 16. Μρ. ιβ´ 38. 39. Λκ. ια´ 43. ιδ´ 7 - 10. κ´ 46. Ἰν. ε´ 44. [8-11]) Μλ. α´ 6. β´ 10. Μτ. κ´ 25 - 28. 1 Κρ. γ´ 4 - 7. Ἰκ. γ´ 1. [12]) Ἰβ. κβ´ 29. Πρμ. κθ´ 23. Μτ. ιη´ 2 - 4. Λκ. ιδ´ 11. ιη´ 14. Ἰκ. δ´ 6. 1 Πτ. ε´ 5.

13 Οὐαὶ δὲ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει μακρὰ προσευχόμενοι· διὰ τοῦτο λήψεσθε περισσότερον κρῖμα.

14 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν.

15 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον, καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν.

16 Οὐαὶ ὑμῖν, ὁδηγοὶ τυφλοί, οἱ λέγοντες· ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν, ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει.

17 μωροὶ καὶ τυφλοί! τίς γὰρ μείζων ἐστίν, ὁ χρυσὸς ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν;

18 καί· ὃς ἂν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν, ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφείλει.

19 μωροὶ καὶ τυφλοί! τί γὰρ μεῖζον, τὸ δῶρον ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον;

20 ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσι τοῖς ἐπάνω αὐτοῦ·

21 καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ κατοικήσαντι αὐτόν·

13 Ἀλλοίμονον δὲ εἰς σᾶς, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, διότι κατατρώγετε τὰ σπίτια καὶ τὴν περιουσίαν τῶν χηρῶν, σεῖς ποὺ μὲ πρόσχημα εὐλαβείας διὰ σκοποὺς συμφεροντολογικοὺς κάμνετε μακρὰς προσευχάς· δι' αὐτὸ θὰ λάβετε μεγαλυτέραν καταδίκην ἀπὸ τοὺς ἄλλους ἀδίκους καὶ κλέπτας.

14 Ἀλλοίμονόν σας, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, διότι μὲ τὴν διεστραμμένην διδασκαλίαν σας, ποὺ ἐπισκοτίζει καὶ νοθεύει τὸ περιεχόμενον τοῦ νόμου, κλείετε τὴν θύραν τῆς βασιλείας τῶν οὐρανῶν πρὸ τῶν ἀνθρώπων. Ἀλλοίμονόν σας, διότι καὶ σεῖς δὲν εἰσέρχεσθε, ἀλλ' οὔτε καὶ ἐκείνους, ποὺ ἔχουν τὴν διάθεσιν νὰ εἰσέλθουν, τοὺς ἀφίνετε νὰ ἔμβουν.

15 Ἀλλοίμονόν σας, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, διότι περιέρχεσθε τὴν θάλασσαν καὶ τὴν γῆν διὰ νὰ προσελκύσετε ἔστω καὶ ἕνα μόνον προσήλυτον καὶ ἀπὸ εἰδωλολάτρην νὰ τὸν κάμετε Ἰουδαῖον. Καὶ ὅταν γίνῃ, τὸν κάνετε παιδί τῆς γεέννης, ἄξιον νὰ ριφθῇ εἰς αὐτὴν πολὺ περισσότερον ἀπὸ ὅ,τι εἶσθε σεῖς.

16 Ἀλλοίμονόν σας, ὁδηγοὶ τοῦ λαοῦ τυφλοί, οἱ ὁποῖοι λέγετε· Ἂν τυχὸν κανεὶς ὁρκισθῇ εἰς τὸν ναόν, δὲν εἶναι τίποτε αὐτό· ἐκεῖνος ὅμως ποὺ θὰ ὁρκισθῇ εἰς τὸν χρυσὸν τοῦ ναοῦ, εἶναι ὑποχρεωμένος νὰ τηρήσῃ τὸν ὅρκον του.

17 Μωροὶ καὶ τυφλοί! Σᾶς ἀξίζουν αἱ ὀνομασίαι αὐταί, διότι ποῖος εἶναι ἀνώτερος κατὰ τὴν ἱερότητα, ὁ χρυσὸς ἢ ὁ ναός, ποὺ ἁγιάζει τὸν χρυσόν;

18 Λέγετε ἀκόμη καὶ τοῦτο· Ἐκεῖνος, ποὺ τυχὸν θὰ ὁρκισθῇ εἰς τὸ θυσιαστήριον, δὲν εἶναι τίποτε ὁ ὅρκος αὐτός. Ἐκεῖνος ὅμως, ποὺ θὰ ὁρκισθῇ εἰς τὸ δῶρον, ποὺ ἐτέθη ἐπὶ τοῦ θυσιαστηρίου, δεσμεύεται ἀπὸ τὸν ὅρκον του.

19 Εἶσθε μωροὶ καὶ τυφλοί· διότι, τί εἶναι μεγαλύτερον εἰς ἱερότητα, τὸ δῶρον ἢ τὸ θυσιαστήριον, ποὺ ἁγιάζει τὸ δῶρον;

20 Ἐκεῖνος λοιπόν, ποὺ ὡρκίσθη εἰς τὸ θυσιαστήριον, ὁρκίζεται εἰς αὐτὸ καὶ συγχρόνως εἰς ὅλα ποὺ εἶναι ἐπ' αὐτοῦ.

21 Καὶ ἐκεῖνος, ποὺ ὡρκίσθη εἰς τὸν ναόν, ὁρκίζεται εἰς αὐτὸν καὶ εἰς τὸν Θεόν, ποὺ κατοικεῖ εἰς τὸν ναόν.

---

[13]) Ἠσ. ε´ 8. ι´ 1. 2. Ἀββ. β´ 6 - 20. Μρ. ιβ´ 40. Λκ. κ´ 47. Ἰκ. γ´ 1. [14]) Λκ. ια´ 52. Πρ. ιγ´ 43 - 50. ιδ´ 19. ιε´ 1 - 19. ιζ´ 13. 1 Θσ. β´ 16. [15]) ε´ 22. Ἰν. ιζ´ 12. [16-19]) Ἐξ. κθ´ 37. λ´ 29. Μτ. ε´ 33 - 36. ιε´ 14. [20-22]) 3 Βσ. η´ 13. 2 Πρ. ς´ 2. Ψ. ι´ 4. κε´ 8. ρλα´ 5. 8. 12 - 14. Μτ. ε´ 34.

22 καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ ὀμνύει ἐν τῷ θρόνῳ τοῦ Θεοῦ καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ.

22 Καὶ ἐκεῖνος, ποὺ ὁρκίζεται εἰς τὸν οὐρανόν, ὁρκίζεται εἰς τὸν θρόνον τοῦ Θεοῦ, (διότι εἰς τὴν Γραφὴν ὁ οὐρανὸς λέγεται θρόνος τοῦ Θεοῦ), ἀλλ' ὁρκίζεται συγχρόνως καὶ εἰς τὸν Θεόν, ποὺ κάθηται ἐπὶ τοῦ θρόνου αὐτοῦ.

23 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν· ταῦτα δὲ ἔδει ποιῆσαι κἀκεῖνα μὴ ἀφιέναι.

23 Ἀλλοίμονόν σας, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, διότι δίδετε δεκάτην καὶ ἀπὸ τὸν δυόσμον ἀκόμη καὶ ἀπὸ τὸ ἄνηθον καὶ ἀπὸ τὸ κύμινον, καὶ ἀφήκατε τὰ σπουδαιότερα τοῦ νόμου, δηλαδὴ τὴν δικαίαν κρίσιν καὶ τὴν εὐσπλαγχνίαν καὶ τὴν τιμιότητα, ποὺ κάμνει τὸν ἄνθρωπον ἀξιόπιστον. Ἐνῷ ἔπρεπε πρωτίστως τὰς τελευταίας αὐτὰς ἀρετὰς νὰ πράττετε καὶ νὰ ἀσκῆτε, κατὰ δεύτερον δὲ λόγον νὰ μὴ ἀφίνετε καὶ ἐκεῖνα.

24 ὁδηγοὶ τυφλοί, οἱ διυλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες!

24 Ὁδηγοὶ τυφλοί, ποὺ στραγγίζετε ἀπὸ τὸν οἶνον τὸ κουνοῦπι ὡς ἀκάθαρτον κατὰ τὸν νόμον, καταπίνετε ὅμως τὴν γκαμήλα, ποὺ καὶ αὐτὴ κατὰ τὸν νόμον εἶναι ἀκάθαρτος. Εἰς τὰ μικρὰ μόνον δίδετε ὁλόκληρον τὴν προσοχήν σας, εἰς καιρὸν ποὺ χωρὶς τύψιν κάνετε μεγάλα καὶ χονδρὰ ἁμαρτήματα.

25 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀδικίας.

25 Ἀλλοίμονόν σας, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, διότι καθαρίζετε τὴν ἐξωτερικὴν ἐπιφάνειαν τοῦ ποτηρίου καὶ τῆς πιατέλλας, μέσα δὲ εἶναι αὐτὰ γεμᾶτα ἀπὸ τροφάς, ποὺ προέρχονται ἀπὸ ἁρπαγὴν καὶ ἀδικίαν.

26 Φαρισαῖε τυφλέ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν.

26 Φαρισαῖε τυφλέ, καθάρισε πρῶτον ἐκεῖνο, ποὺ εἶναι μέσα εἰς τὸ ποτήριον καὶ εἰς τὴν πιατέλλαν, φροντίζων νὰ μὴ προέρχεται τοῦτο ἐξ ἀδικίας καὶ ἁρπαγῆς, διὰ νὰ γίνῃ καὶ τὸ ἀπ' ἔξω τοῦ ποτηρίου καὶ τῆς πιατέλλας καθαρόν. Διαφορετικά, ὅσον καὶ ἂν καθαρίζῃς τὰ σκεύη αὐτά, μένουν ἀκάθαρτα καὶ μολυσμένα.

27 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας.

27 Ἀλλοίμονόν σας, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, διότι ὁμοιάζετε πρὸς τάφους ἀσβεστωμένους, οἱ ὁποῖοι ἀπ' ἔξω μὲν φαίνονται ὡραῖοι καὶ κατάλευκοι, ἀπὸ μέσα ὅμως εἶναι γεμᾶτοι ἀπὸ κόκκαλα ἀποθαμένων καὶ ἀπὸ κάθε ἀκαθαρσίαν.

28 οὕτω καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας.

28 Ἔτσι καὶ σεῖς, ἀπ' ἔξω μὲν φαίνεσθε εἰς τοὺς ἀνθρώπους δίκαιοι, ἀπὸ μέσα ὅμως εἶσθε γεμᾶτοι ἀπὸ ὑπόκρισιν καὶ ἀπὸ κάθε παράβασιν τοῦ νόμου.

29 Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί,

29 Ἀλλοίμονόν σας, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, διότι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν καὶ στολίζετε τὰ

[23-24]) Λτ. ια' 4 - 49. κζ' 30. Ἀρ. ιη' 21. Δτ. ιβ' 6. 7. Μχ. ς' 5 - 8. Μτ. θ' 13. ιε' 5 - 9. Λκ. ια' 42. ιη' 12. [25-26]) ιε' 10 - 20. Μρ. ζ' 4. Λκ. ια' 39. 40. ις' 14. [27-28]) Ἀρ. ιθ' 16. Λκ. ια' 39. 44. ις' 15. Πρ. κγ' 3. [29-32]) ε' 10 - 12. Λκ. ια' 47. 48. Πρ. ζ' 52.

ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων,

μνήματα τῶν δικαίων,

30 καὶ λέγετε· εἰ ἤμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν.

30 καὶ λέγετε· Ἐὰν ἐζούσαμεν εἰς τὰς ἡμέρας τῶν πατέρων μας, δὲν θὰ ἐγινόμεθα συνεργοὶ καὶ συνένοχοί των εἰς τὸν φόνον τῶν προφητῶν.

31 ὥστε μαρτυρεῖτε ἑαυτοῖς ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας.

31 Ὥστε σεῖς οἱ ἴδιοι μαρτυρεῖτε διὰ τὸν ἑαυτόν σας, ὅτι εἶσθε ἀπόγονοι ἐκείνων, ποὺ ἐφόνευσαν τοὺς προφήτας καὶ ἔχετε κληρονομικότητα κακήν, ἀπὸ τὴν ὁποίαν ὅμως δὲν ἐφροντίσατε νὰ ἀπαλλαγῆτε.

32 καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν.

32 Συμπληρώσατε λοιπὸν καὶ σεῖς ἐκεῖνα, ποὺ λείπουν ἀκόμη ἀπὸ ὅσα ἔκαμαν οἱ πρόγονοί σας, ὥστε νὰ φθάσετε εἰς τὸ ἀκρότατον ὅριον τῆς κακίας.

33 ὄφεις, γεννήματα ἐχιδνῶν! πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης;

33 Φίδια, γεννήματα ὀχιῶν, γεμᾶτοι κακίαν καὶ θανατηφόρον δηλητήριον, τὸ ὁποῖον ἐκληρονομήσατε καὶ ἀπὸ τοὺς προγόνους σας, πῶς εἶναι δυνατὸν νὰ φύγετε ἀπὸ τὴν καταδίκην, ποὺ θὰ σᾶς ρίψῃ εἰς τὴν γέενναν;

34 διὰ τοῦτο ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν,

34 Δι' αὐτὸ ἰδοὺ ἐγὼ κάνω τὴν τελευταίαν προσπάθειαν νὰ σᾶς σώσω καὶ σᾶς ἀποστέλλω προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς, τοὺς ἀποστόλους μου δηλαδὴ καὶ τοὺς διαδόχους των, ποὺ θὰ εἶναι φωτισμένοι καὶ σοφισμένοι ἀπὸ τὸ Ἅγιον Πνεῦμα καὶ τὴν διδασκαλίαν μου. Καὶ ἄλλους ἀπὸ αὐτοὺς θὰ φονεύσετε καὶ θὰ σταυρώσετε· καὶ ἄλλους ἀπὸ αὐτοὺς θὰ μαστιγώσετε εἰς τὰς συναγωγάς σας καὶ θὰ τοὺς διώξετε ἀπὸ τὴν μίαν πόλιν εἰς τὴν ἄλλην,

35 ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἐπὶ τῆς γῆς ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου.

35 διὰ νὰ πέσῃ ἐπάνω σας ἡ εὐθύνη καὶ ἡ καταδίκη διὰ κάθε δίκαιον αἷμα, ποὺ ἐχύθη ἄδικα εἰς τὴν γῆν, ἀπὸ τὸ αἷμα τοῦ δικαίου Ἄβελ, ἕως τὸ αἷμα τοῦ Ζαχαρίου τοῦ υἱοῦ τοῦ Βαραχίου, ποὺ τὸν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, καὶ ἔτσι ἐγίνατε ἔνοχοι ὄχι μόνον τοῦ ἐγκλήματος τοῦ φόνου, ἀλλὰ καὶ τῆς ἀσεβοῦς βεβηλώσεως τοῦ ναοῦ, τὸν ὁποῖον ἐβάψατε μὲ αἷμα ἀνθρώπου δικαίου.

36 ἀμὴν λέγω ὑμῖν ὅτι ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην.

36 Ἀλήθεια σᾶς λέγω, ὅτι ὅλα αὐτὰ τὰ δεινὰ θὰ πέσουν εἰς τὴν γενεὰν αὐτήν.

37 Ἱερουσαλὴμ Ἱερουσαλήμ, ἡ ἀποκτέννουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς

37 Ἱερουσαλήμ, Ἱερουσαλήμ, δυστυχισμένη καὶ ταλαίπωρε πόλις, σὺ ποὺ φονεύεις τοὺς προφήτας καὶ λιθοβολεῖς ἐκείνους ποὺ ὁ Θεὸς σοῦ ἀπέστειλε! Πόσας φορὰς ἠθέλησα νὰ συμμαζεύσω τὰ παιδιά σου μὲ στοργὴν παρομοίαν πρὸς ἐκεί-

[33]) γ' 7. [34]) ι' 17. 18. 23. ιγ' 52. Λκ. ια' 49. 1 Θσ. β' 15. [35]) Γν. δ' 8. 2 Πρ. κδ' 21. 22. Ἡσ. η' 2. Ζχ. α' 17. Λκ. ια' 50. 51. Ἑβ. ια' 4. 1 Ἰν. γ' 12. [36-39]) Λτ. κς' 14. 33. Δτ. λβ' 11. Ἡσ. α' 7. λα' 5. Ἰρ. ιβ' 7. κβ' 5. Ψ. ις' 8. νς' 2. Μτ. κα' 9. 35. 41. κδ' 2. Λκ. ιγ' 34. 35. Ἰν. α' 11. ε' 40. ζ' 34.

αὐτὴν! ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε.

νην, μὲ τὴν ὁποίαν περιμαζεύει ἡ ὄρνιθα τὰ πουλιά της κάτω ἀπὸ τὰ πτερά της, καὶ δὲν ἠθελήσατε.

38 ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.

38 Ἰδοὺ ἐγκαταλείπεται πρὸς τιμωρίαν καὶ καταστροφὴν σας ἡ πόλις σας μὲ τὸν ναόν της ἔρημος καὶ ἀπροστάτευτος ἀπὸ τὸν Θεόν.

*39 λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπ' ἄρτι ἕως ἂν εἴπητε, **εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.***

39 Διότι σᾶς λέγω, ὅτι δὲν θὰ μὲ ἴδετε πλέον ἀπὸ τώρα, ἕως ὅτου συνέλθετε εἰς τὸν ἑαυτόν σας καὶ πιστεύσετε, ὁπότε συγκαταριθμούμενοι εἰς τὰ μέλη τῆς Ἐκκλησίας μου θὰ εἴπετε δι' ἐμέ· Εὐλογημένος εἶναι αὐτός, ποὺ ἔρχεται εἰς τὸ ὄνομα τοῦ Κυρίου ὡς ἀντιπρόσωπός του καὶ ἀπεσταλμένος του.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ΄.

Στίχ. 1-35. Ἡ καταστροφὴ τοῦ Ναοῦ καὶ τῆς Ἰουδαίας καὶ τὸ τέλος τοῦ κόσμου.

Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἐπορεύετο ἀπὸ τοῦ ἱεροῦ· καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ.

Καὶ ἀφοῦ ἐβγῆκεν ὁ Ἰησοῦς, ἔφευγεν ὁριστικῶς πλέον ἀπὸ τὸ ἱερὸν διὰ νὰ μὴ ἐπανέλθῃ εἰς αὐτό. Καὶ τότε ἐπλησίασαν οἱ μαθηταί του διὰ νὰ τοῦ δείξουν τὰς οἰκοδομὰς τοῦ ἱεροῦ.

2 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐ βλέπετε ταῦτα πάντα; ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ καταλυθήσεται.

2 Ὁ δὲ Ἰησοῦς τοὺς εἶπε· Δὲν βλέπετε μὲ θαυμασμὸν ὅλα αὐτὰ τὰ ὡραῖα κτίρια; Ἐν πάσῃ ἀληθείᾳ σᾶς διαβεβαιῶ, ὅτι δὲν θὰ μείνῃ πέτρα ἐπάνω εἰς τὴν πέτραν, ποὺ νὰ μὴ κρημνισθῇ κάτω.

3 καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' ἰδίαν λέγοντες· εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος;

3 Καὶ ἐνῷ αὐτὸς ἐκάθητο εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, τὸν ἐπλησίασαν οἱ μαθηταὶ ἰδιαιτέρως καὶ εἶπαν· Εἰπέ μας, πότε θὰ γίνουν ὅλα αὐτὰ καὶ ποῖον εἶναι τὸ σημάδι, ποὺ θὰ προαναγγέλλῃ τὴν ἔνδοξόν σου παρουσίαν καὶ τὸ ὁριστικὸν τέλος τοῦ κόσμου αὐτοῦ;

4 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· βλέπετε μή τις ὑμᾶς πλανήσῃ.

4 Καὶ ἀπεκρίθη ὁ Ἰησοῦς καὶ τοὺς εἶπε· Προσέχετε νὰ μὴ σᾶς πλανήσῃ κανείς.

5 πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσι.

5 Διότι θὰ ἔλθουν πολλοί, ποὺ θὰ διεκδικοῦν καὶ θὰ οἰκειοποιοῦνται τὸ ὄνομα τοῦ Μεσσίου, τὸ ὁποῖον εἶναι ἰδικόν μου, καὶ θὰ λέγουν· ἐγὼ εἶμαι ὁ Χριστός. Καὶ θὰ πλανήσουν πολλούς.

ΚΔ΄. [1]) Μρ. ιγ΄ 1. Λκ. κα΄ 5. [2]) 3 Βσ. θ΄ 7. 8. Μχ. γ΄ 12. Μτ. κγ΄ 38. Μρ. ιγ΄ 2. Λκ. ιθ΄ 44. κα΄ 6. [3]) Μρ. ιγ΄ 3, 4. Λκ. κα΄ 7. 2 Θσ. β΄ 1. 2 Τμ. γ΄ 1. [4]) Ἰρ. λς΄ : κθ΄ 8. Μρ. ιγ΄ 5. Λκ. κα΄ 8. 2 Θσ. β΄ 2. 3. [5]) 11. Μρ. ιγ΄ 6. Λκ. κα΄ 8. Ἰν. ε΄ 43.

6 μελλήσετε δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων· ὁρᾶτε μὴ θροεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι, ἀλλ' οὔπω ἐστὶ τὸ τέλος.

6 Μέλλετε δὲ νὰ ἀκούετε πολέμους καὶ εἰδήσεις περὶ πολέμων, ποὺ θὰ γίνωνται εἰς ἄλλας χώρας. Προσέχετε, μὴ ταράσσεσθε νομίζοντες, ὅτι αὐτὰ εἶναι σημάδια, ποὺ προαναγγέλλουν τὸ τέλος, διότι σύμφωνα μὲ τὰς βουλὰς τῆς θείας προνοίας πρέπει ὅλα αὐτὰ νὰ γίνουν, ἀλλ' ἀκόμη δὲν εἶναι οὔτε τὸ τέλος τοῦ κόσμου οὔτε ἡ καταστροφὴ τῆς Ἱερουσαλὴμ καὶ τοῦ ναοῦ της, ποὺ προεικονίζει καὶ προτυπώνει τὴν συντέλειαν τοῦ κόσμου.

7 ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ ἔσονται λιμοὶ καὶ λοιμοὶ καὶ σεισμοὶ κατὰ τόπους·

7 Διότι θὰ σηκωθῇ τὸ ἕνα ἔθνος κατὰ τοῦ ἄλλου ἔθνους, καὶ τὸ ἕνα βασίλειον κατὰ τοῦ ἄλλου βασιλείου καὶ θὰ συμβοῦν πεῖνες καὶ μολυσματικαὶ ἐπιδημίαι καὶ σεισμοὶ ἐδῶ καὶ ἐκεῖ.

8 πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων.

8 Ὅλα δὲ αὐτὰ εἶναι ἀρχὴ πόνων καὶ δεινῶν.

9 τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν καὶ ἀποκτενοῦσιν ὑμᾶς, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου.

9 Τότε θὰ σᾶς παραδώσουν εἰς θλίψεις καὶ δοκιμασίας. Καὶ θὰ θανατώσουν μερικοὺς ἀπὸ σᾶς, καὶ θὰ σᾶς μισοῦν ὅλα τὰ ἔθνη δι' ἐμέ, ἐπειδὴ θὰ πιστεύετε εἰς τὸ ὄνομά μου.

10 καὶ τότε σκανδαλισθήσονται πολλοὶ καὶ ἀλλήλους παραδώσουσι καὶ μισήσουσιν ἀλλήλους.

10 Καὶ τότε θὰ σκανδαλισθοῦν καὶ θὰ κλονισθοῦν εἰς τὴν πίστιν πολλοί. Καὶ θὰ παραδώσουν ὁ ἕνας τὸν ἄλλον εἰς τοὺς ἀπίστους ἄρχοντας καὶ θὰ μισήσουν ὁ ἕνας τὸν ἄλλον.

11 καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσι πολλούς,

11 Καὶ θὰ ἀναφανοῦν πολλοὶ ψευδοπροφῆται καὶ θὰ παρασύρουν εἰς τὰς πλανεμένας διδασκαλίας των πολλούς.

12 καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν.

12 Καὶ ἐπειδὴ θὰ πληθύνῃ ἡ κακία καὶ ἡ φαυλότης, θὰ ψυχρανθῇ ἡ πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπη τοῦ πλήθους τῶν συνήθων καὶ κατ' ὄνομα Χριστιανῶν.

13 ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

13 Ἐκεῖνος δὲ ποὺ θὰ δείξῃ ὑπομονὴν μέχρι τέλους τῶν δοκιμασιῶν αὐτῶν, αὐτὸς καὶ μόνον θὰ σωθῇ.

14 καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, καὶ τότε ἥξει τὸ τέλος.

14 Καὶ θὰ κηρυχθῇ τὸ εὐαγγέλιον αὐτὸ τῆς βασιλείας εἰς ὅλην τὴν οἰκουμένην, διὰ νὰ εἶναι τὸ κήρυγμα τοῦτο ἔλεγχος δι' ὅλα τὰ ἔθνη, ὅσα δὲν θὰ πιστεύσουν, ὥστε νὰ μὴ δύνανται νὰ προφασισθοῦν, ὅτι δὲν προσεφέρθη καὶ εἰς αὐτοὺς τὸ εὐαγγέλιον. Καὶ τότε θὰ ἔλθῃ τὸ τέλος τοῦ κόσμου, τοῦ ὁποίου εἰκὼν καὶ προτύπωσις θὰ εἶναι τὸ ἐπικείμενον τέλος τῶν Ἱεροσολύμων.

*15 Ὅταν οὖν ἴδητε **τὸ βδέλυγμα τῆς ἐρημώσεως** τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προ-*

15 Ἀλλὰ τὸ τέλος τοῦ κόσμου θὰ βραδύνῃ ἀκόμη. Ἡ εἰκὼν ὅμως καὶ ἡ προτύπωσις τοῦ τέλους αὐτοῦ, δηλαδὴ ἡ καταστροφὴ τῶν Ἱεροσολύμων, πλησιάζει. Σᾶς δίδω λοιπὸν τὰ σημεῖα,

[6]) Ἰρ. δ΄ 27. Μρ. ιγ΄ 7. Λκ. κα΄ 9. [7-8]) 2 Πρ. ιε΄ 6. Ἡσ. ιθ΄ 2. Ἀγγ. β΄ 21 - 23. Μρ. ιγ΄ 8. Λκ. κα΄ 10. 11. [9-13]) Μτ. ζ΄ 15. ι΄ 17 - 22. 35. ια΄ 5. Μρ. ιγ΄ 9. 12. 13. Λκ. κα΄ 12. 13. 16. 17. 19. Ἰν. ις΄ 1. Ἐφ. ε΄ 6. Κλ. β΄ 8. [14]) Μτ. ιγ΄ 31. 32. κς΄ 13. Μρ. ιγ΄ 10.

φήτου ἑστὼς ἐν τόπῳ ἁγίῳ — ὁ ἀναγινώσκων νοείτω —

16 τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη,

17 ὁ ἐπὶ τοῦ δώματος μὴ καταβαινέτω ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ,

18 καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ.

19 οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.

20 προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος μηδὲ σαββάτῳ.

21 ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν οὐδ' οὐ μὴ γένηται.

22 καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι.

23 τότε ἐάν τις ὑμῖν εἴπῃ, ἰδοὺ ὧδε ὁ Χριστὸς ἢ ὧδε, μὴ πιστεύσητε·

24 ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς.

ποὺ θὰ προαναγγέλλουν τὸν σύντομον ἐρχομὸν τῆς καταστροφῆς αὐτῆς. Θὰ ἴδητε πρῶτον τὸ μισητὸν καὶ βέβηλον σίχαμα, ποὺ θὰ προκαλέσῃ τὴν ἐρήμωσιν καὶ τὴν καταστροφὴν τῆς Ἱερουσαλήμ, καὶ τὸ ὁποῖον ἐλέχθη προφητικῶς διὰ τοῦ προφήτου Δανιήλ, νὰ στέκεται εἰς ἅγιον τόπον. Κάθε ἀναγνώστης ἂς τὸ νοιώσῃ καὶ ἂς λάβῃ τὰ μέτρα του. Ἂς ἐννοήσῃ, ὅτι τὸ σίχαμα αὐτὸ θὰ εἶναι πρῶτον μὲν οἱ ζηλωταὶ καὶ οἱ ξιφοφόροι, ποὺ θὰ καταλάβουν τὸ ἱερὸν καὶ θὰ τὸ βεβηλώσουν μὲ τὰς δολοφονίας των καὶ τὰ ἄλλα κακουργήματά των, ὕστερα δὲ καὶ τὰ ρωμαϊκὰ στρατεύματα, ποὺ θὰ ἔλθουν νὰ συμπληρώσουν τὴν βεβήλωσιν αὐτήν.

16 Ὅταν λοιπὸν θὰ ἴδητε τὴν βεβήλωσιν αὐτὴν τοῦ ἱεροῦ νὰ ἀρχίζῃ, τότε ἐκεῖνοι ποὺ θὰ κατοικοῦν εἰς τὰς πόλεις τῆς Ἰουδαίας, ἂς φεύγουν εἰς τὰ βουνὰ διὰ νὰ κρυβοῦν ἐκεῖ.

17 Καὶ ἐκεῖνος ποὺ εἶναι ἐπάνω εἰς τὸ ἡλιακωτὸν τοῦ σπιτιοῦ, ἂς μὴ καταβῇ διὰ νὰ πάρῃ ἀπὸ τὸ σπίτι του τὰ πράγματά του, ἀλλ' ἂς φύγῃ τὸ ταχύτερον.

18 Καὶ ἐκεῖνος ποὺ μὲ μόνον τὸ ὑποκάμισον ἐργάζεται εἰς τὸ χωράφι, ἂς μὴ γυρίσῃ ὀπίσω διὰ νὰ πάρῃ καὶ τὰ ἐξωτερικά του ἐνδύματα.

19 Ἀλλοίμονον δὲ εἰς τὰς ἐγκύους καὶ εἰς ἐκείνας, ποὺ θὰ θηλάζουν μικρὰ παιδιὰ κατὰ τὰς ἡμέρας ἐκείνας, διότι θὰ εἶναι πολὺ δύσκολον εἰς αὐτὰς καὶ νὰ τρέξουν διὰ νὰ σωθοῦν, ἀλλὰ καὶ νὰ εὕρουν τὰ ἀπαραίτητα διὰ τὸν στηριγμὸν τοῦ ὀργανισμοῦ των.

20 Κάνετε δὲ τὴν προσευχήν σας νὰ μὴ γίνῃ ἡ φυγή σας εἰς χειμωνιάτικην κακοκαιρίαν, ἡ ὁποία θὰ σᾶς γίνεται ἐμπόδιον εἰς τὴν φυγήν· οὔτε νὰ συμπέσῃ ἡ φυγὴ εἰς ἡμέραν Σαββάτου, ποὺ ἀπαγορεύεται νὰ βαδίσετε δρόμον μακρυνόν.

21 Πρέπει δὲ εἰς τὴν φυγήν σας νὰ μὴ ἐμποδίζεσθε ἀπὸ τίποτε. Διότι τότε θὰ εἶναι θλῖψις μεγάλη, τέτοια ποὺ δὲν ἔχει γίνει ἀπὸ τὴν ἀρχὴν τοῦ κόσμου ἕως τώρα, οὔτε θὰ γίνῃ ποτὲ παρομοία.

22 Καὶ ἂν δὲν ὠλιγόστευεν ὁ ἀριθμὸς τῶν ἡμερῶν ἐκείνων, δὲν θὰ ἐσώζετο κανεὶς ἄνθρωπος. Ἀλλὰ διὰ τοὺς ἐκλεκτούς, διὰ τοὺς ὁποίους ὁ Θεὸς θὰ προνοήσῃ νὰ μὴ ταλαιπωρηθοῦν πολύ, θὰ ὀλιγοστεύσουν αἱ ἡμέραι ἐκεῖναι.

23 Τότε, ἐὰν σᾶς εἴπῃ κανείς· Νά, ἐδῶ εἶναι ὁ Χριστὸς ἢ ἐδῶ, μὴ πιστεύσητε.

24 Διότι θὰ ἀναφανοῦν ψευδομεσσίαι καὶ ψευδοπροφῆται καὶ θὰ δείξουν σημάδια μεγάλα καὶ ἔργα καταπληκτικά, ὥστε νὰ πλανήσουν, ἐὰν θὰ εἶναι δυνατόν, καὶ αὐτοὺς τοὺς ἐκλεκτούς.

[15-19]) Δν. θ΄ 27. ια΄ 31. ιβ΄ 11. Ζχ. ιδ΄ 2. Μρ. ιγ΄ 14 - 17. Λκ. ιζ΄ 31. κα΄ 20 - 23. [20]) Ἐξ. ις΄ 29. Μρ. ιγ΄ 18. Πρ. α΄ 12. [21]) Ἰωλ. β΄ 2. Δν. ιβ΄ 1. Μρ. ιγ΄ 19. Λκ. κα΄ 23. [22]) Γν. ιη΄ 23 - 33. (Ἰσ. Ν. ι΄ 13.) Ἡσ. ξε΄ 8. 9. Μρ. ιγ΄ 20. [23-26]) ζ΄ 15. 21 - 23. Μρ. ιγ΄ 21 - 23. Λκ. ιζ΄ 21 - 23. κα΄ 8. Ἰν. ε΄ 43. ιγ΄ 19. ιδ΄ 29. Πρ. ε΄ 36 κτλ. 2 Θσ. β΄ 3 - 7.

25 ἰδοὺ προείρηκα ὑμῖν.

26 ἐὰν οὖν εἴπωσιν ὑμῖν, ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστί, μὴ ἐξέλθητε, ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε·

27 ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου·

28 ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί.

29 Εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται.

30 καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

31 καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης, καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν.

32 Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν. ὅταν ἤδη

25 Ἰδοὺ σᾶς τὰ προεῖπα, ὥστε νὰ μὴ χωρῇ δικαιολογία διὰ τὴν τυχὸν ἀποπλάνησίν σας.

26 Ἐὰν λοιπὸν σᾶς εἴπουν· Ἰδοὺ εἰς τὴν ἔρημον εἶναι ὁ Μεσσίας, μὴ βγῆτε εἰς συνάντησίν του. Ἐὰν πάλιν σᾶς εἴπουν, ἰδοὺ ὁ Χριστὸς εἶναι μέσα εἰς τὰ ἰδιαίτερα δωμάτια, μὴ πιστεύσητε.

27 Διότι οὔτε κρυμμένος εἰς δωμάτια, οὔτε εἰς μέρος ἐρημικὸν θὰ παρουσιασθῇ ὁ Μεσσίας, ἀλλὰ καθὼς ἡ ἀστραπὴ βγαίνει ἀπὸ τὸ ἀνατολικὸν σημεῖον τοῦ ὁρίζοντος καὶ φαίνεται ἀμέσως ἕως τὸ ἀντίθετον δυτικὸν σημεῖον, ἔτσι θὰ γίνῃ καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Θὰ γίνῃ ἀμέσως παντοῦ καὶ εἰς ὅλους αἰσθητή.

28 Διότι ἐκεῖ ὅπου εἶναι τὸ νεκρὸν πτῶμα, ἐκεῖ θὰ μαζευθοῦν καὶ οἱ ἀετοὶ διὰ νὰ χορτασθοῦν ἀπὸ αὐτό. Μὲ ἄλλα λόγια. Ὅταν ἡ σαπίλα τοῦ κόσμου φθάσῃ εἰς τὸ ἀπροχώρητον, τότε θὰ ἔλθῃ ἄφευκτος καὶ εἰς ὅλους φανερὰ ἡ ἐξ οὐρανοῦ κρίσις καὶ τιμωρία.

29 Ἀμέσως δὲ ὕστερα ἀπὸ τὴν θλῖψιν καὶ τὰς δοκιμασίας τῶν ἡμερῶν ἐκείνων, ὅταν πλέον θὰ πλησιάζῃ ἡ συντέλεια τοῦ κόσμου, ὁ ἥλιος θὰ χάσῃ τὴν λάμψιν του καὶ θὰ σκοτισθῇ, καὶ ἡ σελήνη δὲν θὰ δώσῃ τὸ φῶς της καὶ τὰ ἄστρα θὰ πέσουν ἀπὸ τὸν οὐρανὸν καὶ ὅλος ὁ κόσμος θὰ γίνῃ καινούργιος, καὶ αἱ οὐράνιαι δυνάμεις τῶν ἀγγέλων, αἱ συγκρατοῦσαι ἤδη τὴν τάξιν τοῦ σύμπαντος, θὰ σαλευθοῦν καὶ θὰ μετακινηθοῦν καὶ ἀπὸ τὴν βαθεῖαν των συγκίνησιν δι' ὅσα θὰ συμβαίνουν κατὰ τὴν δευτέραν παρουσίαν, ἀλλὰ καὶ διότι ἡ παροῦσα μορφὴ τοῦ κόσμου θὰ παρέλθῃ διὰ νὰ ἀνακαινισθῇ τὸ σύμπαν.

30 Καὶ τότε θὰ φανῇ εἰς τὸν οὐρανὸν τὸ σημεῖον, ποὺ θὰ προαναγγέλλῃ τὴν ἐντὸς ὀλίγου ἔλευσιν καὶ παρουσίαν τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Καὶ τότε θὰ θρηνήσουν ὅλαι αἱ φυλαὶ τῆς γῆς, ὅσαι δὲν ἐπίστευσαν καὶ θὰ ἴδουν τὸν υἱὸν τοῦ ἀνθρώπου νὰ ἔρχεται καθισμένος εἰς τὰ σύννεφα τοῦ οὐρανοῦ μὲ δύναμιν καὶ συνοδείαν ἀγγέλων καὶ μὲ δόξαν πολλήν.

31 Καὶ θὰ ἀποστείλῃ τοὺς ἀγγέλους του μὲ σάλπιγγα ποὺ θὰ σημαίνῃ δυνατὰ καὶ θὰ μαζεύσουν τοὺς ἐκλεκτούς του ἀπὸ τὰ τέσσαρα σημεῖα τοῦ ὁρίζοντος, ἀπὸ τὰ ὁποῖα πνέουν οἱ τέσσαρες ἄνεμοι, ἀπὸ τὴν μίαν ἄκρην τοῦ ὁρίζοντος ἕως τὴν ἄλλην ἄκρην.

32 Ἀπὸ δὲ τὴν συκιὰν μάθετε τὴν ὁμοιότητα· ὅταν πλέον ὁ κλάδος της γίνῃ ἁπαλὸς καὶ βγοῦν τὰ φύλλα, γνωρίζετε, ὅτι τὸ

---

[27]) Λκ. ιζ΄ 24. [28]) Ἰβ. λθ΄ 26 - 30. Πρμ. λ΄ 17. Ὠσ. η΄ 1. Ἀββ. α΄ 8. Ἰζ. λθ΄ 17 - 20. Μτ. η΄ 21. 22. ιγ΄ 41. 49. Λκ. ιζ΄ 37. [29]) Ἡσ. ιγ΄ 9. 10. λδ΄ 4. Ἰρ. δ΄ 23 - 28. Ἰζ. λβ΄ 7. Ἰωλ. β΄ 10. 31. γ΄ 15. 16. Ἀμ. ε΄ 20. η΄ 9. Σφν. α΄ 15. Ζχ. ιδ΄ 6. Μρ. ιγ΄ 24. 25. Λκ. κα΄ 25. 26. Πρ. β΄ 20. 2 Πτ. γ΄ 10. 12. Ἀπ. ς΄ 12 - 14. [30-31]) Ἡσ. κζ΄ 13. Ζχ. ιβ΄ 10. Δν. ζ΄ 13. Δτ. λ΄ 4. Μτ. ις΄ 27. Μρ. ιγ΄ 26. 27. Λκ. κα΄ 27. 1 Κρ. ιε΄ 52. 1 Θσ. δ΄ 16. Ἀπ. α΄ 7.

ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος·

θέρος εἶναι πλησίον.

33 οὕτω καὶ ὑμεῖς ὅταν ἴδητε ταῦτα πάντα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις.

33 Ἔτσι καὶ σεῖς· ὅταν ἴδητε νὰ συμβαίνουν ὅλα αὐτὰ τὰ σημεῖα, ποὺ σᾶς προεῖπα, νὰ γνωρίζετε, ὅτι πλησιάζει εἰς τὴν πόρταν, ἔφθασε καὶ θὰ ἐμφανισθῇ ἀμέσως ἡ κρίσις τοῦ Θεοῦ, ποὺ θὰ τιμωρήσῃ τὴν ἀπιστίαν τῶν Ἰουδαίων διὰ καταστροφῆς τῆς Ἱερουσαλήμ.

34 ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα ταῦτα γένηται.

34 Ἀληθῶς σᾶς λέγω, δὲν θὰ περάσῃ ἡ γενεὰ αὐτὴ προτοῦ γίνουν ὅλα αὐτὰ καὶ προτοῦ πραγματοποιηθῇ καὶ ἡ καταστροφὴ τῆς Ἱερουσαλὴμ καὶ ὅσα περὶ πολέμων καὶ ψευδομεσσιῶν καὶ ψευδοπροφητῶν σᾶς προεῖπον.

35 ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

35 Ὁ οὐρανὸς καὶ ἡ γῆ, ποὺ σᾶς φαίνονται τόσον μόνιμα καὶ στερεά, θὰ περάσουν καὶ θὰ ἐκλείψουν, οἱ λόγοι μου ὅμως δὲν θὰ περάσουν, ἀλλὰ θὰ ἐπαληθεύσουν ἐπακριβῶς.

Στίχ. 36-51. Ἄγνωστος ἡ ὥρα τῆς δευτέρας παρουσίας τοῦ Κυρίου.

36 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ πατήρ μου μόνος.

36 Διὰ τὴν ἡμέραν ὅμως ἐκείνην καὶ τὴν ὥραν, ποὺ θὰ λάβῃ χώραν ἡ δευτέρα παρουσία καὶ ἡ κρίσις, κανεὶς δὲν γνωρίζει πότε ἀκριβῶς θὰ εἶναι αὐται, οὔτε ἀκόμη οἱ οὐράνιοι ἄγγελοι, παρὰ μόνος ὁ Πατήρ μου.

37 ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

37 Ναί· κανεὶς δὲν τὴν ξεύρει. Διότι, καθὼς ὑπῆρξαν αἱ ἡμέραι τοῦ Νῶε, ἔτσι θὰ εἶναι καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

38 ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτόν,

38 Καθὼς δηλαδὴ εἰς τὰς ἡμέρας, ποὺ προηγήθησαν τοῦ κατακλυσμοῦ, ἐξακολουθοῦσαν οἱ ἄνθρωποι νὰ τρώγουν καὶ νὰ πίνουν ἀσυλλόγιστα, νὰ νυμφεύωνται καὶ νὰ ὑπανδρεύουν τὰ παιδιά των, χωρὶς νὰ τοὺς ἔρχεται καμμία σκέψις μετανοίας διὰ τὸν ἁμαρτωλὸν βίον τους, μέχρις ἐκείνης τῆς ἡμέρας, ποὺ ἐμβῆκεν ὁ Νῶε εἰς τὴν κιβωτόν,

39 καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

39 καὶ δὲν ἐκατάλαβαν, ἕως ὅτου ἦλθεν ὁ κατακλυσμὸς καὶ τοὺς συνεπῆρεν ὅλους, ἔτσι θὰ γίνῃ καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἔξαφνα καὶ χωρὶς νὰ τὴν περιμένουν οἱ ἄνθρωποι τῆς ματαιότητος.

40 τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ, ὁ εἷς παραλαμβάνεται καὶ ὁ εἷς ἀφίεται·

40 Ἡ στενή σας δὲ σχέσις καὶ συμβίωσις εἰς τὴν ζωὴν αὐτὴν δὲν θὰ ἐμποδίσῃ νὰ χωρισθῆτε καὶ νὰ ἔχετε διάφορον τύχην ὁ ἕνας ἀπὸ τὸν ἄλλον κατὰ τὴν δευτέραν παρουσίαν. Πράγματι τότε δύο θὰ εἶναι εἰς τὸν ἀγρόν. Ὁ ἕνας παραλαμβάνεται ἀπὸ τοὺς ἀγγέλους ἐν ἀσφαλείᾳ καὶ ὁ ἄλλος ἀφίνεται ἐκεῖ διὰ νὰ τιμωρηθῇ.

32-35) ε´ 18. ι´ 23. Μρ. ιγ´ 28 - 31. Λκ. κα´ 29 - 33. 36) Ζχ. ιδ´ 7. Μτ. κ´ 23. κδ´ 38. 42. κε´ 13. Μρ. ιγ´ 32. Πρ. α´ 7. 1 Θσ. ε´ 1. 37-39) Γν. ς´ 3 κτλ. Λκ. ιζ´ 26 - 30. Ἑβ. ια´ 7. 1 Πτ. γ´ 20. 2 Πτ. β´ 5. γ´ 6. 40-41) Ἐξ. ια´ 5. Ἠσ. μζ´ 2. Λκ. ιζ´ 35. 36.

41 δύο ἀλήθουσαι ἐν τῷ μυλῶνι, μία παραλαμβάνεται καὶ μία ἀφίεται.

41 Δύο γυναῖκες θὰ ἀλέθουν εἰς τὸν αὐτὸν μύλον. Ἡ μία παραλαμβάνεται καὶ ἡ ἄλλη ἀφίνεται.

42 γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται.

42 Γρηγορεῖτε λοιπόν, διότι δὲν ξεύρετε ποίαν ὥραν ἔρχεται ὁ κύριός σας καὶ συνεπῶς πρέπει νὰ εἶσθε πάντοτε ἕτοιμοι.

43 Ἐκεῖνο δὲ γινώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ.

43 Ἐκ πείρας δὲ γνωρίζετε καὶ ἐκεῖνο, ὅτι δηλαδή, ἐὰν ἐγνώριζεν ὁ οἰκοδεσπότης εἰς ποῖον τρίωρον τῆς νυκτὸς ἔρχεται ὁ κλέπτης, θὰ ἀγρυπνοῦσε καὶ δὲν θὰ ἄφινε νὰ τοῦ τρυπήσουν τὸ σπίτι του.

44 διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

44 Διὰ τοῦτο καὶ σεῖς, ἀφοῦ δὲν ξεύρετε πότε θὰ ἔλθῃ ὁ Κύριος, πρέπει νὰ ἑτοιμάζεσθε διαρκῶς, διότι ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ Θεάνθρωπος Κύριος, ἔρχεται δι' ἕνα ἕκαστον ἀπὸ σᾶς διὰ τοῦ θανάτου καὶ δι' ὅλους μαζὶ κατὰ τὴν δευτέραν παρουσίαν εἰς ὥραν, ποὺ δὲν περιμένετε.

45 Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ τοῦ διδόναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ;

45 Ποῖος ἆρά γε νὰ εἶναι ὁ ἔμπιστος δοῦλος καὶ ὁ μυαλωμένος, εἰς τὸν ὁποῖον ὁ κύριός του ἔδωκεν εἰδικὴν (ἐν τῇ θρησκευτικῇ κοινωνίᾳ του) ἐξουσίαν καὶ τὸν ἐγκατέστησε διὰ νὰ φροντίζῃ διὰ τοὺς ἄλλους δούλους καὶ διὰ νὰ δίνῃ εἰς αὐτοὺς τὴν ἀνάλογον τροφὴν εἰς τὸν κατάλληλον χρόνον;

46 μακάριος ὁ δοῦλος ἐκεῖνος ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως.

46 Μακάριος θὰ εἶναι ὁ δοῦλος ἐκεῖνος, τὸν ὁποῖον, ὅταν ἔλθῃ ὁ κύριός του, θὰ εὕρῃ νὰ κάνῃ καὶ νὰ συμπεριφέρεται ἔτσι, φρόνιμα δηλαδὴ καὶ πιστά.

47 ἀμὴν λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

47 Ἀληθινὰ σᾶς λέγω, ὅτι θὰ τὸν ἐγκαταστήσῃ ἐπιστάτην καὶ διαχειριστὴν εἰς ὅλα τὰ ὑπάρχοντά του.

48 ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει ὁ κύριός μου ἐλθεῖν,

48 Ἐὰν ὅμως εἴπῃ ἀπὸ μέσα του ὁ κακὸς ἐκεῖνος δοῦλος· Ἀργεῖ νὰ ἔλθῃ ὁ κύριός μου,

49 καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ, ἐσθίῃ δὲ καὶ πίνῃ μετὰ τῶν μεθυόντων,

49 καὶ ἀρχίσῃ νὰ χρησιμοποιῇ ἐγωϊστικῶς τὴν ἐξουσίαν του καὶ νὰ κτυπᾷ τοὺς συνδούλους του, νὰ τρώγῃ δὲ καὶ νὰ πίνῃ μὲ ἐκείνους ποὺ μεθοῦν, ζητῶν μὲ κάθε τρόπον νὰ εὐχαριστήσῃ τὸν ἑαυτόν του,

50 ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει,

50 θὰ ἔλθῃ ὁ κύριος τοῦ δούλου ἐκείνου εἰς ἡμέραν, ποὺ δὲν περιμένει ἐκεῖνος, καὶ εἰς ὥραν ποὺ δὲν ξεύρει.

51 καὶ διχοτομήσει αὐτόν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

51 Καὶ θὰ τὸν τεμαχίσῃ εἰς τὰ δύο καί, ἀφοῦ πάρῃ τὴν ψυχήν του μὲ αἰφνίδιον θάνατον, θὰ ὁρίσῃ τὴν θέσιν του μαζὶ μὲ τοὺς ὑποκριτάς. Ἐκεῖ θὰ εἶναι ὁ κλαυθμὸς καὶ τὸ τρίξιμο τῶν δοντιῶν.

42) 36. κε´ 13. Μρ. ιγ´ 33. 35 - 37. Λκ. κα´ 34 - 36. 1 Κρ. ις´ 13. 1 Θσ. ε´ 7. 8. 1 Πτ. δ´ 7. 43-44) Λκ. ιβ´ 39. 40. 1 Θσ. ε´ 2 - 4. 2 Πτ. γ´ 10. Ἀπ. γ´ 3. ις´ 15. 45-47) ι´ 16. κε´ 21. 23. Λκ. ιβ´ 42 - 44. 1 Κρ. δ´ 1. 2. Ἑβ. γ´ 5. 48-51) η´ 12. Λκ. ιβ´ 45. 46.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Στίχ. 1-13. Ἡ παραβολὴ τῶν δέκα παρθένων.

Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου.

Τότε, ὅταν δηλαδὴ θὰ ἔλθη κατὰ τὴν δευτέραν του παρουσίαν ὁ Μεσσίας, αὐτὰ ποὺ θὰ συμβοῦν μὲ τὴν βασιλείαν τῶν οὐρανῶν, θὰ παρουσιασθοῦν ὅμοια πρὸς ὅσα συνέβησαν εἰς δέκα παρθένους, αἱ ὁποῖαι, ἀφοῦ ἐπῆραν τοὺς λύχνους των, ἐβγῆκαν νὰ ὑποδεχθοῦν τὸν γαμβρόν, ποὺ θὰ ἤρχετο τὴν νύκτα νὰ παραλάβη τὴν νύμφην.

2 πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί.

2 Πέντε δὲ ἀπὸ αὐτὰς ἦσαν φρόνιμοι καὶ μυαλωμέναι καὶ αἱ πέντε ἦσαν ἀσυλλόγιστοι καὶ ἀνόητοι.

3 αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον·

3 Καὶ αἱ ἀνόητοι αὐταί, ὅταν ἐπῆραν τοὺς λύχνους των, δὲν ἐπῆραν μαζί τους καὶ λάδι.

4 αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν.

4 Αἱ φρόνιμοι ὅμως μαζὶ μὲ τοὺς ἀναμμένους λύχνους των ἐπῆραν καὶ λάδι εἰς τὰ ξεχωριστὰ ἀγγεῖα των.

5 χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον.

5 Ἀλλ' ἐπειδὴ ἀργοῦσε τὴν νύκτα νὰ ἔλθη ὁ γαμβρός, ἐνύσταξαν ὅλαι καὶ ἐκοιμῶντο.

6 μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ.

6 Κατὰ δὲ τὸ μεσονύκτιον ἠκούσθη μεγάλη φωνή· Ἰδοὺ ὁ γαμβρὸς ἔρχεται· ἐβγᾶτε νὰ τὸν προϋπαντήσετε.

7 τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν.

7 Τότε ἐσηκώθησαν ὅλαι αἱ παρθένοι ἐκεῖναι καὶ διώρθωσαν τοὺς λύχνους των.

8 αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται.

8 Αἱ ἀνόητοι δὲ εἶπαν εἰς τὰς φρονίμους· Δῶσατέ μας ἀπὸ τὸ λάδι σας, διότι οἱ λύχνοι μας σβήνουν.

9 ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσει ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς.

9 Ἀλλ' αἱ φρόνιμοι ἀπεκρίθησαν καὶ εἶπαν· Δὲν μποροῦμε νὰ σᾶς δώσωμεν, διότι ὑπάρχει φόβος νὰ μὴ φθάση καὶ δι' ἡμᾶς καὶ διὰ σᾶς. Πηγαίνετε καλύτερα εἰς ἐκείνους ποὺ πωλοῦν καὶ ἀγοράσατε διὰ τοὺς λύχνους σας.

10 ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα.

10 Ὅταν ὅμως αὐταὶ ἐπήγαιναν νὰ ἀγοράσουν, ἦλθεν ὁ γαμβρὸς καὶ αἱ ἑτοιμασμέναι παρθένοι ἐμβῆκαν μαζί του εἰς τὴν αἴθουσαν τοῦ γάμου, καὶ ἐκλείσθη ἡ θύρα.

ΚΕ΄. 1-13) ζ΄ 21 - 23. θ΄ 15. ιγ΄ 24. κδ΄ 42. Λκ. ιβ΄ 35 - 38. ιγ΄ 25. 1 Θσ. ε΄ 1 - 8.

11 ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· κύριε κύριε, ἄνοιξον ἡμῖν.

11 Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι καὶ ἔλεγαν· Κύριε, κύριε, ἄνοιξέ μας.

12 ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς.

12 Αὐτὸς ὅμως ἀπεκρίθη καὶ εἶπεν· Ἀληθινὰ σᾶς λέγω, ὅτι δὲν σᾶς γνωρίζω.

13 γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

13 Τὸ συμπέρασμα λοιπὸν τῆς παραβολῆς εἶναι, ὅτι πρέπει νὰ εἶσθε προνοητικοί, ἔχοντες πάντοτε τὴν ψυχήν σας λάμπουσαν ἀπὸ τὸ φῶς τῆς ἀρετῆς καὶ ἐφωδιασμένην μὲ τὸ ἔλαιον τῆς ἐσωτερικῆς θερμότητος καὶ δυνάμεως, τὸ ὁποῖον ἡ σταθερὰ ἐπικοινωνία σας μὲ τὸν Θεὸν θὰ σᾶς προμηθεύη. Οὕτω δὲ νὰ περιμένετε τὸν ἐρχομὸν τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ Νυμφίου τῆς Ἐκκλησίας Χριστοῦ, ἄγρυπνοι καὶ ἕτοιμοι πάντοτε, διότι δὲν ἠξεύρετε τὴν ἡμέραν οὔτε τὴν ὥραν, κατὰ τὴν ὁποίαν θὰ ἔλθη, διὰ νὰ εἰσέλθετε μετ' αὐτοῦ εἰς τὴν εὐφροσύνην καὶ μακαρίαν χαρὰν τῶν γάμων του.

Στίχ. 14-30. Ἡ παραβολὴ τῶν ταλάντων.

14 Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ,

14 Διὰ νὰ σᾶς εὕρη δὲ ὁ Κύριος ἑτοίμους, δὲν ἀρκεῖ νὰ εἶσθε μόνον προνοητικοὶ καὶ φρόνιμοι, ἀλλὰ καὶ δραστήριοι καὶ ἐπιμελεῖς· διότι ὅπως ἕνας ἄνθρωπος, ποὺ πρόκειται νὰ ταξιδεύση, ἐκάλεσε τοὺς δούλους του καὶ τοὺς παρέδωκε τὰ ὑπάρχοντά του, διὰ νὰ ζητήση ἐν καιρῷ ἀπὸ αὐτοὺς λογαριασμὸν περὶ τῆς διαχειρίσεώς των, ἔτσι θὰ εἶναι ὅμοια καὶ ἡ βασιλεία τῶν οὐρανῶν καὶ ἡ κρίσις καὶ ἀνταπόδοσις, ποὺ θὰ κάμη ὁ Κύριος.

15 καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν, καὶ ἀπεδήμησεν εὐθέως.

15 Ὁ ἄνθρωπος δηλαδὴ αὐτὸς ἔδωκεν εἰς ἄλλον μὲν πέντε τάλαντα, εἰς ἄλλον δὲ δύο, εἰς ἄλλον δὲ ἕν· εἰς ἕκαστον ἔδωκε σύμφωνα μὲ τὴν ἱκανότητα, ποὺ εἶχε νὰ ἐμπορευθῆ τὰ ὅσα θὰ τοῦ ἔδιδε. Καὶ ἐταξίδευσεν ἀμέσως. (Μὲ ἄλλας λέξεις ὁ Θεὸς ἐπροίκισε μὲ διάφορα χαρίσματα ἕκαστον ἄνθρωπον, διὰ νὰ τὰ χρησιμοποιήση εἰς τὸ ἀγαθὸν καὶ πρὸς ὠφέλειαν τοῦ πλησίον).

16 πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν εἰργάσατο ἐν αὐτοῖς καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα.

16 Ἀφοῦ δὲ ἐπῆγεν ἐκεῖνος, ποὺ ἐπῆρε τὰ πέντε τάλαντα, εἰργάσθη μὲ αὐτὰ καὶ ἐκέρδησεν ἄλλα πέντε τάλαντα.

17 ὡσαύτως καὶ ὁ τὰ δύο ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο.

17 Τὸ ἴδιο καὶ ἐκεῖνος, ποὺ ἐπῆρε τὰ δύο τάλαντα, ἐκέρδησεν ἄλλα δύο. Καὶ οἱ δύο αὐτοὶ δοῦλοι ἐχρησιμοποίησαν μὲ ἴσον βαθμὸν καλῆς προαιρέσεως καὶ ζήλου τὰς ἱκανότητας καὶ τὰ χαρίσματα, ποὺ τοὺς ἔδωκεν ὁ Θεὸς πρὸς δόξαν αὐτοῦ καὶ ὠφέλειαν τοῦ πλησίον.

18 ὁ δὲ τὸ ἓν λαβὼν ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ.

18 Ἐκεῖνος ὅμως, ποὺ ἐπῆρε τὸ ἕνα τάλαντον, ἐπῆγε καὶ ἔσκαψεν εἰς τὴν γῆν καὶ ἔκρυψεν ἐκεῖ τὸ χρῆμα τοῦ κυρίου του. Δὲν κατεχράσθη δηλαδὴ τὸ τάλαντον, ἀλλ' ἔδειξεν ἀμέλειαν καὶ δὲν εἰργάσθη νὰ τὸ ἐπαυξήση.

14-15) κα΄ 33. Μρ. ιγ΄ 34. Λκ. ιθ΄ 12. 13. Ῥμ. ιβ΄ 4. 6. 1 Κρ. ιβ΄ 7. 12 - 30. Ἐφ. δ΄ 12. 13. 16. 16-23) κδ΄ 45 - 47. Λκ. ιϛ΄ 16. ιθ΄ 15 - 19. 2 Τμ. α΄ 6.

*19 μετὰ δὲ χρόνον πολὺν
ἔρχεται ὁ κύριος τῶν δού-
λων ἐκείνων καὶ συναίρει
μετ' αὐτῶν λόγον.*

19 Ὕστερα δὲ ἀπὸ πολὺν χρόνον ἦλθεν ὁ κύριος τῶν δούλων
ἐκείνων καὶ ἐλογαριάσθη μαζί τους.

*20 καὶ προσελθὼν ὁ τὰ πέν-
τε τάλαντα λαβὼν προσή-
νεγκεν ἄλλα πέντε τάλαντα
λέγων· κύριε, πέντε τάλαν-
τά μοι παρέδωκας· ἴδε ἄλ-
λα πέντε τάλαντα ἐκέρδησα
ἐπ' αὐτοῖς.*

20 Καὶ ἀφοῦ προσῆλθεν ἐκεῖνος, ποὺ ἐπῆρε τὰ πέντε τάλαντα,
ἐπρόσφερεν ἄλλα πέντε τάλαντα καὶ εἶπε· Κύριε, πέντε τάλαν-
τα μοῦ παρέδωκες. Ἰδού, ἄλλα πέντε τάλαντα ἐκέρδησα μὲ αὐ-
τά.

*21 ἔφη αὐτῷ ὁ κύριος αὐ-
τοῦ· εὖ, δοῦλε ἀγαθὲ καὶ
πιστέ! ἐπὶ ὀλίγα ἦς πιστός,
ἐπὶ πολλῶν σε καταστήσω·
εἴσελθε εἰς τὴν χαρὰν τοῦ
κυρίου σου.*

21 Εἶπε πρὸς αὐτὸν ὁ κύριός του· Εὖγε, δοῦλε ἀγαθὲ καὶ πι-
στέ! Εἰς ὀλίγα ἦσουν πιστός, εἰς πολλὰ θὰ σὲ ἐγκαταστήσω.
Ἔμβα μέσα διὰ νὰ ἀπολαύσῃς τὴν αὐτὴν χαρὰν μὲ τὸν κύριόν
σου. Ἀφοῦ ἐφάνης πιστὸς εἰς τὰ πέντε τάλαντα, ἐλθὲ νὰ γίνῃς
συγκύριος εἰς τὴν μεγάλην περιουσίαν μου. Ἐλθὲ νὰ ἀπολαύ-
σῃς τὴν ἀπεριόριστον μακαριότητα τοῦ οὐρανοῦ.

*22 προσελθὼν δὲ καὶ ὁ τὰ
δύο τάλαντα λαβὼν εἶπε·
κύριε, δύο τάλαντά μοι πα-
ρέδωκας· ἴδε ἄλλα δύο τά-
λαντα ἐκέρδησα ἐπ' αὐτοῖς.*

22 Προσῆλθε δὲ καὶ ἐκεῖνος, ποὺ ἐπῆρε τὰ δύο τάλαντα καὶ εἶ-
πε· Κύριε, δύο τάλαντα μοῦ παρέδωκες. Νά, ἄλλα δύο τάλαν-
τα ἐκέρδησα μὲ αὐτά.

*23 ἔφη αὐτῷ ὁ κύριος αὐ-
τοῦ· εὖ, δοῦλε ἀγαθὲ καὶ
πιστέ! ἐπὶ ὀλίγα ἦς πιστός,
ἐπὶ πολλῶν σε καταστήσω·
εἴσελθε εἰς τὴν χαρὰν τοῦ
κυρίου σου.*

23 Εἶπε πρὸς αὐτὸν ὁ κύριός του· Εὖγε, δοῦλε καλὲ καὶ πιστέ!
Εἰς ὀλίγα ἦσουν πιστός, εἰς πολλὰ θὰ σὲ ἐγκαταστήσω. Ἔμβα
καὶ σὺ μέσα νὰ ἀπολαύσῃς τὴν χαρὰν τοῦ κυρίου σου.

*24 προσελθὼν δὲ καὶ ὁ τὸ
ἓν τάλαντον εἰληφὼς εἶπε·
κύριε, ἔγνων σε ὅτι σκλη-
ρὸς εἶ ἄνθρωπος, θερίζων
ὅπου οὐκ ἔσπειρας καὶ
συνάγων ὅθεν οὐ διεσκόρ-
πισας·*

24 Προσῆλθε δὲ καὶ ἐκεῖνος, ποὺ εἶχε πάρει τὸ ἕνα τάλαντον
καὶ εἶπε· Κύριε, σὲ ἐγνώρισα, ὅτι εἶσαι ἄνθρωπος σκληρός,
ποὺ θερίζεις ἐκεῖ, ὅπου δὲν ἔσπειρες, καὶ μαζεύεις εἰς τὴν ἀπο-
θήκην σου ἀπ' ἐκεῖ, ὅπου δὲν ἐσκόρπισες καὶ δὲν ἐλίχνισες τὸ
ἀλωνισμένον.

*25 καὶ φοβηθεὶς ἀπελθὼν
ἔκρυψα τὸ τάλαντόν σου ἐν
τῇ γῇ· ἴδε ἔχεις τὸ σόν.*

25 Καὶ ἐπειδὴ ἐφοβήθην, ἐπῆγα καὶ ἔκρυψα τὸ τάλαντόν σου
μέσα εἰς τὴν γῆν. Νά, ἔχεις τὸ ἰδικόν σου.

*26 ἀποκριθεὶς δὲ ὁ κύριος
αὐτοῦ εἶπεν αὐτῷ· πονηρὲ
δοῦλε καὶ ὀκνηρέ! ᾔδεις ὅτι
θερίζω ὅπου οὐκ ἔσπειρα
καὶ συνάγω ὅθεν οὐ διε-
σκόρπισα!*

26 Ἀπεκρίθη δὲ ὁ κύριός του καὶ εἶπεν εἰς αὐτόν· κακὲ καὶ
τεμπέλη δοῦλε! Ἐγνώριζες, ὅτι θερίζω ἐκεῖ, ὅπου δὲν ἔσπειρα,
καὶ συνάγω ἀπ' ἐκεῖ, ὅπου δὲν ἐσκόρπισα εἰς τὸ ἁλῶνι διὰ νὰ
20 καὶ οὗτοί εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες, οἵτινες ἀκούουσι τὸν λόγον καὶ παραδέχονται, καὶ καρποφοροῦσιν ἐν τριάκοντα καὶ ἐν ἑξήκοντα καὶ ἐν ἑκατόν.

20 Καὶ ἐκεῖνοι, ποὺ σημαίνονται ἀπὸ τὸν σπόρον, ποὺ ἐσπάρη εἰς τὴν γῆν τὴν καλήν, εἶναι αὐτοί, ποὺ ἀκούουν τὸν λόγον καὶ τὸν παραδέχονται καὶ καρποφοροῦν τριακονταπλάσιον καὶ ἑξηκονταπλάσιον καὶ ἑκατονταπλάσιον.

21 Καὶ ἔλεγεν αὐτοῖς· μήτι ἔρχεται ὁ λύχνος ἵνα ὑπὸ τὸν μόδιον τεθῇ ἢ ὑπὸ τὴν κλίνην; οὐχ ἵνα ἐπὶ τὴν λυχνίαν ἐπιτεθῇ;

21 Καὶ ἔλεγεν εἰς αὐτούς· Μὲ τὴν διδασκαλίαν μου ἤναψα εἰς τὰς ψυχάς σας φῶς καὶ ἐγίνατε πνευματικοὶ λύχνοι. Μήπως φέρεται ὁ ἀναμμένος λύχνος διὰ νὰ τεθῇ κάτω ἀπὸ τὸ δοχεῖον, μὲ τὸ ὁποῖον μετροῦν τὸν σῖτον ἢ κάτω ἀπὸ τὸ κρεββάτι; Ὄχι βέβαια. Δὲν φέρουν τὸν λύχνον, διὰ νὰ τοποθετηθῇ ἐπάνω εἰς τὸν λυχνοστάτην; Βεβαίως. Ἔτσι καὶ σεῖς πρέπει νὰ φωτίζετε τοὺς ἀνθρώπους καὶ αὐτά, ποὺ ἀκούετε τώρα, νὰ μὴ τὰ κρύπτετε, ἀλλὰ νὰ τὰ διαδίδετε καὶ εἰς τοὺς ἄλλους.

22 οὐ γάρ ἐστι κρυπτὸν ὃ ἐὰν μὴ φανερωθῇ, οὐδὲ ἐγένετο ἀπόκρυφον ἀλλ' ἵνα ἔλθῃ εἰς φανερόν.

22 Διότι δὲν ὑπάρχει τίποτε κρυφὸν καὶ μυστικὸν παρὰ διὰ νὰ φανερωθῇ· καὶ κανὲν δὲν ἔγινεν ἀπόκρυφον παρὰ διὰ νὰ ἔλθῃ εἰς τὸ φανερόν. Καὶ ἡ διδασκαλία μου λοιπὸν δὲν θὰ μείνῃ μυστικὴ καὶ σκεπασμένη, ἀλλὰ θὰ φανερωθῇ καὶ θὰ φωτίσῃ τὸν κόσμον.

23 εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω.

23 Ἐὰν ἔχῃ κανεὶς αὐτιὰ πνευματικὰ διὰ νὰ ἀκούῃ καὶ κατανοῇ τὴν πολύτιμον ἀξίαν τῆς διδασκαλίας μου, ἂς ἀκούῃ καὶ ἂς ὠφεληθῇ ἐξ αὐτῆς.

24 Καὶ ἔλεγεν αὐτοῖς· βλέπετε τί ἀκούετε. ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν, καὶ προστεθήσεται ὑμῖν τοῖς ἀκούουσιν.

24 Καὶ ἔλεγεν εἰς αὐτούς· προσέχετε εἰς ὅ,τι ἀκούετε· προσέχετε νὰ κατανοῆτε καὶ νὰ ἐγκολπώνεσθε τὴν διδασκαλίαν ποὺ ἀκούετε, ὥστε νὰ γίνετε τέλειοι διδάσκαλοι τῆς ἀληθείας. Μὲ ὅποιον μέτρον προσοχῆς καὶ καλῆς διαθέσεως ἀκούετε, μὲ τὸ αὐτὸ μέτρον θὰ σᾶς δοθῇ ἀπὸ τὸν Θεὸν καὶ ἡ γνῶσις. Καὶ ὄχι μόνον μὲ τὸ ἴδιον μέτρον θὰ σᾶς δοθῇ, ἀλλὰ καὶ παραπάνω θὰ προστεθῇ εἰς σᾶς, ποὺ μὲ πρόθυμον ἐνδιαφέρον καὶ προσοχὴν ἀκούετε.

25 ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς οὐκ ἔχει,

25 Διότι εἰς ἐκεῖνον, ποὺ ἔχει προσοχὴν καὶ ἀκούει μὲ ἐνδιαφέρον τὴν ἀλήθειαν, θὰ δοθῇ ὑπὸ τῆς θείας χάριτος γνῶσις καὶ

[21-23]) Λκ. η΄ 16. 17. Μτ. ε΄ 15. ι΄ 26. 27. ια΄ 15. [24]) Λκ. ς΄ 38. Μτ. ζ΄ 2. [25]) Λκ. η΄ 18. Μτ. ιγ΄ 12.

καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ.

κατανόησις τῶν ἀκουομένων. Καὶ ἀπὸ ἐκεῖνον, ποὺ δὲν ἔχει προσοχὴν καὶ ἐνδιαφέρον καὶ ἡ ὀλίγη ἐκείνη γνῶσις ποὺ ἔχει, θὰ τοῦ ἀφαιρεθῇ.

Στίχ. 26-34. **Ἡ παραβολὴ τῆς αὐξήσεως τοῦ σπόρου καὶ τοῦ κόκκου τοῦ σινάπεως.**

26 Καὶ ἔλεγεν· οὕτως ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, ὡς ἂν ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς,

26 Καὶ ἔλεγεν· Ἔτσι ὁμοιάζει ἡ διάδοσις καὶ πρόοδος τοῦ Εὐαγγελίου τῆς βασιλείας τοῦ Θεοῦ εἰς τὰς καρδίας τῶν ἐπιδεκτικῶν ἀνθρώπων, σὰν νὰ ρίψῃ ἕνας ἄνθρωπος τὸν σπόρον ἐπὶ τῆς γῆς. (Οὕτω καὶ ὁ Κύριος ἢ οἱ διάκονοί του οἱ συνεχίζοντες τὸ ἔργον του, ρίπτουν εἰς τὰς ψυχὰς τῶν ἐπιδεκτικῶν ἀνθρώπων τὸν σπόρον τῆς χριστιανικῆς διδασκαλίας καὶ ἀληθείας).

27 καὶ καθεύδῃ καὶ ἐγείρηται νύκτα καὶ ἡμέραν, καὶ ὁ σπόρος βλαστάνῃ καὶ μηκύνηται ὡς οὐκ οἶδεν αὐτός.

27 Καὶ αὐτός, ποὺ ἔσπειρε τὸν σπόρον εἰς τὴν γῆν, κοιμᾶται καὶ σηκώνεται νύκτα καὶ ἡμέραν χωρὶς νὰ κάνῃ τίποτε διὰ τὴν βλάστησιν καὶ αὔξησιν τοῦ σπόρου. Καὶ ὅμως ὁ σπόρος, διότι ἔχει μέσα του ζωτικὴν δύναμιν, αὐξάνει καὶ μεγαλώνει κατὰ τρόπον, ποὺ καὶ αὐτὸς ὁ γεωργὸς δὲν ἠξεύρει.

28 αὐτομάτη γὰρ ἡ γῆ καρποφορεῖ, πρῶτον χόρτον, εἶτα στάχυν, εἶτα πλήρη σῖτον ἐν τῷ στάχυϊ.

28 Διότι μόνη της ἡ γῆ καὶ χωρὶς τὴν συνεργασίαν ἐκείνου, ποὺ ἔσπειρε τὸν σπόρον, καρποφορεῖ πρῶτον χόρτον, ποὺ φυτρώνει ἀπὸ τὸν σπόρον, ὕστερα στάχυν καὶ ἔπειτα σῖτον δεμένον καὶ γεμᾶτον μέσα εἰς τὸν στάχυν. (Ἔτσι καὶ ἡ αὔξησις τῆς χριστιανικῆς ζωῆς εἰς κάθε ἐπιδεκτικὴν καρδίαν. Δὲν φαίνεται μὲν καὶ παραμένει μυστηριώδης, πλὴν ὅμως εἶναι βεβαία καὶ πραγματική).

29 ὅταν δὲ παραδῷ ὁ καρπός, εὐθέως ἀποστέλλει τὸ δρέπανον, ὅτι παρέστηκεν ὁ θερισμός.

29 Ὅταν δὲ εἰς τὸν ἀγρὸν ὁ καρπὸς παραδοθῇ ὥριμος πρὸς θερισμόν, τότε ὁ κύριος τοῦ ἀγροῦ ἀποστέλλει ἀμέσως τὸν θεριστήν, ποὺ κρατεῖ τὸ δρέπανον, διότι ἦλθεν ὁ καιρὸς τοῦ θερισμοῦ. (Καὶ σεῖς λοιπόν, ποὺ θὰ συνεχίσετε τὸ ἔργον μου, νὰ εἶσθε βέβαιοι, ὅτι ἡ σπορά, ποὺ θὰ κάμετε εἰς τὰς ψυχὰς τῶν ἐπιδεκτικῶν ἀνθρώπων, δὲν θὰ χαθῇ. Ὁ λόγος θὰ καρποφορήσῃ κατὰ τρόπον μυστηριώδη καὶ ἄγνωστον εἰς σᾶς, καὶ ὅταν ἡ καρποφορία αὐτὴ ὡριμάσῃ διὰ τὸν καθένα, ἡ πρόνοια τοῦ μεγάλου Γεωργοῦ θὰ ἐπισυνάξῃ τὸν καρπόν).

30 Καὶ ἔλεγε· πῶς ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ Θεοῦ; ἢ ἐν τίνι παραβολῇ παραβάλωμεν αὐτήν;

30 Καὶ ἔλεγε· Μὲ τί νὰ παρομοιάσωμεν τὴν βασιλείαν τοῦ Θεοῦ, ποὺ διὰ τοῦ κηρύγματος διαδίδεται εἰς τὰς καρδίας τῶν ἀνθρώπων καὶ διὰ τῆς Ἐκκλησίας ἐγκαθιδρύεται καὶ ἐπὶ τῆς γῆς; Καὶ μὲ ποίαν παραβολὴν καὶ εἰκόνα νὰ παραβάλωμεν τὴν αὔξησιν καὶ ἐπέκτασιν αὐτῆς;

31 ὡς κόκκον σινάπεως, ὃς ὅταν σπαρῇ ἐπὶ τῆς γῆς, μικρότερος πάντων τῶν σπερμάτων ἐστὶ τῶν ἐπὶ τῆς γῆς·

31 Ὁμοιάζει σὰν τὸν μικρὸν σπόρον τοῦ σιναπιοῦ, ὁ ὁποῖος τὴν ὥραν, ποὺ σπέρνεται ἐπάνω εἰς τὴν γῆν, εἶναι μικρότερος ἀπὸ ὅλους τοὺς σπόρους τῆς γῆς.

[26-29]) Μτ. ιγ΄ 24 - 26. 30. [30-32]) Δν. δ΄ 9. 18. Ἰζ. ιζ΄ 23. λα΄ 6. Λκ. ιγ΄ 18. 19. Μτ. ιγ΄ 30 - 32. 37 - 39.

32 καὶ ὅταν σπαρῇ, ἀναβαίνει καὶ γίνεται μείζων πάντων τῶν λαχάνων, καὶ ποιεῖ κλάδους μεγάλους, ὥστε δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦν.

32 Καὶ ὅταν σπαρῇ, φυτρώνει πρὸς τὰ ἐπάνω καὶ γίνεται ἀπὸ ὅλα τὰ λάχανα καὶ τοὺς θάμνους μεγαλύτερος, καὶ κάνει κλάδους μεγάλους, ὥστε κάτω ἀπὸ τὴν σκιάν του νὰ μποροῦν νὰ φωλιάζουν τὰ πετεινὰ τοῦ οὐρανοῦ. Ἔτσι καὶ αἱ ἀρχαὶ τῆς αὐξήσεως καὶ ἐξαπλώσεως τῆς Ἐκκλησίας μου καὶ τοῦ ὑπ' αὐτῆς σπειρομένου εἰς τὰς ψυχὰς τῶν ἀνθρώπων λόγου μου εἶναι ἀφανεῖς καὶ ἄσημοι, ἀλλὰ βαθμηδὸν αἱ κατακτήσεις των γίνονται καταπληκτικαί. Ὁ λόγος δὲ τοῦ εὐαγγελίου, ὁ διὰ τῆς ὁλονὲν ἐξαπλουμένης Ἐκκλησίας κηρυττόμενος, ὅταν καλλιεργηθῇ εἰς τὰς ἐπιδεκτικὰς καρδίας ἀπὸ τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, δημιουργεῖ τεραστίας κατακτήσεις καὶ παρέχει προστασίαν καὶ ἀνάπαυσιν εἰς τὰς ψυχάς.

33 Καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο ἀκούειν,

33 Καὶ μὲ πολλὲς τέτοιες παραβολὲς ἐδίδασκεν εἰς αὐτοὺς τὸν λόγον τοῦ Θεοῦ, σύμφωνα μὲ τὴν ἱκανότητα ποὺ εἶχαν οἱ ἀκροαταὶ νὰ ἀκούουν καὶ διατηροῦν εἰς τὴν μνήμην των τὰ διδασκόμενα, ὥστε καὶ ἐὰν τότε δὲν ἠδύναντο νὰ κατανοήσουν μερικά, νὰ τὰ ἐνθυμῶνται διὰ τῶν παραβολῶν καὶ οἱ ἐπιδεκτικοὶ νὰ κατανοήσουν ταῦτα βραδύτερον.

34 χωρὶς δὲ παραβολῆς οὐκ ἐλάλει αὐτοῖς τὸν λόγον· κατ' ἰδίαν δὲ τοῖς μαθηταῖς αὐτοῦ ἐπέλυε πάντα.

34 Χωρὶς παραβολὴν δὲ δὲν ἐδίδασκεν αὐτούς. Ἰδιαιτέρως ὅμως εἰς τοὺς μαθητάς του ἐξήγει καὶ διεσαφήνιζεν ὅλα, ὅσα τὸν ἠρώτων.

Στίχ. 35-41. *Ἡ κατασίγασις τῆς τρικυμίας.*

35 Καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὀψίας γενομένης· διέλθωμεν εἰς τὸ πέραν.

35 Καὶ ὅταν ἐβράδυασε κατ' ἐκείνην τὴν ἡμέραν, ποὺ εἶπε τὰς παραβολὰς αὐτάς, λέγει εἰς αὐτούς· Ἂς περάσωμεν ἀπέναντι.

36 καὶ ἀφέντες τὸν ὄχλον παραλαμβάνουσιν αὐτὸν ὡς ἦν ἐν τῷ πλοίῳ· καὶ ἄλλα δὲ πλοῖα ἦν μετ' αὐτοῦ.

36 Καὶ ἀφοῦ ἀφῆκε τὸ πλῆθος τοῦ λαοῦ εἰς τὴν παραλίαν, τὸν παίρνουν μαζί των οἱ μαθηταί, ὅπως ἦτο ὁ Κύριος μέσα εἰς τὸ πλοῖον, ἀπὸ τὸ ὁποῖον προηγουμένως ἐδίδασκε τὰ πλήθη. Ἦσαν δὲ καὶ ἄλλα πλοιάρια, ποὺ ἔπλεαν μαζὶ μὲ τὸ πλοῖον τοῦ Κυρίου.

37 καὶ γίνεται λαῖλαψ ἀνέμου μεγάλη, τὰ δὲ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον, ὥστε ἤδη αὐτὸ βυθίζεσθαι.

37 Καὶ γίνεται μεγάλη ἀνεμοζάλη, τὰ κύματα δὲ ἐκτυποῦσαν ἐπάνω εἰς τὸ πλοῖον, ὥστε ἐκινδύνευε πλέον αὐτὸ νὰ βυθισθῇ.

38 καὶ ἦν αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων· καὶ διεγείρουσιν αὐτὸν καὶ λέγουσιν αὐτῷ· διδάσκαλε, οὐ μέλει σοι ὅτι ἀπολλύμεθα;

38 Καὶ ἐξηκολούθει αὐτὸς νὰ κοιμᾶται εἰς τὴν πρύμνην εἰς τὸ ἐπάνω μέρος τοῦ θρανίου, ποὺ ἦτο ἐκεῖ. Καὶ τὸν ἐξύπνησαν καὶ τοῦ εἶπαν· Διδάσκαλε, δὲν σὲ μέλει ποὺ χανόμεθα;

39 καὶ διεγερθεὶς ἐπετί-

39 Καὶ ἀφοῦ ἐσηκώθη, ἐπέπληξε τὸν ἄνεμον καὶ εἶπεν εἰς τὴν

33-34) Μτ. ιγ΄ 34. 35-41) Λκ. η΄ 22 - 25. Μτ. η΄ 18. 23 - 27.

μησε τῷ ἀνέμῳ καὶ εἶπε τῇ θαλάσσῃ· σιώπα, πεφίμωσο. καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ ἐγένετο γαλήνη μεγάλη.

θάλασσαν· Σώπα, βουβάθητι. Καὶ κατέπεσεν ὁ ἄνεμος καὶ ἔγινε μεγάλη γαλήνη εἰς τὴν θάλασσαν.

40 καὶ εἶπεν αὐτοῖς· τί δειλοί ἐστε οὕτω; πῶς οὐκ ἔχετε πίστιν;

40 Καὶ εἶπεν εἰς αὐτούς· Διατί εἶσθε τόσον δειλοί, ὥστε νὰ τὰ χάνετε; Ἀφοῦ τόσα θαύματα μὲ εἴδατε νὰ κάνω, πῶς δὲν ἔχετε πίστιν ἀκλόνητον, ὥστε νὰ μὴ ἀνησυχῆτε, ὅταν μὲ ἔχετε πλησίον σας;

41 καὶ ἐφοβήθησαν φόβον μέγαν καὶ ἔλεγον πρὸς ἀλλήλους· τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;

41 Καὶ ἐφοβήθησαν φόβον εὐλαβείας μεγάλον διὰ τὴν παρουσίαν καὶ ἐνέργειαν τῆς θείας δυνάμεως. Καὶ ἔλεγαν μεταξύ τους ὁ ἕνας εἰς τὸν ἄλλον· Ποῖος λοιπὸν νὰ εἶναι αὐτός; Εἶναι πολὺ μεγαλύτερος ἀπὸ ὅ,τι τὸν ἐθεωρούσαμεν ἕως τώρα, διότι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα τὸν ὑπακούουν.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Στίχ. 1-20. *Θεραπεία τοῦ δαιμονιζομένου τῶν Γεργεσηνῶν.*

Καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης εἰς τὴν χώραν τῶν Γεργεσηνῶν.

Καὶ ἦλθον εἰς τὸ ἀπέναντι μέρος τῆς λίμνης, εἰς τὴν χώραν τῶν Γεργεσηνῶν.

2 καὶ ἐξελθόντος αὐτοῦ ἐκ τοῦ πλοίου εὐθέως ἀπήντησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ,

2 Καὶ ὅταν ὁ Ἰησοῦς ἐβγῆκεν ἀπὸ τὸ πλοῖον, ἀμέσως τὸν συνήντησε κάποιος ἄνθρωπος, ποὺ ἤρχετο ἀπὸ τὰ μνημεῖα καὶ εἶχε πνεῦμα ἀκάθαρτον.

3 ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνήμασι, καὶ οὔτε ἁλύσεσιν οὐδεὶς ἠδύνατο αὐτὸν δῆσαι,

3 Αὐτὸς τὴν κατοικίαν του εἶχε μέσα εἰς τὰ μνήματα καὶ οὔτε μὲ ἁλύσεις σιδηρᾶς δὲν ἠμποροῦσε κανεὶς νὰ τὸν δέσῃ,

4 διὰ τὸ αὐτὸν πολλάκις πέδαις καὶ ἁλύσεσι δεδέσθαι, καὶ διεσπάσθαι ὑπ' αὐτοῦ τὰς ἁλύσεις καὶ τὰς πέδας συντετρῖφθαι, καὶ οὐδεὶς ἴσχυεν αὐτὸν δαμάσαι·

4 διότι αὐτὸς πολλὰς φορὰς εἶχε δεθῇ μὲ σιδηρᾶ δεσμὰ εἰς τὰ πόδια καὶ μὲ ἁλυσίδας εἰς τὰ χέρια καὶ εἶχαν διασπασθῆ ἀπὸ αὐτὸν αἱ ἁλυσίδες καὶ εἶχαν συντριβῆ τὰ δεσμὰ τῶν ποδιῶν καὶ κανεὶς δὲν εἶχε τὴν δύναμιν νὰ τὸν δαμάσῃ.

5 καὶ διὰ παντὸς νυκτὸς καὶ ἡμέρας ἐν τοῖς μνήμασι καὶ ἐν τοῖς ὄρεσιν ἦν κράζων καὶ κατακόπτων ἑαυτὸν λίθοις.

5 Καὶ πάντοτε νύκτα καὶ ἡμέραν εἰς τὰ μνήματα καὶ εἰς τὰ ὄρη ἐξηκολούθει νὰ φωνάζῃ δυνατὰ καὶ νὰ κατακόπτῃ καὶ καταπληγώνῃ τὸν ἑαυτόν του μὲ λιθάρια.

6 ἰδὼν δὲ τὸν Ἰησοῦν ἀπὸ μακρόθεν ἔδραμε καὶ προσεκύνησεν αὐτόν,

6 Ὅταν δὲ εἶδε τὸν Ἰησοῦν ἀπὸ μακρυά, ἔτρεξε καὶ τὸν προσεκύνησε.

Ε΄. 1-14) Λκ. η΄ 26 - 34. Μτ. η΄ 28 - 33.

7 καὶ κράξας φωνῇ μεγάλῃ λέγει· τί ἐμοὶ καὶ σοί, Ἰησοῦ, υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; ὁρκίζω σε τὸν Θεόν, μή με βασανίσῃς.

7 Καὶ ἀφοῦ ἐφώναξε μὲ μεγάλην φωνήν, εἶπε· Ποία σχέσις ὑπάρχει μεταξὺ ἐμοῦ καὶ σοῦ καὶ τί ζητεῖς ἀπὸ ἐμέ, Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ τοῦ Ὑψίστου; Σὲ ἐξορκίζω ἐν ὀνόματι τοῦ Θεοῦ, ὁ ὁποῖος μὲ ἀφῆκεν ἐλεύθερον κατὰ τὴν περίοδον τοῦ παρόντος αἰῶνος, νὰ μὴ μὲ βασανίσῃς καὶ μὴ μὲ διώξῃς ἀπ' ἐδῶ, ποὺ ἔχω εὐχάριστον διαμονήν.

8 ἔλεγε γὰρ αὐτῷ· ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐκ τοῦ ἀνθρώπου.

8 Τοῦ εἶπε δὲ μὴ μὲ βασανίσῃς, διότι ὁ Κύριος ἔλεγεν εἰς αὐτόν· Ἔβγα, σὺ τὸ πνεῦμα τὸ ἀκάθαρτον, ἀπὸ τὸν ἄνθρωπον.

9 καὶ ἐπηρώτα αὐτόν· τί ὄνομά σοι; καὶ ἀπεκρίθη λέγων· λεγεὼν ὄνομά μοι, ὅτι πολλοί ἐσμεν.

9 Καὶ τὸν ἠρώτα ὁ Ἰησοῦς· Ποῖον εἶναι τὸ ὄνομά σου; Καὶ ἀπεκρίθη καὶ εἶπε· Λεγεών, δηλαδὴ σύνταγμα στρατιωτῶν, εἶναι τὸ ὄνομά μου. Καὶ ἔχω αὐτὸ τὸ ὄνομα, διότι ἐδῶ μέσα εἴμεθα πολλοί.

10 καὶ παρεκάλει αὐτὸν πολλὰ ἵνα μὴ ἀποστείλῃ αὐτοὺς ἔξω τῆς χώρας.

10 Καὶ παρεκάλει τὸν Ἰησοῦν πολὺ νὰ μὴ τοὺς στείλῃ ἔξω ἀπὸ τὴν χώραν ἐκείνην.

11 ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων μεγάλη βοσκομένη πρὸς τῷ ὄρει·

11 Ἦτο δὲ ἐκεῖ πλησίον τοῦ ὄρους ἕνα μεγάλο κοπάδι χοίρων, ποὺ ἔβοσκε.

12 καὶ παρεκάλεσαν αὐτὸν πάντες οἱ δαίμονες λέγοντες· πέμψον ἡμᾶς εἰς τοὺς χοίρους, ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν.

12 Καὶ τὸν παρεκάλεσαν ὅλοι οἱ δαίμονες καὶ τοῦ εἶπαν· Στεῖλε μας εἰς τοὺς χοίρους, διὰ νὰ ἔμβωμεν εἰς αὐτούς.

13 καὶ ἐπέτρεψεν αὐτοῖς εὐθέως ὁ Ἰησοῦς. καὶ ἐξελθόντα τὰ πνεύματα τὰ ἀκάθαρτα εἰσῆλθον εἰς τοὺς χοίρους· καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν· ἦσαν δὲ ὡς δισχίλιοι· καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ.

13 Καὶ ἐπειδὴ αὐτοί, ποὺ ἔτρεφαν τοὺς χοίρους, ἔπραττον τοῦτο παρὰ τὸν μωσαϊκὸν νόμον, ποὺ ἀπηγόρευεν ὡς ἀκάθαρτον τὸ χοιρινὸν κρέας καὶ συνεπῶς εὑρίσκοντο ἐν τῇ παραβάσει καὶ ἁμαρτίᾳ, ὁ Ἰησοῦς ἔδωκεν ἀμέσως τὴν ἄδειαν εἰς τὰ δαιμόνια. Καὶ ἀφοῦ ἐβγῆκαν ἀπὸ τὸν ἄνθρωπον τὰ πνεύματα τὰ ἀκάθαρτα, ἐμβῆκαν μέσα εἰς τοὺς χοίρους. Καὶ ἔτρεξεν ἀσυγκράτητα καὶ μὲ μανίαν τὸ κοπάδι ἀπὸ τὸ ἐπάνω μέρος τοῦ κρημνοῦ πρὸς τὰ κάτω εἰς τὴν θάλασσαν. Ἦσαν δὲ περίπου δύο χιλιάδες οἱ χοῖροι, καὶ ἐπνίγοντο μέσα εἰς τὴν θάλασσαν.

14 καὶ οἱ βόσκοντες τοὺς χοίρους ἔφυγον καὶ ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς· καὶ ἐξῆλθον ἰδεῖν τί ἐστι τὸ γεγονός.

14 Αὐτοὶ δέ, ποὺ ἔβοσκαν τοὺς χοίρους, ἔφυγαν. Καὶ ἀνήγγειλαν τὸ συμβὰν εἰς τοὺς κατοίκους τῆς πόλεως καὶ εἰς αὐτοὺς ποὺ ἔμεναν εἰς τὰ χωράφια. Καὶ ἐβγῆκαν οἱ κάτοικοι νὰ ἴδουν, τί εἶναι αὐτὸ ποὺ συνέβη.

15 καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν, καὶ θεωροῦσι τὸν δαιμονιζόμενον καθήμενον καὶ ἱματισμένον καὶ σωφρονοῦντα, τὸν ἐσχηκότα τὸν λεγεῶνα, καὶ ἐφοβήθησαν.

15 Καὶ ἦλθαν πρὸς τὸν Ἰησοῦν καὶ εἶδαν τὸν δαιμονιζόμενον νὰ κάθηται ἐνδεδυμένος καὶ μὲ σωστὰ τὰ μυαλά του, αὐτὸν ποὺ εἶχε προτήτερα τὴν λεγεῶνα. Καὶ ἐφοβήθησαν ἐξ αἰτίας τῆς παρουσίας τοῦ θαυματουργοῦ αὐτοῦ, ποὺ τὸν ᾐσθάνοντο πολὺ ἀνώτερόν τους.

16 καὶ διηγήσαντο αὐτοῖς οἱ ἰδόντες πῶς ἐγένετο τῷ δαιμονιζομένῳ καὶ περὶ τῶν χοίρων.

16 Καὶ τοὺς διηγήθησαν ἐκεῖνοι, ποὺ εἶδαν τὰ συμβάντα, τί συνέβη εἰς τὸν δαιμονιζόμενον καὶ διὰ τοὺς χοίρους πῶς ἐπνίγησαν.

15-16) Λκ. η΄ 35 - 36.

17 καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν.

17 Καὶ ἐπειδὴ ἐφοβοῦντο, μήπως πάθουν καὶ ἄλλο μεγαλύτερον κακόν, ἤρχισαν νὰ τὸν παρακαλοῦν νὰ φύγῃ ἀπὸ τὰ σύνορά των.

18 καὶ ἐμβαίνοντος αὐτοῦ εἰς τὸ πλοῖον παρεκάλει αὐτὸν ὁ δαιμονισθεὶς ἵνα μετ' αὐτοῦ ᾖ.

18 Καὶ ὅταν ὁ Ἰησοῦς ἐμβῆκεν εἰς τὸ πλοῖον διὰ νὰ φύγῃ, τὸν παρεκάλει ἐκεῖνος ποὺ προτήτερα εἶχε δαιμονισθῆ, νὰ τὸν ἀκολουθήσῃ διὰ νὰ μένῃ μαζί του.

19 καὶ οὐκ ἀφῆκεν αὐτόν, ἀλλὰ λέγει αὐτῷ· ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς σοὺς καὶ ἀνάγγειλον αὐτοῖς ὅσα σοι ὁ Κύριος πεποίηκε καὶ ἠλέησέ σε.

19 Ὁ Ἰησοῦς ὅμως δὲν τὸν ἀφῆκεν, ἀλλ' εἶπεν εἰς αὐτόν· Πήγαινε εἰς τὸ σπίτι σου πρὸς τοὺς ἰδικούς σου καὶ διηγήσου εἰς αὐτοὺς ὅσα σοῦ ἔχει κάμει ὁ Κύριος καὶ πόσον σὲ ἠλέησε ἐλευθερώσας σε ἀπὸ πλῆθος πολὺ δαιμόνων.

20 καὶ ἀπῆλθε καὶ ἤρξατο κηρύσσειν ἐν τῇ Δεκαπόλει ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ πάντες ἐθαύμαζον.

20 Καὶ ἔφυγεν ἐκεῖνος, καὶ ἤρχισε νὰ διακηρύττῃ εἰς τὰς δέκα ἑλληνικὰς πόλεις, ποὺ εἶχαν κτισθῆ πρὸς ἀνατολὰς τοῦ Ἰορδάνου, τὰ ὅσα τοῦ ἔκαμεν ὁ Ἰησοῦς καὶ ὅλοι, ὅσοι τὰ ἤκουον, ἐθαύμαζον.

Στίχ. 21-43. Θεραπεία τῆς αἱμορροούσης καὶ ἀνάστασις τῆς κόρης τοῦ Ἰαείρου.

21 Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ πάλιν εἰς τὸ πέραν συνήχθη ὄχλος πολὺς ἐπ' αὐτόν, καὶ ἦν παρὰ τὴν θάλασσαν.

21 Καὶ ὅταν ἐπέρασεν ὁ Ἰησοῦς μὲ τὸ πλοῖον πάλιν εἰς τὸ ἀπέναντι μέρος, ἐμαζεύθη λαὸς πολὺς πλησίον του, καὶ ἦτο κοντὰ εἰς τὴν θάλασσαν.

22 Καὶ ἔρχεται εἷς τῶν ἀρχισυναγώγων, ὀνόματι Ἰάειρος, καὶ ἰδὼν αὐτὸν πίπτει πρὸς τοὺς πόδας αὐτοῦ

22 Καὶ ἰδοὺ ἔρχεται ἕνας ἀπὸ τοὺς ἀρχισυναγώγους, ποὺ ἐλέγετο Ἰάειρος, καὶ ὅταν τὸν εἶδεν ἔπεσε γονατιστὸς ἐμπρὸς εἰς τὰ πόδια του.

23 καὶ παρεκάλει αὐτὸν πολλά, λέγων ὅτι τὸ θυγάτριόν μου ἐσχάτως ἔχει, ἵνα ἐλθὼν ἐπιθῇς αὐτῇ τὰς χεῖρας, ὅπως σωθῇ καὶ ζήσεται.

23 Καὶ τὸν παρεκάλει πολὺ καὶ ἔλεγεν· ὅτι ἡ μικρά μου θυγατέρα εὑρίσκεται εἰς τὰ τελευταῖα της. Σὲ παρακαλῶ λοιπὸν νὰ ἔλθῃς καὶ νὰ βάλῃς ἐπάνω της τὰς χεῖρας σου, διὰ νὰ σωθῇ ἀπὸ τὴν ἀσθένειαν καὶ ζήσῃ.

24 καὶ ἀπῆλθε μετ' αὐτοῦ· καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν.

24 Καὶ ἐπῆγε μαζί του καὶ τὸν ἠκολούθει πολὺς λαὸς καὶ τὸν ἐστρίμωχναν ἀπὸ ὅλα τὰ μέρη.

25 Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα,

25 Καὶ μία γυναῖκα, ποὺ ἔπασχεν ἀπὸ αἱμορραγίαν ἐπὶ ἔτη δώδεκα,

26 καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπα-

26 καὶ ἡ ὁποία πολλὰ ὑπέφερεν ἀπὸ τὴν κακὴν θεραπείαν πολλῶν ἰατρῶν καὶ ἐξώδευσεν ὅλα, ὅσα ἠμπόρεσε νὰ ἐξοικονομή-

17) Λκ. η΄ 37. Μτ. η΄ 34. 18-20) ζ΄ 31. Λκ. η΄ 38. 39. 21-24) ζ΄ 32. Λκ. η΄ 40 - 42. Μτ. θ΄ 1. 18. 19. Ἰν. δ΄ 49. 25-29) Λκ. η΄ 43. 44. Μτ. θ΄ 20. 21.

νήσασα τὰ παρ' ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα,

27 ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ·

28 ἔλεγε γὰρ ἐν ἑαυτῇ ὅτι ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ, σωθήσομαι.

29 καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος.

30 καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγε· τίς μου ἥψατο τῶν ἱματίων;

31 καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις τίς μου ἥψατο;

32 καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν.

33 ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν.

34 ὁ δὲ εἶπεν αὐτῇ· θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

35 Ἔτι αὐτοῦ λαλοῦντος ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου λέγοντες ὅτι ἡ θυγάτηρ σου ἀπέθανε· τί ἔτι σκύλλεις τὸν διδάσκαλον;

36 ὁ δὲ Ἰησοῦς εὐθέως ἀκούσας τὸν λόγον λαλούμενον λέγει τῷ ἀρχισυναγώγῳ· μὴ φοβοῦ, μόνον πίστευε.

σῃ, καὶ δὲν ὠφελήθη τίποτε, ἀλλὰ μᾶλλον ἐπήγεν εἰς τὸ χειρότερον,

27 ἐπειδὴ ἤκουσε διὰ τὸν Ἰησοῦν, ὅτι ἐνεργεῖ θαυματουργικὰς θεραπείας, ἦλθε μέσα εἰς τὸν λαὸν ἀπὸ πίσω του καὶ ἤγγισε τὸ ἔνδυμά του.

28 Ἤγγισε δὲ τὸ ἔνδυμά του, διότι ἔλεγε μέσα της, ὅτι καὶ ἐὰν μόνον τὰ ἐνδύματά του ἐγγίσω, θὰ σωθῶ ἀπὸ τὴν ἀσθένειάν μου.

29 Καὶ ἀμέσως ἐστείρευσε καὶ ἐξηράνθη τὸ μέρος, ἀπὸ τὸ ὁποῖον ἔτρεχε τὸ αἷμα της, καὶ ἐκατάλαβεν ἀπὸ τὴν μεταβολὴν ποὺ ἐπῆρε τὸ σῶμα της, ὅτι ἐθεραπεύθη ἀπὸ τὴν βασανιστικὴν ἀρρώστιαν της.

30 Καὶ ἀμέσως ὁ Ἰησοῦς ἐπληροφορήθη ἐσωτερικῶς ἀπὸ τὴν θείαν του φύσιν τὴν δύναμιν, ποὺ ἐβγῆκεν ἀπὸ αὐτόν, καὶ ἀφοῦ ἐστράφη πρὸς τὸν λαόν, εἶπε· Ποῖος ἤγγισε τὰ ἐνδύματά μου;

31 Καὶ τοῦ ἔλεγον οἱ μαθηταί του· Βλέπεις, ὅτι ὁ ὄχλος σὲ σπρώχνει ἀπὸ ὅλα τὰ μέρη καὶ λέγεις· ποῖος μὲ ἤγγισε;

32 Ἀλλ' ὁ Ἰησοῦς παρετήρει γύρω διὰ νὰ ἴδῃ αὐτήν, ποὺ ἔκαμεν αὐτό.

33 Ἡ γυνὴ δὲ μὲ φόβον καὶ τρόμον, ἐπειδὴ ἐγνώριζε τὴν θεραπείαν, ποὺ τῆς εἶχε γίνει, ἦλθε καὶ ἔπεσε γονατιστὴ ἐμπρός του καὶ τοῦ εἶπεν ὅλην τὴν ἀλήθειαν.

34 Αὐτὸς δὲ τῆς εἶπε· Κόρη μου, ἡ πίστις καὶ πεποίθησις ποὺ εἶχες, ὅτι θὰ ἐθεραπεύεσο, ἐὰν ἤγγιζες τὸ ἔνδυμά μου, σὲ ἔχει σώσει ἀπὸ τὴν ἀσθένειάν σου. Πήγαινε εἰς τὸ καλὸ εἰρηνικὴ καὶ ἥσυχος καὶ ἔσο γιὰ πάντα ὑγιὴς ἀπὸ τὸ βάσανόν σου.

35 Ἐνῷ δὲ ὁ Ἰησοῦς ὡμίλει ἀκόμη, ἔρχονται ἀπὸ τὸ σπίτι τοῦ ἀρχισυναγώγου ἄνθρωποι καὶ εἶπαν ὅτι ἡ κόρη σου ἀπέθανε. Πρὸς τί ἐνοχλεῖς ἀκόμη τὸν Διδάσκαλον καὶ τὸν βάζεις εἰς τὸν κόπον νὰ ἔλθῃ ἐκεῖ;

36 Ὁ δὲ Ἰησοῦς ἀμέσως, ὅταν ἤκουσε νὰ λέγεται ὁ λόγος αὐτός, λέγει εἰς τὸν ἀρχισυνάγωγον· Μὴ φοβεῖσαι, μόνον ἐξακολούθει νὰ πιστεύῃς εἰς τὴν δύναμίν μου.

30-33) Λκ. η΄ 45 - 47. 34) Λκ. ζ΄ 50. η΄ 48. Μτ. θ΄ 22. 35-37) Λκ. η΄ 49 - 51.

37 καὶ οὐκ ἀφῆκεν αὐτῷ οὐδένα συνακολουθῆσαι εἰ μὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν Ἰακώβου.

38 καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου, καὶ θεωρεῖ θόρυβον, καὶ κλαίοντας καὶ ἀλαλάζοντας πολλά,

39 καὶ εἰσελθὼν λέγει αὐτοῖς· τί θορυβεῖσθε καὶ κλαίετε; τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει. καὶ κατεγέλων αὐτοῦ.

40 ὁ δὲ ἐκβαλὼν πάντας παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου καὶ τὴν μητέρα καὶ τοὺς μετ' αὐτοῦ, καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον ἀνακείμενον,

41 καὶ κρατήσας τῆς χειρὸς τοῦ παιδίου λέγει αὐτῇ· ταλιθά, κοῦμι· ὅ ἐστι μεθερμηνευόμενον, τὸ κοράσιον, σοὶ λέγω, ἔγειρε.

42 καὶ εὐθέως ἀνέστη τὸ κοράσιον καὶ περιεπάτει· ἦν γὰρ ἐτῶν δώδεκα. καὶ ἐξέστησαν ἐκστάσει μεγάλῃ.

43 καὶ διεστείλατο αὐτοῖς πολλὰ ἵνα μηδεὶς γνῷ τοῦτο· καὶ εἶπε δοθῆναι αὐτῇ φαγεῖν.

37 Καὶ δὲν ἀφῆκε κανένα νὰ τὸν ἀκολουθήσῃ παρὰ μόνον τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβου.

38 Καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου καὶ βλέπει θόρυβον, καὶ κόσμον, ποὺ ἔκλαιαν καὶ ἐμοιρολογοῦσαν δυνατά.

39 Καὶ ἀφοῦ ἐμβῆκεν εἰς τὸν οἶκον, τοὺς εἶπε· Διατί μὲ τὰ μοιρολόγια σας κάνετε θόρυβον καὶ κλαίετε; Τὸ παιδίον δὲν ἀπέθανεν, ἀλλὰ κοιμᾶται. Καὶ τὸν περιγελοῦσαν.

40 Αὐτὸς ὅμως ἀφοῦ ἔβγαλεν ἔξω ὅλους, παίρνει μαζί του τὸν πατέρα τοῦ κορασίου καὶ τὴν μητέρα καὶ τοὺς τρεῖς μαθητὰς ποὺ ἦσαν μαζί του, καὶ ἐμβαίνει ἐκεῖ, ὅπου ἦτο ἐξαπλωμένον τὸ παιδίον.

41 Καὶ ἀφοῦ ἔπιασε τὸ χέρι τοῦ παιδίου, λέγει εἰς αὐτό· «Ταλιθά, κοῦμι», τὸ ὁποῖον, ὅταν ἐξηγηθῇ εἰς τὴν ἑλληνικὴν γλῶσσαν, σημαίνει· Τὸ κοράσιον, εἰς σὲ ὁμιλῶ, σήκω.

42 Καὶ ἀμέσως ἀνεστήθη τὸ κοράσιον καὶ ἐπεριπάτει. Διότι δὲν ἦτο πολὺ μικρόν, ἀλλ' ἦτο ἐτῶν δώδεκα καὶ εἶχεν ἡλικίαν ἀρκετήν, ὥστε νὰ περιπατῇ ἐλεύθερα. Καὶ τοὺς κατέλαβεν ἔκπληξις καὶ θαυμασμὸς μεγάλος.

43 Καὶ τοὺς παρήγγειλεν αὐστηρὰ καὶ ἔντονα νὰ μὴ μάθῃ κανεὶς τὸ θαῦμα αὐτό. Καὶ ἐπειδὴ τὸ κοράσιον λόγῳ τῆς ἀσθενείας του εἶχε μείνει ἀρκετὰς ἡμέρας νηστικόν, εἶπε νὰ δώσουν εἰς αὐτὸ νὰ φάγῃ.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ΄.

Στίχ. 1-6. Οἱ Ναζαρηνοὶ καὶ ὁ Ἰησοῦς.

Καὶ ἐξῆλθεν ἐκεῖθεν καὶ ἦλθεν εἰς τὴν πατρίδα ἑαυτοῦ· καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.

Καὶ ἀνεχώρησεν ἀπ' ἐκεῖ καὶ ἦλθεν εἰς τὴν πατρίδα του τὴν Ναζαρέτ, καὶ ἠκολούθησαν αὐτὸν οἱ μαθηταί του.

38-43) Λκ. ζ΄ 14. η΄ 52 - 56. Μτ. θ΄ 23 - 26. Πρ. θ΄ 40. 41.
ΣΤ΄. 1-6) Λκ. δ΄ 16 - 24. Μτ. α΄ 16. ιγ΄ 53 - 58. Ἰν. δ΄ 44. ς΄ 42. ζ΄ 15.

2 καὶ γενομένου σαββάτου ἤρξατο ἐν τῇ συναγωγῇ διδάσκειν· καὶ πολλοὶ ἀκούοντες ἐξεπλήσσοντο λέγοντες· πόθεν τούτῳ ταῦτα; καὶ τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ, καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται;

2 Καὶ ὅταν ἦλθεν ἡ ἡμέρα τοῦ Σαββάτου ἤρχισε νὰ διδάσκῃ εἰς τὴν συναγωγήν, καὶ πολλοὶ ποὺ τὸν ἤκουαν ἐθαύμαζαν καὶ ἔλεγαν· Ἀπὸ ποῦ ἦλθαν εἰς αὐτὸν αὐτά, ποὺ βλέπομεν καὶ ἀκούομεν, καὶ τί πρᾶγμα εἶναι ἡ σοφία αὐτή, ποὺ τοῦ ἐδόθη, καὶ μὲ τὴν βοήθειαν ποίας δυνάμεως γίνονται τέτοια θαύματα μὲ τὰ χέρια του;

3 οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ υἱὸς τῆς Μαρίας, ἀδελφὸς δὲ Ἰακώβου καὶ Ἰωσῆ καὶ Ἰούδα καὶ Σίμωνος; καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς; καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ.

3 Δὲν εἶναι αὐτὸς ὁ μαραγκός, ὁ υἱὸς τῆς Μαρίας, καὶ ὁ ἀδελφὸς τοῦ Ἰακώβου καὶ τοῦ Ἰωσῆ καὶ τοῦ Ἰούδα καὶ τοῦ Σίμωνος; Καὶ δὲν εἶναι ἐδῶ μαζί μας αἱ ἀδελφαί του; Καὶ ἐσκανδαλίζοντο δι' αὐτὸν καὶ δὲν ἤθελαν νὰ τὸν παραδεχθοῦν ὡς προφήτην, ἀλλὰ τὸν παρηκολούθουν μὲ ὑποψίαν.

4 ἔλεγε δὲ αὐτοῖς ὁ Ἰησοῦς ὅτι οὐκ ἔστι προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν τοῖς συγγενέσι καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.

4 Ἔλεγε δὲ εἰς αὐτοὺς ὁ Ἰησοῦς, ὅτι πουθενὰ δὲν ἀρνοῦνται νὰ τιμήσουν ἕνα προφήτην, παρὰ μόνον εἰς τὴν πατρίδα του καὶ μεταξὺ τῶν συγγενῶν του καὶ μεταξὺ αὐτῶν, ποὺ μένουν εἰς τὸ σπίτι του.

5 καὶ οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι, εἰ μὴ ὀλίγοις ἀρρώστοις ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσε·

5 Καὶ ἐπειδὴ αὐτοὶ ἠπίστησαν, ἡ ἀπιστία των ἠμπόδιζε τὴν ἐνέργειαν τῆς θαυματουργικῆς του δυνάμεως καὶ δὲν ἠδύνατο ἐκεῖ νὰ κάμῃ κανὲν ἀπὸ τὰ μεγάλα θαύματά του, παρὰ μόνον ἐθεράπευσεν ὀλίγους ἀρρώστους, ἀφοῦ ἔθεσεν ἐπ' αὐτῶν τὰς χεῖρας του.

6 καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν αὐτῶν. Καὶ περιῆγε τὰς κώμας κύκλῳ διδάσκων.

6 Καὶ ἠπόρει ὁ Κύριος μὲ τὴν ἀπιστίαν των, τὴν ὁποίαν ὡς διακρίνων τὰ βάθη τῆς καρδίας των εὕρισκεν ἀδικαιολόγητον καὶ βαρεῖαν. Καὶ περιώδευε τριγύρω εἰς τὰ χωριὰ καὶ ἐδίδασκε.

Στίχ. 7-13. Ἀποστολὴ τῶν δώδεκα.

7 Καὶ προσκαλεῖται τοὺς δώδεκα, καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο, καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων,

7 Καὶ προσκαλεῖ τοὺς δώδεκα καὶ ἤρχισε νὰ τοὺς ἀποστέλλῃ εἰς περιοδείαν δύο δύο, καὶ τοὺς ἔδιδεν ἐξουσίαν καὶ δύναμιν νὰ βγάζουν ἀπὸ τοὺς πάσχοντας τὰ ἀκάθαρτα πνεύματα.

8 καὶ παρήγγειλεν αὐτοῖς ἵνα μηδὲν αἴρωσιν εἰς ὁδὸν εἰ μὴ ῥάβδον μόνον, μὴ πήραν, μὴ ἄρτον, μὴ εἰς τὴν ζώνην χαλκόν,

8 Καὶ τοὺς παρήγγειλε νὰ μὴ παίρνουν τίποτε εἰς τὸν δρόμον τους παρὰ τὸ πολὺ - πολὺ μίαν ῥάβδον μόνον· οὔτε σάκκον οὔτε ψωμὶ οὔτε κἂν χάλκινα νομίσματα εἰς τὴν ζώνην τους,

9 ἀλλ' ὑποδεδεμένους σανδάλια, καὶ μὴ ἐνδεδύσθαι δύο χιτῶνας.

9 ἀλλὰ νὰ πηγαίνουν ὑποδεμένοι μὲ ἁπλᾶ πέδιλα. Καὶ νὰ μὴ εἶναι ἐνδεδυμένοι μὲ δύο ὑποκάμισα, ὅπως ἐφόρουν τὰ ἐπίσημα πρόσωπα.

[7-11]) Λκ. θ΄ 1 - 5. ι΄ 1 - 11. Μτ. ι΄ 1. 9 - 10. 12. 14 - 15.

10 καὶ ἔλεγεν αὐτοῖς· ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε ἐκεῖθεν·

10 Καὶ ἔλεγεν εἰς αὐτούς· ὁπουδήποτε ἐμβῆτε εἰς οἰκίαν, ἐκεῖ νὰ μένετε, ἕως ὅτου φύγετε ἀπὸ τὸ μέρος ἐκεῖνο, διὰ νὰ μὴ σχηματίζουν οἱ ἄνθρωποι διὰ σᾶς ἰδέαν, ὅτι εἶσθε ἄστατοι καὶ ἐπιπόλαιοι ἢ ὅτι ἐπιζητεῖτε τὴν καλοπέρασιν.

11 καὶ ὅσοι ἐὰν μὴ δέξωνται ὑμᾶς μηδὲ ἀκούσωσιν ὑμῶν, ἐκπορευόμενοι ἐκεῖθεν ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν εἰς μαρτύριον αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόρροις ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ.

11 Καὶ ὅσοι τυχὸν δὲν σᾶς δεχθοῦν οὔτε σᾶς ἀκούσουν, ὅταν φεύγετε ἀπ' ἐκεῖ, εἰς δήλωσιν τοῦ ὅτι δὲν ἐπήρατε τίποτε μαζί σας ἀπὸ αὐτούς, οὔτε ἔχετε καμμίαν σχέσιν μαζί των, τινάξατε καλὰ ὡς ἀκάθαρτον καὶ μολυσματικὸν τὸ χῶμα, ποὺ ἀπὸ τὸ μέρος ἐκεῖνο ἐκόλλησε κάτω ἀπὸ τὰ πόδια σας εἰς τὰ σανδάλιά σας. Τινάξατέ το διὰ νὰ χρησιμεύσῃ ὡς διαμαρτυρία καὶ ἔλεγχος κατὰ τῶν ἀνθρώπων αὐτῶν. Ἀληθῶς σᾶς λέγω ὅτι θὰ εἶναι περισσότερον ἐπιεικὴς ἡ τιμωρία εἰς τὰ Σόδομα καὶ εἰς τὰ Γόμορρα κατὰ τὴν ἡμέραν τῆς κρίσεως παρὰ εἰς τὴν πόλιν ἐκείνην.

12 Καὶ ἐξελθόντες ἐκήρυσσον ἵνα μετανοήσωσι,

12 Καὶ ἀφοῦ ἐβγῆκαν εἰς περιοδείαν ἐκήρυττον εἰς τοὺς κατοίκους τῶν διαφόρων χωρίων νὰ μετανοήσουν.

13 καὶ δαιμόνια πολλὰ ἐξέβαλλον, καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀρρώστους καὶ ἐθεράπευον.

13 Καὶ ἔβγαζαν πολλὰ δαιμόνια καὶ ἤλειφαν πολλοὺς ἀρρώστους μὲ ἔλαιον, ποὺ ἐσυμβόλιζε τὴν ἰατρικὴν χάριν τοῦ Ἁγίου Πνεύματος, καὶ τοὺς ἐθεράπευαν.

Στίχ. 14-29. Ἀποκεφάλισις Ἰωάννου τοῦ Βαπτιστοῦ.

14 Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρῴδης· φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ· καὶ ἔλεγεν ὅτι Ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν ἠγέρθη, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ.

14 Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρῴδης περὶ τοῦ Ἰησοῦ καὶ περὶ τῶν ἔργων αὐτοῦ καὶ τῶν μαθητῶν του. Διότι ἔγινε φανερὸν καὶ γνωστὸν τὸ ὄνομα τοῦ Ἰησοῦ. Καὶ ἔλεγεν ὁ Ἡρῴδης, ὅτι ὁ Ἰωάννης ὁ βαπτιστὴς ἀνεστήθη ἐκ νεκρῶν μὲ νέαν ἀποστολὴν καὶ μὲ νέα χαρίσματα ἀπὸ τὸν Θεὸν καὶ δι' αὐτὸ αἱ ὑπερφυσικαὶ δυνάμεις ἐνεργοῦν δι' αὐτοῦ.

15 ἄλλοι ἔλεγον ὅτι Ἠλίας ἐστίν· ἄλλοι δὲ ἔλεγον ὅτι προφήτης ἐστὶν ὡς εἷς τῶν προφητῶν.

15 Ἄλλοι δέ, ποὺ ἐσύχνυζαν τὸν Ἰησοῦν μὲ τοὺς παλαιοὺς προφήτας, ἔλεγον ὅτι αὐτὸς εἶναι ὁ Ἠλίας· ἄλλοι δὲ ἔλεγον, ὅτι εἶναι προφήτης σὰν ἕνας ἀπὸ τοὺς προφήτας.

16 ἀκούσας δὲ ὁ Ἡρῴδης εἶπεν ὅτι ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός ἐστιν· αὐτὸς ἠγέρθη ἐκ νεκρῶν.

16 Ὅταν δὲ ἤκουσεν ὁ Ἡρῴδης αὐτά, ποὺ ἔλεγαν οἱ διάφοροι διὰ τὸν Ἰησοῦν, εἶπεν, ὅτι αὐτὸς εἶναι ὁ Ἰωάννης, τὸν ὁποῖον ἐγὼ ἀπεκεφάλισα. Αὐτὸς ἀνέστη ἐκ νεκρῶν.

17 αὐτὸς γὰρ ὁ Ἡρῴδης ἀποστείλας ἐκράτησε τὸν Ἰωάννην καὶ ἔδησεν αὐτὸν ἐν φυλακῇ διὰ Ἡρῳδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν.

17 Καὶ εἶπεν αὐτὰ ὁ Ἡρῴδης, διότι αὐτὸς ὁ ἴδιος ἔστειλε καὶ συνέλαβε τὸν Ἰωάννην καὶ τὸν ἔρριψε δεμένον εἰς τὴν φυλακὴν ἐξ αἰτίας τῆς Ἡρῳδιάδος, ποὺ ἦτο σύζυγος τοῦ ἀδελφοῦ του Φιλίππου καὶ ὁ Ἡρῴδης τὴν ἐπῆρε σύζυγον.

[12-13]) ζ΄ 33. η΄ 23. Λκ. θ΄ 6. Ἰν. θ΄ 6. Ἰκ. ε΄ 14. 15. [14]) Λκ. θ΄ 7. Μτ. ιδ΄ 1. 2. [15]) Λκ. θ΄ 8. Μτ. ις΄ 14. [16]) Λκ. θ΄ 9. [17]) Λκ. γ΄ 19. 20. Μτ. ιδ΄ 3.

18 ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρῴδῃ ὅτι οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.

18 Ἔγινε δὲ τοῦτο αἰτία τῆς φυλακίσεως τοῦ Ἰωάννου, διότι ἔλεγεν ὁ Ἰωάννης εἰς τὸν Ἡρῴδην, ὅτι δὲν σοῦ ἐπιτρέπεται ἀπὸ τὸν νόμον τοῦ Θεοῦ νὰ ἔχῃς σύζυγον τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου, ὁ ὁποῖος ζῇ ἀκόμη.

19 ἡ δὲ Ἡρῳδιὰς ἐνεῖχεν αὐτῷ καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ ἠδύνατο·

19 Ἡ δὲ Ἡρῳδιὰς ἐκράτει μέσα της μῖσος κατ' αὐτοῦ καὶ ἤθελε νὰ τὸν φονεύσῃ καὶ δὲν ἠδύνατο.

20 ὁ γὰρ Ἡρῴδης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον, καὶ συνετήρει αὐτόν, καὶ ἀκούσας αὐτοῦ πολλὰ ἐποίει καὶ ἡδέως αὐτοῦ ἤκουε.

20 Δὲν ἠδύνατο δὲ ἡ Ἡρῳδιὰς νὰ φονεύσῃ τὸν Ἰωάννην, διότι ὁ Ἡρῴδης ἐφοβεῖτο αὐτὸν καὶ διὰ τὸν σεβασμόν, ποὺ τοῦ εἶχεν ὁ λαός, ἀλλὰ καὶ διότι τὸν ἐγνώριζεν ὡς ἄνθρωπον δίκαιον καὶ ἅγιον. Καὶ δι' αὐτὸ τὸν διετήρει εἰς τὴν ζωήν· καὶ ὅταν τὸν ἤκουσε κάποτε εἰς τὴν φυλακήν, πολλὰ ἀπ' ἐκεῖνα, ποὺ τὸν συνεβούλευσεν ὁ Ἰωάννης, τὰ ἔκαμε, καὶ ὁσάκις συνήντα τὸν Ἰωάννην, τὸν ἤκουε μὲ εὐχαρίστησιν.

21 καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρῴδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας,

21 Καὶ ὅταν ἦλθεν ἡμέρα, ποὺ ἔδιδεν εὐκαιρίαν εἰς τὴν Ἡρῳδιάδα νὰ ἐκτελέσῃ τὸ σχέδιόν της, ὅταν δηλαδὴ ὁ Ἡρῴδης διὰ τὰ γενέθλιά του ἔκανε δεῖπνον εἰς τοὺς μεγάλους ἄρχοντας καὶ εἰς τοὺς ἀνωτέρους ἀξιωματικοὺς τοῦ στρατοῦ καὶ εἰς τοὺς προύχοντας τῆς Γαλιλαίας,

22 καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς Ἡρῳδιάδος καὶ ὀρχησαμένης καὶ ἀρεσάσης τῷ Ἡρῴδῃ καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ· αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοι.

22 καὶ ἐμβῆκεν αὐτὴ ἡ ἰδία ἡ θυγατέρα τῆς Ἡρῳδιάδος, καὶ ἐχόρευσε χορὸν ἄσεμνον καὶ πολὺ ἐξευτελισμένον, καὶ ἤρεσεν εἰς τὸν Ἡρῴδην καὶ εἰς τοὺς καθισμένους μαζί του εἰς τὸ τραπέζι, εἶπεν ὁ βασιλεὺς εἰς τὸ κοράσιον· Ζήτησέ μου ὅ,τιδήποτε θέλεις, καὶ θὰ σοῦ τὸ δώσω.

23 καὶ ὤμοσεν αὐτῇ ὅτι ὃ ἐάν με αἰτήσῃς δώσω σοι, ἕως ἡμίσους τῆς βασιλείας μου.

23 Καὶ τῆς ὡρκίσθη, ὅτι θὰ σοῦ δώσω ὅ,τι καὶ ἂν μοῦ ζητήσῃς ἕως τὸ μισὸ βασίλειόν μου.

24 ἡ δὲ ἐξελθοῦσα εἶπε τῇ μητρὶ αὐτῆς· τί αἰτήσομαι; ἡ δὲ εἶπε· τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ.

24 Ἐκείνη δὲ ἐβγῆκε καὶ εἶπε εἰς τὴν μητέρα της· Τί νὰ ζητήσω; Αὐτὴ δὲ εἶπε: Ζήτησε τὴν κεφαλὴν τοῦ Ἰωάννου τοῦ βαπτιστοῦ.

25 καὶ εἰσελθοῦσα εὐθέως μετὰ σπουδῆς πρὸς τὸν βασιλέα ᾐτήσατο λέγουσα· θέλω ἵνα μοι δῷς ἐξαυτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ.

25 Καὶ ἐμβῆκεν ἐκείνη ἀμέσως βιαστικὰ εἰς τὸν βασιλέα καὶ ἐζήτησε λέγουσα· Θέλω νὰ μοῦ δώσῃς αὐτὴν τὴν ὥραν καὶ χωρὶς χρονοτριβὴν μέσα εἰς πιάτο τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ.

26 καὶ περίλυπος γενόμενος ὁ βασιλεύς, διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμέ-

26 Καὶ ὁ βασιλεὺς κατελυπήθη διότι εἶχε βάλει ὅρκους, ἦσαν δὲ παρόντες καὶ αὐτοί, ποὺ ἐκάθηντο μαζί του εἰς τὸ τραπέζι, εἰς τοὺς ὁποίους δὲν ἤθελε νὰ παρουσιασθῇ ψεύτης καὶ ἐπίορ-

18-29) Μτ. ιδ' 4 - 12.

νους οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι.

κος. Καὶ μολονότι ἐλυπεῖτο πολὺ νὰ θανατώσῃ τὸν Ἰωάννην, δὲν ἠθέλησε νὰ τῆς ἀρνηθῇ καὶ νὰ ἀθετήσῃ τὴν ὑπόσχεσίν του.

27 καὶ εὐθέως ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτωρα ἐπέταξεν ἐνεχθῆναι τὴν κεφαλὴν αὐτοῦ.

27 Καὶ ἀμέσως ὁ βασιλεὺς ἔστειλεν ἕνα στρατιώτην ἀπὸ τοὺς σωματοφύλακάς του μὲ τὴν διαταγὴν νὰ φέρῃ τὴν κεφαλὴν τοῦ Ἰωάννου.

28 ὁ δὲ ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ, καὶ ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ, καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς.

28 Αὐτὸς δὲ ἐπῆγε καὶ τὸν ἀπεκεφάλισε εἰς τὴν φυλακὴν καὶ ἔφερε μέσα εἰς πιάτο τὴν κεφαλὴν τοῦ Ἰωάννου καὶ τὴν ἔδωκεν εἰς τὸ κοράσιον καὶ τὸ κοράσιον τὴν ἔδωκεν εἰς τὴν μητέρα της.

29 καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ ἦλθον καὶ ἦραν τὸ πτῶμα αὐτοῦ, καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ.

29 Καὶ ὅταν ἤκουσαν τοῦτο οἱ μαθηταὶ τοῦ Ἰωάννου, ἦλθον καὶ ἐσήκωσαν τὸ λείψανόν του καὶ τὸ ἔβαλαν μέσα εἰς μνημεῖον.

Στίχ. 30-44. Πολλαπλασιασμὸς τῶν πέντε ἄρτων καὶ τῶν δύο ἰχθύων.

30 Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ ὅσα ἐποίησαν καὶ ὅσα ἐδίδαξαν.

30 Καὶ συναθροίζονται ἀπὸ τὴν περιοδείαν οἱ Ἀπόστολοι πλησίον τοῦ Ἰησοῦ καὶ ἀνέφεραν εἰς αὐτὸν ὅλα, δηλαδὴ καὶ ὅσα ἔργα καὶ θαύματα ἔκαμαν καὶ ὅσα ἐδίδαξαν.

31 καὶ εἶπεν αὐτοῖς· δεῦτε ὑμεῖς αὐτοὶ κατ' ἰδίαν εἰς ἔρημον τόπον, καὶ ἀναπαύεσθε ὀλίγον· ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί, καὶ οὐδὲ φαγεῖν εὐκαίρουν·

31 Καὶ εἶπεν εἰς αὐτούς· Ἔλθετε ἰδιαιτέρως μόνοι σας σεῖς εἰς ἔρημον καὶ ἥσυχον τόπον καὶ ξεκουρασθῆτε ἐκεῖ ὀλίγον. Τοὺς συνέστησε δὲ τοῦτο, διότι ἦσαν πολλοὶ αὐτοί, ποὺ ἤρχοντο καὶ ἔφευγαν καὶ δὲν εὐκαίρουν ὁ Ἰησοῦς καὶ οἱ μαθηταί του οὔτε νὰ φάγουν.

32 καὶ ἀπῆλθον εἰς ἔρημον τόπον ἐν πλοίῳ κατ' ἰδίαν.

32 Καὶ ἔφυγαν μὲ τὸ πλοῖον εἰς ἔρημον τόπον μόνοι αὐτοί, χωρὶς νὰ εἴπουν τίποτε εἰς τὰ πλήθη τοῦ λαοῦ.

33 καὶ εἶδον αὐτοὺς ὑπάγοντας, καὶ ἐπέγνωσαν αὐτοὺς πολλοί, καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ καὶ προῆλθον αὐτοὺς καὶ συνῆλθον πρὸς αὐτόν.

33 Καὶ ὅταν ἀνεχώρουν, τοὺς εἶδαν καὶ τοὺς ἀνεγνώρισαν πολλοί. Καὶ ἔτρεξαν μαζὶ ἐκεῖ ἀπὸ ὅλας τὰς τριγύρω πόλεις καὶ ἀφοῦ πεζοὶ διέτρεξαν τὸν γῦρον τῆς λίμνης καὶ διέβησαν τὸν Ἰορδάνην, κατέφθασαν τοὺς μαθητὰς καὶ συνηθροίσθησαν πλησίον τοῦ Ἰησοῦ.

34 Καὶ ἐξελθὼν ὁ Ἰησοῦς εἶδε πολὺν ὄχλον καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα, καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά.

34 Καὶ ὅταν ἐβγῆκεν ὁ Ἰησοῦς ἀπὸ τὸ μοναχικὸν μέρος ποὺ ἦτο, εἶδε πολὺν λαὸν καὶ τοὺς συνεπάθησε πολύ, διότι ἦσαν ἐγκαταλελειμμένοι καὶ χωρὶς πνευματικὴν καθοδήγησιν, σὰν πρόβατα ποὺ δὲν ἔχουν ποιμένα. Καὶ ἤρχισε νὰ τοὺς διδάσκῃ διὰ πολλῶν.

30) Λκ. θ' 10. ι' 17. 31-36) γ' 20. η' 1 - 4. Λκ. θ' 10 - 12. Μτ. θ' 36. ιδ' 13 - 15. Ἰν. ς' 5. 6.

35 Καὶ ἤδη ὥρας πολλῆς γενομένης προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγουσιν ὅτι ἔρημός ἐστιν ὁ τόπος καὶ ἤδη ὥρα πολλή·	35 Καὶ ἀφοῦ ἐπέρασε πλέον ὥρα πολλή, τὸν ἐπλησίασαν οἱ μαθηταὶ καὶ τοῦ εἶπαν, ὅτι ὁ τόπος εἶναι ἔρημος καὶ ἡ ὥρα εἶναι πλέον περασμένη.
36 ἀπόλυσον αὐτούς, ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας ἀγοράσωσιν ἑαυτοῖς ἄρτους· τί γὰρ φάγωσιν οὐκ ἔχουσιν.	36 Διάλυσέ τους, διὰ νὰ ὑπάγουν εἰς τὰς ἀγροτικὰς κατοικίας καὶ τὰ χωριά, ποὺ εἶναι τριγύρω, καὶ νὰ ἀγοράσουν ψωμιὰ διὰ νὰ φάγουν. Διότι δὲν ἔχουν τί νὰ φάγουν.
37 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· δότε αὐτοῖς ὑμεῖς φαγεῖν. καὶ λέγουσιν αὐτῷ· ἀπελθόντες ἀγοράσωμεν δηναρίων διακοσίων ἄρτους καὶ δῶμεν αὐτοῖς φαγεῖν;	37 Ἐκεῖνος δὲ ἀπεκρίθη καὶ εἶπε· Δώσατέ τους σεῖς νὰ φάγουν. Καὶ αὐτοὶ τοῦ εἶπαν· Νὰ ὑπάγωμεν ἡμεῖς καὶ νὰ ἀγοράσωμεν ψωμιὰ ἀξίας διακοσίων χρυσῶν δραχμῶν καὶ νὰ τοὺς δώσωμεν νὰ φάγουν; Ποῦ νὰ εὕρωμεν τὸ τόσον χρῆμα;
38 ὁ δὲ λέγει αὐτοῖς· πόσους ἄρτους ἔχετε; ὑπάγετε καὶ ἴδετε. καὶ γνόντες λέγουσι· πέντε, καὶ δύο ἰχθύας.	38 Αὐτὸς δὲ τοὺς εἶπε· Πόσα ψωμιὰ ἔχετε; Πηγαίνετε νὰ ἴδετε. Καὶ ἀφοῦ εἶδαν τί εἶχαν, εἶπον· Ἔχομεν πέντε ψωμιὰ καὶ δύο ψάρια.
39 καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ.	39 Καὶ τοὺς διέταξε νὰ τοὺς καθίσουν ὅλους ἐπάνω εἰς τὸ χλωρὸν χορτάρι παρέας παρέας.
40 καὶ ἀνέπεσον πρασιαὶ πρασιαὶ ἀνὰ ἑκατὸν καὶ ἀνὰ πεντήκοντα.	40 Καὶ ἐξαπλώθησαν ὁμάδες κανονικαί, αἱ ὁποῖαι ἐπάνω εἰς τὴν πρασινάδα ὡμοίαζαν πρὸς φυτευμένα τετράγωνα κήπων. Καὶ ἦσαν ὁμάδες ἀπὸ ἑκατὸν καὶ ἀπὸ πεντήκοντα ἀνθρώπους ἡ κάθε μία.
41 καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησε, καὶ κατέκλασε τοὺς ἄρτους καὶ ἐδίδου τοῖς μαθηταῖς ἵνα παραθῶσιν αὐτοῖς, καὶ τοὺς δύο ἰχθύας ἐμέρισε πᾶσι.	41 Καὶ ἀφοῦ ἐπῆρε τοὺς πέντε ἄρτους καὶ τὰ δύο ψάρια, ἐσήκωσε τὰ μάτια του εἰς τὸν οὐρανὸν καὶ εὐχαρίστησε καὶ ἐπεκαλέσθη τὸν Θεὸν καὶ ἐτεμάχισε τὰ ψωμιὰ καὶ ἔδιδεν εἰς τοὺς μαθητάς του νὰ τὰ βάλουν ἐμπρός των, καὶ τὰ δύο ψάρια τὰ ἐμοίρασεν εἰς ὅλους.
42 καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν,	42 Καὶ ἔφαγαν ὅλοι καὶ ἐχόρτασαν.
43 καὶ ἦραν κλασμάτων δώδεκα κοφίνους πλήρεις, καὶ ἀπὸ τῶν ἰχθύων.	43 Καὶ ἐσήκωσαν κομμάτια, ποὺ ἐπερίσσευσαν, δώδεκα κοφίνια γεμᾶτα, καὶ ἀπὸ τὰ ψάρια ἐμάζευσαν περισσεύματα.
44 καὶ ἦσαν οἱ φαγόντες τοὺς ἄρτους πεντακισχίλιοι ἄνδρες.	44 Καὶ αὐτοί, ποὺ ἔφαγαν τοὺς ἄρτους, ἦσαν πέντε χιλιάδες ἄνδρες.

[37-44]) η΄ 5 - 9. Λκ. θ΄ 13 - 17. Μτ. ιδ΄ 16 - 21. ιε΄ 33 - 38. Ἰν. ς΄ 7 - 13.

Στίχ. 45-52. Ὁ Ἰησοῦς περιπατεῖ ἐπὶ τῆς θαλάσσης.

45 Καὶ εὐθέως ἠνάγκασε τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν εἰς τὸ πέραν πρὸς Βηθσαϊδάν, ἕως αὐτὸς ἀπολύσῃ τὸν ὄχλον·	45 Καὶ ἀμέσως ὁ Ἰησοῦς διὰ νὰ μὴ παρασυρθοῦν οἱ μαθηταὶ ἀπὸ τὸν ἐνθουσιασμὸν τοῦ λαοῦ, ποὺ ἤθελε νὰ τὸν ἀνακηρύξῃ βασιλέα, τοὺς ἠνάγκασε νὰ ἔμβουν εἰς τὸ πλοῖον καὶ νὰ περάσουν προτήτερα ἀπὸ αὐτὸν εἰς τὸ ἀπέναντι μέρος τῆς λίμνης, εἰς τὴν Βηθσαϊδάν, ἕως ὅτου αὐτὸς διαλύσῃ τὰ πλήθη τοῦ λαοῦ.
46 καὶ ἀποταξάμενος αὐτοῖς ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι.	46 Καὶ ἀφοῦ τοὺς ἀπεχαιρέτισεν, ἀνεχώρησεν εἰς τὸ ὄρος νὰ προσευχηθῇ.
47 καὶ ὀψίας γενομένης ἦν τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης, καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς.	47 Καὶ ὅταν ἐβράδυασε καλά, τὸ πλοῖον ἦτο εἰς τὸ μέσον τῆς λίμνης, καὶ αὐτὸς ἦτο μοναχὸς ἐπὶ τῆς ξηρᾶς.
48 καὶ ἰδὼν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν· ἦν γὰρ ὁ ἄνεμος ἐναντίος αὐτοῖς· καὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρχεται πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης, καὶ ἤθελε παρελθεῖν αὐτούς.	48 Καὶ τοὺς εἶδε νὰ βασανίζωνται μὲ τὰ κύματα καθὼς ἐπροχώρουν. Ἐβασανίζοντο δέ, διότι ὁ ἄνεμος ἦτο ἐναντίος. Κατὰ δὲ τὸ τελευταῖον τρίωρον τῆς νυκτός, ὅτε παρελάμβανε τὴν στρατιωτικὴν φρουρὰν τὸ τέταρτον τμῆμα τῶν σκοπῶν, ἔρχεται πρὸς αὐτοὺς ὁ Ἰησοῦς περιπατῶν ἐπάνω εἰς τὴν θάλασσαν, σὰν νὰ ἦτο αὐτὴ ξηρά. Καὶ ἤθελε νὰ τοὺς προσπεράσῃ.
49 οἱ δὲ ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης ἔδοξαν φάντασμα εἶναι, καὶ ἀνέκραξαν·	49 Αὐτοὶ δέ, ὅταν τὸν εἶδαν νὰ περιπατῇ ἐπάνω εἰς τὴν θάλασσαν, ἐνόμισαν ὅτι αὐτὸ τὸ πρωτοφανές, ποὺ ἔβλεπαν, εἶναι φάντασμα. Καὶ ἔβγαλαν κραυγὴν τρόμου.
50 πάντες γὰρ αὐτὸν εἶδον καὶ ἐταράχθησαν. καὶ εὐθέως ἐλάλησε μετ' αὐτῶν καὶ λέγει αὐτοῖς· θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε.	50 Ἔβγαλαν δὲ ὅλοι τὴν κραυγὴν αὐτήν, διότι ὅλοι τὸν εἶδαν καὶ ἐταράχθησαν. Καὶ ἀμέσως ὁ Ἰησοῦς τοὺς ὡμίλησε καὶ τοὺς εἶπε· Ἔχετε θάρρος· ἐγώ εἶμαι· μὴ φοβεῖσθε.
51 καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον, καὶ ἐκόπασεν ὁ ἄνεμος· καὶ λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο καὶ ἐθαύμαζον.	51 Καὶ ἀνέβη πλησίον τους εἰς τὸ πλοῖον καὶ ἡσύχασεν ὁ ἄνεμος. Καὶ ἐκυριεύθη τὸ ἐσωτερικόν τους ἀπὸ ὑπερβολικὴν ἔκστασιν, ὥστε δὲν ἠδύναντο νὰ ἐκφράσουν ὅ,τι ᾐσθάνοντο. Καὶ ἐθαύμαζον, μολονότι πρὸ ὀλίγου εἶχε κάμει ὁ Ἰησοῦς καὶ τὸ ἄλλο καταπληκτικὸν θαῦμα.
52 οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις, ἀλλ' ἦν αὐτῶν ἡ καρδία πεπωρωμένη.	52 Θαυμάζουν ὅμως τώρα πάρα πολύ, διότι δὲν ἐκατάλαβαν, τί εἶχε γίνει μὲ τὰ ψωμιὰ καὶ δὲν εἶχαν ἐκτιμήσει κατὰ βάθος τὸ θαῦμα ἐκεῖνο. Ἔπρεπε βέβαια νὰ τὸ εἶχαν καταλάβει. Ἀλλ' ἡ διάνοιά των ἦταν παχυλὴ καὶ βραδυκίνητος, ἐπειδὴ δὲν εἶχαν λάβει ἀκόμη τὸν φωτισμὸν τοῦ Πνεύματος.

Στίχ. 53-56. Πολλαὶ ὁμαδικαὶ θεραπεῖαι.

53 Καὶ διαπεράσαντες ἀ-	53 Καὶ ἀφοῦ ἐπέρασαν διὰ μέσου τῆς λίμνης, ἦλθον εἰς τὴν

[45-52]) η΄ 17. Μτ. ιδ΄ 22 - 33.

πῆλθον ἐπὶ τὴν γῆν Γεννησαρὲτ καὶ προσωρμίσθησαν.

χώραν Γεννησαρὲτ καὶ ἀγκυροβόλησαν ἐκεῖ.

54 καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου εὐθέως ἐπιγνόντες αὐτὸν

54 Καὶ ὅταν αὐτοὶ ἐβγῆκαν ἀπὸ τὸ πλοῖον, ἀμέσως οἱ κάτοικοι τῆς χώρας ἐκείνης τὸν ἀνεγνώρισαν,

55 περιέδραμον ὅλην τὴν περίχωρον ἐκείνην καὶ ἤρξαντο ἐπὶ τοῖς κραβάττοις τοὺς κακῶς ἔχοντας περιφέρειν ὅπου ἤκουον ὅτι ἐκεῖ ἐστι·

55 καὶ ἔτρεξαν γύρω εἰς ὅλην ἐκείνην τὴν περιφέρειαν διαδίδοντες τὴν εἴδησιν, ὅτι ἦλθε, καὶ ἄρχισαν νὰ περιφέρουν ἐπάνω εἰς τὰ κρεββάτια τοὺς ἀρρώστους ἀπὸ τὸ ἓν μέρος εἰς τὸ ἄλλο, ὅπου ἤκουαν ὅτι ἦτο ἐκεῖ ὁ Ἰησοῦς.

56 καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας ἢ πόλεις ἢ ἀγρούς, ἐν ταῖς ἀγοραῖς ἐτίθεσαν τοὺς ἀσθενοῦντας καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται· καὶ ὅσοι ἂν ἥπτοντο αὐτοῦ, ἐσῴζοντο.

56 Καὶ ὁπουδήποτε καὶ ἂν ἔμβαιναν εἰς χωρία ἢ εἰς πόλεις ἢ εἰς ἐξοχικοὺς συνοικισμούς, ἐτοποθέτουν εἰς τὰς ἀγορὰς τοὺς ἀσθενεῖς καὶ τὸν παρεκάλουν νὰ ἐγγίσουν ἔστω καὶ τὴν ἄκραν τοῦ ἐξωτερικοῦ του ἐνδύματος. Καὶ ὅσοι τὴν ἤγγιζον, ἐσῴζοντο ἀπὸ τὴν ἀσθένειάν των.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Στίχ. 1-13. Αἱ παραδόσεις τῶν πρεσβυτέρων δὲν καταλύουν τὸν νόμον.

Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι καί τινες τῶν γραμματέων ἐλθόντες ἀπὸ Ἱεροσολύμων·

Καὶ ἐμαζεύθησαν πλησίον του οἱ Φαρισαῖοι καὶ μερικοὶ ἀπὸ τοὺς γραμματεῖς, ποὺ ἦλθαν ἀπὸ τὰ Ἱεροσόλυμα.

2 καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ κοιναῖς χερσί, τοῦτ' ἔστιν ἀνίπτοις, ἐσθίοντας ἄρτους, ἐμέμψαντο·

2 Καὶ ὅταν εἶδαν μερικοὺς ἀπὸ τοὺς μαθητάς του νὰ τρώγουν ψωμὶ μὲ χέρια ἀκάθαρτα, τουτέστι μὲ χέρια ποὺ δὲν τὰ εἶχαν νίψει, κατέκριναν καὶ ἐμέμφθησαν τὴν πρᾶξιν.

3 οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων·

3 Τὴν κατέκριναν δέ, διότι οἱ Φαρισαῖοι καὶ ὅλοι οἱ Ἰουδαῖοι, ἐὰν δὲν νίψουν τὰ χέρια των καὶ δὲν καθαρίσουν μὲ τὴν πυγμὴν τοῦ κάθε χεριοῦ τὴν παλάμην καὶ τὰ δάκτυλα τοῦ ἄλλου, δὲν τρώγουν. Καὶ τὸ κάνουν αὐτὸ φυλάττοντες τὴν παράδοσιν τῶν παλαιοτέρων διδασκάλων.

4 καὶ ἀπὸ ἀγορᾶς, ἐὰν μὴ βαπτίσωνται, οὐκ ἐσθίουσι· καὶ ἄλλα πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν, βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων καὶ κλινῶν·

4 Καὶ ὅταν ἐπιστρέψουν ἀπὸ τὴν ἀγοράν, δὲν τρώγουν, ἐὰν δὲν βουτηχθοῦν ὁλόκληροι εἰς τὸ νερόν. Καὶ ἄλλα πολλὰ ὑπάρχουν, τὰ ὁποῖα ἐκ παραδόσεως παρέλαβον νὰ φυλάττουν, δηλαδὴ πλύσεις μέσα εἰς ἄφθονον νερὸν ποτηρίων καὶ μεγαλυτέρων ἀγγείων καὶ χαλκωμάτων καὶ καναπέδων τῆς τραπεζαρίας.

53-56) Μτ. ιδ΄ 34 - 36. Πρ. ε΄ 15.
Ζ΄. 1-23) Λκ. ια΄ 38. Μτ. ιε΄ 1 - 20. κγ΄ 25. 26.

5 ἔπειτα ἐπερωτῶσιν αὐτὸν οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς· διατί οὐ περιπατοῦσιν οἱ μαθηταί σου κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλ' ἀνίπτοις χερσὶν ἐσθίουσι τὸν ἄρτον;

5 Ἔπειτα τὸν ἐρωτοῦν οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς· Διατί οἱ μαθηταί σου δὲν συμπεριφέρονται σύμφωνα μὲ τὴν παράδοσιν τῶν παλαιοτέρων διδασκάλων, ἀλλὰ τρώγουν τὸ ψωμὶ μὲ χέρια ἄνιπτα;

6 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς ὅτι καλῶς προεφήτευσεν Ἡσαΐας περὶ ὑμῶν τῶν ὑποκριτῶν, ὡς γέγραπται· ***οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ·***

6 Αὐτὸς δὲ ἀπεκρίθη καὶ εἶπεν εἰς αὐτούς, ὅτι καλὰ ἐπροφήτευσεν ὁ Ἡσαΐας διὰ σᾶς τοὺς ὑποκριτάς, καθὼς ἔχει γραφῆ· Αὐτὸς ὁ λαὸς μὲ τὰ χείλη μὲ τιμᾷ, ἡ καρδία τους ὅμως ἀπέχει μακρυὰ ἀπὸ ἐμέ.

7 μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων.

7 Ψεύτικα δὲ καὶ ἀνώφελα μὲ λατρεύουν, ἐπειδὴ διδάσκουν διδασκαλίας, ποὺ εἶναι παραγγέλματα καὶ ἐντολαὶ ἀνθρώπων καὶ ὄχι ἰδικαί μου.

8 ἀφέντες γὰρ τὴν ἐντολὴν τοῦ Θεοῦ κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων, βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων, καὶ ἄλλα παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.

8 Καὶ λέγω, ὅτι ὀρθῶς καὶ ἀληθῶς ἐπροφήτευσε ταῦτα διὰ σᾶς ὁ Ἡσαΐας, διότι ἀφήσατε τὴν ἐντολὴν τοῦ Θεοῦ καὶ κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων, τουτέστι βουτᾶτε εἰς τὸ νερὸν τὰ ἀγγεῖα καὶ τὰ ποτήρια καὶ ἄλλα παρόμοια τέτοια κάνετε πολλά.

9 καὶ ἔλεγεν αὐτοῖς· καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ Θεοῦ ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε.

9 Καὶ τοὺς ἔλεγεν· Ὡραῖα καὶ μὲ πᾶσαν εὐκολίαν παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ, διὰ νὰ φυλάξετε τὴν παράδοσίν σας.

10 Μωϋσῆς γὰρ εἶπε· ***τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· καί· ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω·***

10 Λέγω δέ, ὅτι παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ, διότι ὁ Μωϋσῆς κατὰ θεῖαν ἔμπνευσιν καὶ ὁδηγίαν εἶπε· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου καὶ ἐκεῖνος, ποὺ λέγει κακὸν λόγον ἢ ὕβριν εἰς τὸν πατέρα του ἢ τὴν μητέρα του, πρέπει χωρὶς ἄλλο νὰ θανατώνεται.

11 ὑμεῖς δὲ λέγετε· ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρί, κορβᾶν, ὅ ἐστι δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς,

11 Σεῖς ὅμως λέγετε· ἐὰν ἕνας ἄνθρωπος εἴπῃ εἰς τὸν πατέρα του ἢ εἰς τὴν μητέρα του· Ἂς εἶναι κορβᾶν, τουτέστι ἂς εἶναι δῶρον καὶ ἀφιέρωμα εἰς τὸν Θεὸν ἐκεῖνο, ποὺ θέλεις νὰ λάβῃς ὡς ὠφέλειαν καὶ βοήθειαν ἀπὸ ἐμέ,

12 καὶ οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ αὐτοῦ ἢ τῇ μητρὶ αὐτοῦ,

12 θεωρεῖτε τοῦτον δεσμευμένον ἀπὸ τὸ τάξιμον αὐτὸ καὶ δὲν τὸν ἀφίνετε πλέον νὰ κάμῃ τίποτε πρὸς ὄφελος καὶ βοήθειαν τοῦ πατρός του ἢ τῆς μητρός του.

13 ἀκυροῦντες τὸν λόγον τοῦ Θεοῦ τῇ παραδόσει ὑμῶν ᾗ παρεδώκατε· καὶ παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.

13 Καὶ ἀκυρώνετε τὸν λόγον τοῦ Θεοῦ μὲ τὴν παράδοσίν σας, τὴν ὁποίαν σεῖς οἱ νομοδιδάσκαλοι ἀπὸ γενεᾶς εἰς γενεὰν παρεδώκατε. Καὶ κάνετε πολλὰ σὰν καὶ αὐτό, ποὺ σᾶς εἶπα.

Στίχ. 14-23. Τί καθιστᾷ τὸν ἄνθρωπον ἀκάθαρτον.

14 Καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον ἔλεγεν αὐτοῖς· ἀκούετέ μου πάντες καὶ συνίετε.

14 Καὶ ἀφοῦ προσεκάλεσεν ὅλον τὸν λαόν, τοὺς εἶπεν· Ἀκούσατε ὅλοι αὐτό, ποὺ θὰ εἴπω καὶ προσέξατε νὰ τὸ καταλάβετε.

15 οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς αὐτὸν ὃ δύναται αὐτὸν κοινῶσαι, ἀλλὰ τὰ ἐκπορευόμενά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον.

15 Δὲν ὑπάρχει τίποτε ἀπὸ ὅσα παίρνει ἀπ' ἔξω ὁ ἄνθρωπος, καὶ εἰσάγει μέσα του διὰ τῆς τροφῆς, τὸ ὁποῖον μπορεῖ νὰ τὸν κάμη βέβηλον καὶ θρησκευτικῶς ἀκάθαρτον. Ἀλλ' ἐκεῖνα, ποὺ βγαίνουν ἀπὸ αὐτὸν καὶ τὴν μολυσμένην καρδίαν του, ἐκεῖνα εἶναι ποὺ κάνουν τὸν ἄνθρωπον ἀκάθαρτον καὶ βέβηλον.

16 εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω.

16 Ὅποιος ἔχει φωτισμένον νοῦν καὶ αὐτιὰ πνευματικά, ποὺ ἀκούουν μὲ ἐνδιαφέρον καὶ συγχρόνως κατανοοῦν αὐτὰ ποὺ λέγω, ἂς ἀκούῃ.

17 Καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου, ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβολῆς.

17 Καὶ ὅταν ἔφυγεν ἀπὸ τὸ πλῆθος καὶ ἐμβῆκεν εἰς τὸ σπίτι, τὸν ἠρώτησαν οἱ μαθηταὶ διὰ τὴν σημασίαν τοῦ ἀσαφοῦς καὶ δυσκολονοήτου λόγου, ποὺ εἶπε.

18 καὶ λέγει αὐτοῖς· οὕτω καὶ ὑμεῖς ἀσύνετοί ἐστε; οὔπω νοεῖτε ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον οὐ δύναται αὐτὸν κοινῶσαι;

18 Καὶ λέγει εἰς αὐτούς· Ἔτσι σὰν τὸ πολὺ πλῆθος εἶσθε καὶ σεῖς ἀνίκανοι νὰ ἐννοήσετε τὴν ἀλήθειαν, ποὺ εἶπα; Δὲν καταλαβαίνετε ἀκόμη, ὅτι κάθε τι, ποὺ ἀπ' ἔξω εἰσάγεται διὰ τοῦ στόματος μέσα εἰς τὸν ἄνθρωπον, δὲν ἠμπορεῖ νὰ τὸν μολύνη καὶ νὰ τὸν κάμη βέβηλον θρησκευτικῶς;

19 ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ' εἰς τὴν κοιλίαν, καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζον πάντα τὰ βρώματα.

19 Δὲν ἠμπορεῖ δὲ νὰ τὸν κάμη βέβηλον, διότι δὲν πηγαίνει τοῦτο μέσα εἰς τὴν καρδίαν καὶ τὸν ἐσωτερικὸν ἄνθρωπον, ἀλλὰ πηγαίνει εἰς τὴν κοιλίαν καὶ τὸ περιττὸν καὶ ἄχρηστον μέρος τοῦ φαγητοῦ ἀποβάλλεται εἰς τὸν κοπρῶνα καὶ ἔτσι ἀφίνει καθαρὰ ὅλα τὰ φαγητά, ποὺ συνεκράτησεν ὁ ὀργανισμός.

20 ἔλεγε δὲ ὅτι τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον.

20 Ἔλεγε δὲ ὅτι ἐκεῖνο ποὺ βγαίνει ἔξω ἀπὸ τὸ ἐσωτερικὸν τοῦ ἀνθρώπου, ἐκεῖνο μολύνει καὶ κάνει βέβηλον τὸν ἄνθρωπον.

21 ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται, μοιχεῖαι, πορνεῖαι, φόνοι,

21 Διότι ἀπὸ μέσα ἀπὸ τὴν καρδίαν τῶν ἀνθρώπων βγαίνουν αἱ κακαὶ σκέψεις καὶ ἀποφάσεις, μοιχεῖαι, πορνεῖαι, φόνοι,

22 κλοπαί, πλεονεξίαι, πονηρίαι, δόλος, ἀσέλγεια, ὀφθαλμὸς πονηρός, βλασφημία, ὑπερηφανία, ἀφροσύνη·

22 κλοπαί, παντὸς εἴδους ἀδικίαι, ποὺ προέρχονται ἐκ τῆς πλεονεξίας, μοχθηρίαι καὶ κακίαι, ἀπάται, ἠθικὴ παραλυσία καὶ ἀκράτεια, μάτι φθονερὸν καὶ κακόν, βλασφημία, ὑπερηφάνεια, τρέλλα καὶ ἀμυαλοσύνη, ποὺ τὴν γεννᾷ ὁ σκοτισμὸς τῆς ἁμαρτίας.

23 πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται καὶ κοινοῖ τὸν ἄνθρωπον.

23 Ὅλα αὐτὰ τὰ κακὰ βγαίνουν ἀπὸ μέσα, διότι εἰς τὴν καρδίαν κατ' ἀρχὰς φυτρώνουν ὡς λογισμοὶ καὶ ἐπιθυμίαι καὶ ἀποφάσεις, καὶ αὐτὰ κάνουν ἀκάθαρτον τὸν ἄνθρωπον.

Στίχ. 24-37. Θεραπεία τῆς θυγατρὸς τῆς Χαναναίας καὶ τοῦ κωφοῦ μογιλάλου.

24 Καὶ ἐκεῖθεν ἀναστὰς ἀπῆλθεν εἰς τὰ μεθόρια Τύρου καὶ Σιδῶνος. καὶ εἰσελθὼν εἰς οἰκίαν οὐδένα ἤθελε γνῶναι, καὶ οὐκ ἠδυνήθη λαθεῖν.

24 Καὶ ἀπ' ἐκεῖ ἐσηκώθη καὶ ἐπῆγεν εἰς τὰ σύνορα τῆς Τύρου καὶ Σιδῶνος· καὶ ἀφοῦ ἐμβῆκεν εἰς τὸ σπίτι, ποὺ ἐξέλεξε πρὸς διαμονήν του, δὲν ἤθελε νὰ γίνῃ γνωστόν, ὅτι ἦλθεν ἐκεῖ, ἀλλὰ δὲν ἠμπόρεσε νὰ κρυβῇ.

25 ἀκούσασα γὰρ γυνὴ περὶ αὐτοῦ, ἧς εἶχε τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον, ἐλθοῦσα προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ·

25 Διότι ὅταν ἤκουσε δι' αὐτὸν κάποια γυναῖκα, τῆς ὁποίας ἡ μικρὰ θυγατέρα εἶχε πνεῦμα ἀκάθαρτον, ἦλθε καὶ ἔπεσε γονατιστὴ ἐμπρὸς εἰς τὰ πόδια του.

26 ἡ δὲ γυνὴ ἦν Ἑλληνίς, Συροφοινίκισσα τῷ γένει· καὶ ἠρώτα αὐτὸν ἵνα τὸ δαιμόνιον ἐκβάλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς.

26 Ἦτο δὲ ἡ γυναῖκα ἐκείνη Ἑλληνίδα κατὰ τὴν θρησκείαν, δηλαδὴ εἰδωλολάτρις, καὶ Συροφοινίκισσα κατὰ τὴν καταγωγὴν καὶ τὴν πατρίδα. Καὶ τὸν παρεκάλει νὰ βγάλῃ ἀπὸ τὴν θυγατέρα της τὸ δαιμόνιον.

27 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῇ· ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα· οὐ γάρ ἐστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ τοῖς κυναρίοις βαλεῖν.

27 Ὁ δὲ Ἰησοῦς τῆς εἶπεν· Ἄφησε πρῶτον νὰ χορτασθοῦν τὰ τέκνα, ὁ ἐκλεκτὸς δηλαδὴ λαὸς τοῦ Θεοῦ, ὁ Ἰσραήλ. Διότι δὲν εἶναι σωστὸ νὰ πάρῃ κανεὶς τὸ ψωμὶ τῶν παιδιῶν καὶ νὰ τὸ ρίψῃ εἰς τὰ σκυλάκια, εἰς τοὺς ἐθνικοὺς δηλαδὴ καὶ εἰδωλολάτρας.

28 ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ· ναί, Κύριε· καὶ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίουσιν ἀπὸ τῶν ψιχίων τῶν παιδίων.

28 Ἐκείνη δὲ ἀπεκρίθη καὶ τοῦ εἶπε· Ναί, Κύριε· δέχομαι, ὅτι εἶμαι σκυλάκι. Ἀλλὰ καὶ τὰ σκυλάκια κάτω ἀπὸ τὸ τραπέζι τρώγουν ἀπὸ τὰ ψίχουλα τῶν παιδιῶν. Μὲ φθάνει ἕνα ψίχουλον ἀπὸ τὴν τράπεζαν τὴν ἰδικήν σου.

29 καὶ εἶπεν αὐτῇ· διὰ τοῦτον τὸν λόγον ὕπαγε· ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου.

29 Καὶ εἶπεν εἰς αὐτήν· δι' αὐτὸν τὸν λόγον, ποὺ δεικνύει τὴν ταπείνωσίν σου, τὴν σύνεσίν σου καὶ τὴν πίστιν σου, πήγαινε παρηγορημένη καὶ εἰρηνική. Τὸ δαιμόνιον ἔχει βγῆ ἀπὸ τὴν θυγατέρα σου.

30 καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς εὗρε τὸ παιδίον βεβλημένον ἐπὶ τὴν κλίνην καὶ τὸ δαιμόνιον ἐξεληλυθός.

30 Καὶ ὅταν ἐπῆγεν εἰς τὸ σπίτι της, εὗρε τὴν θυγατέρα της, ποὺ ἄλλοτε ἦτο ἀνήσυχος καὶ δὲν ἠδύνατο νὰ ὑπνώσῃ, ἐξαπλωμένην ἥσυχα εἰς τὸ κρεββάτι, καὶ τὸ δαιμόνιον, ποὺ τὴν κατεῖχε, νὰ ἔχῃ πλέον βγῆ.

31 Καὶ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος ἦλθε πρὸς τὴν θάλασσαν τῆς Γαλιλαίας ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως.

31 Καὶ πάλιν ἀφοῦ ἐβγῆκεν ἀπὸ τὰ σύνορα τῆς Τύρου καὶ Σιδῶνος, ἦλθε πρὸς τὴν νοτιοανατολικὴν ἀκρογιαλιὰν τῆς θαλάσσης τῆς Γαλιλαίας διὰ μέσου τῶν συνόρων τῆς Δεκαπόλεως.

32 καὶ φέρουσιν αὐτῷ κω-

32 Καὶ φέρουν εἰς αὐτὸν κάποιον κωφόν, ποὺ δὲν ἠδύνατο νὰ

[24-30]) Μτ. ιε' 21 - 28.

φὸν μογιλάλον καὶ παρακαλοῦσιν αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα.

ὁμιλήσῃ, καὶ τὸν παρακαλοῦν νὰ βάλῃ ἐπ' αὐτοῦ τὴν χεῖρα του.

33 καὶ ἀπολαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν ἔβαλε τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ, καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ,

33 Καὶ ἀφοῦ τὸν ἐπῆρεν ἀπὸ τὸ πλῆθος ἰδιαιτέρως, διὰ νὰ δώσῃ εἰς τὸν κωφάλαλον νὰ καταλάβῃ, τί ἐπρόκειτο νὰ τοῦ κάμῃ, ὥστε νὰ διεγερθῇ ἡ πίστις του, ἡ ὁποία θὰ διηυκόλυνε τὸ θαῦμα τῆς θεραπείας του, ἔβαλεν ὁ Ἰησοῦς τὰ δάκτυλά του εἰς τὰ αὐτιὰ τοῦ ἀρρώστου καὶ ἀφοῦ ἔπτυσε, μὲ τὸ ἄκρον τοῦ δακτύλου του ἀλειμμένον μὲ τὸν σίελόν του ἤγγισε τὴν γλῶσσαν τοῦ ἀρρώστου.

34 καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν ἐστέναξε καὶ λέγει αὐτῷ· ἐφφαθά, ὅ ἐστι διανοίχθητι.

34 Καὶ ἀφοῦ ἐσήκωσε τὰ μάτια του εἰς τὸν οὐρανόν, ἐστέναξεν ἐκ συμπαθείας πρὸς τὰ βάσανα τῶν ἀνθρώπων, καὶ εἶπε πρὸς αὐτόν· Ἐφφαθά, τὸ ὁποῖον μεταφραζόμενον σημαίνει διανοίχθητι.

35 καὶ εὐθέως διηνοίχθησαν αὐτοῦ αἱ ἀκοαὶ καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς.

35 Καὶ ἀμέσως ἤνοιξαν τὰ αὐτιά του καὶ ἐλύθη τὸ δέσιμον τῆς γλώσσης του καὶ ὡμίλει καθαρὰ καὶ ἐλεύθερα.

36 καὶ διεστείλατο αὐτοῖς ἵνα μηδενὶ εἴπωσιν· ὅσον δὲ αὐτὸς αὐτοῖς διεστέλλετο, μᾶλλον περισσότερον ἐκήρυσσον.

36 Καὶ τοὺς παρήγγειλε νὰ μὴ εἴπουν τίποτε εἰς κανένα διὰ τὸ θαῦμα τοῦτο. Ὅσον ὅμως αὐτὸς ἔδιδε τέτοιες παραγγελίες, τόσον περισσότερον διεκήρυττον ἐκεῖνοι τὰ θαυμαστὰ ἔργα του.

37 καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο λέγοντες· καλῶς πάντα πεποίηκε· καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν καὶ τοὺς ἀλάλους λαλεῖν.

37 Καὶ ἐθαύμαζεν ὁ κόσμος πάρα πολὺ καὶ ἔλεγαν· Σωστὰ καὶ λαμπρὰ τὰ ἔκαμεν ὅλα. Καὶ εἰς τοὺς κωφοὺς δίνει τὴν ἀκοὴν καὶ τοὺς κάνει νὰ ἀκούουν καὶ εἰς τοὺς ἀλάλους δίνει τὴν δύναμιν νὰ ὁμιλοῦν.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Στίχ. 1-10. Πολλαπλασιασμὸς τῶν ἑπτὰ ἄρτων εἰς τὴν ἔρημον.

Ἐν ἐκείναις ταῖς ἡμέραις πάλιν πολλοῦ ὄχλου ὄντος καὶ μὴ ἐχόντων τί φάγωσι, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ λέγει αὐτοῖς·

Κατ' ἐκείνας τὰς ἡμέρας ἦτο πάλιν πάρα πολὺς λαὸς καὶ ἐπειδὴ δὲν εἶχαν τί νὰ φάγουν, προσεκάλεσεν ὁ Ἰησοῦς τοὺς μαθητάς του καὶ λέγει εἰς αὐτούς·

2 σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέραι τρεῖς προσμένουσί μοι καὶ οὐκ ἔχουσι τί φάγωσι·

2 Συμπαθῶ πολὺ τὸν λαόν, διότι ἐπὶ τρεῖς ἡμέρας τώρα μένουν πλησίον μου καὶ δὲν ἔχουν τί νὰ φάγουν.

31-37) α΄ 43 - 45. ς΄ 13. 41. η΄ 23. Μτ. ιε΄ 29 - 31. Ἰν. ια΄ 41.
Η΄. 1-10) ς΄ 34 - 44. Μτ. ιε΄ 32 - 39.

3 καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται ἐν τῇ ὁδῷ· τινὲς γὰρ αὐτῶν ἀπὸ μακρόθεν ἥκασι.

3 Καὶ ἐὰν τοὺς διαλύσω καὶ τοὺς στείλω εἰς τὰ σπίτια των νηστικούς, θὰ ἀποκάμουν εἰς τὸν δρόμον. Διότι μερικοὶ ἀπὸ αὐτοὺς ἔχουν ἔλθει ἀπὸ μακρυὰ καὶ πρόκειται κατὰ συνέπειαν νὰ πεζοπορήσουν πολύ.

4 καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· πόθεν τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ' ἐρημίας;

4 Καὶ ἀπεκρίθησαν εἰς αὐτὸν οἱ μαθηταί· Ἀπὸ ποῦ θὰ ἠμπορέσῃ κανεὶς ἐδῶ εἰς τὴν ἔρημον νὰ χορτάσῃ μὲ ψωμιὰ αὐτούς, ποὺ εἶναι τόσον πολλοί;

5 καὶ ἐπηρώτα αὐτούς· πόσους ἔχετε ἄρτους; οἱ δὲ εἶπον· ἑπτά.

5 Καὶ τοὺς ἠρώτα· Πόσα ψωμιὰ ἔχετε; Αὐτοὶ δὲ εἶπον· ἑπτά.

6 καὶ παρήγγειλε τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς· καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους εὐχαριστήσας ἔκλασε καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παρατιθῶσι· καὶ παρέθηκαν τῷ ὄχλῳ.

6 Καὶ παρήγγειλεν εἰς τὸ πλῆθος τοῦ λαοῦ νὰ καθήσουν εἰς τὴν γῆν. Καὶ ἀφοῦ ἐπῆρεν εἰς τὰς χεῖρας του τοὺς ἑπτὰ ἄρτους, εὐχαρίστησε τὸν Πατέρα του, ὁ ὁποῖος δίδει ὅλα τὰ ἀγαθά, καὶ ἔκοψε τὰ ψωμιὰ καὶ ἔδιδεν εἰς τοὺς μαθητάς του διὰ νὰ τὰ παραθέτουν, καὶ αὐτοὶ τὰ ἔθεσαν ἐμπρὸς εἰς τὸ πεινασμένον πλῆθος τοῦ λαοῦ.

7 καὶ εἶχον ἰχθύδια ὀλίγα· καὶ αὐτὰ εὐλογήσας εἶπε παρατιθέναι καὶ αὐτά.

7 Καὶ εἶχον καὶ ὀλίγα ψαράκια. Καὶ ἀφοῦ ηὐλόγησε καὶ ταῦτα, εἶπε νὰ παραθέσουν καὶ αὐτά.

8 ἔφαγον δὲ καὶ ἐχορτάσθησαν, καὶ ἦραν περισσεύματα κλασμάτων ἑπτὰ σπυρίδας.

8 Ἔφαγαν δὲ ὅλοι καὶ ἐχορτάσθησαν καὶ ἐσήκωσαν περισσεύματα ἀπὸ τὰ κομμάτια ἑπτὰ μεγάλα κοφίνια.

9 ἦσαν δὲ ὡς τετρακισχίλιοι· καὶ ἀπέλυσεν αὐτούς.

9 Ἦσαν δὲ ἐκεῖνοι, ποὺ ἔφαγαν, περίπου τέσσαρες χιλιάδες. Καὶ ἀφοῦ ἔφαγαν, τοὺς ἔστειλεν εἰς τὰ σπίτια των.

10 Καὶ ἐμβὰς εὐθὺς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά.

10 Καὶ ἀμέσως ἐμβῆκεν εἰς τὸ πλοῖον μαζὶ μὲ τοὺς μαθητάς του καὶ ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά, ποὺ γειτονεύουν πρὸς τὴν Μαγδαλά.

Στίχ. 11-21. Προσοχὴ ἀπὸ τὴν διδασκαλίαν τῶν Φαρισαίων.

11 Καὶ ἐξῆλθον οἱ Φαρισαῖοι καὶ ἤρξαντο συζητεῖν αὐτῷ, ζητοῦντες παρ' αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πειράζοντες αὐτόν.

11 Καὶ ἐβγῆκαν οἱ Φαρισαῖοι καὶ ἤρχισαν νὰ συζητοῦν μαζί του καὶ τοῦ ἐζήτουν νὰ τοὺς ἐπιδείξῃ σημάδι καὶ θαῦμα ἔκτακτον ἀπὸ τὸν οὐρανόν, ὅπως τὸ μάννα, ποὺ ἐδόθη εἰς τὴν ἔρημον διὰ μεσιτείας τοῦ Μωϋσέως, ἢ ὅπως τὸ πῦρ, ποὺ κατέβασεν ὁ Ἠλίας ἀπὸ τὸν οὐρανόν. Καὶ ἐζήτουν τοῦτο, ὄχι διότι εἶχαν διάθεσιν νὰ πιστεύσουν, ἀλλὰ διότι μὲ πονηρίαν ἤθελαν νὰ δοκιμάσουν τὴν θαυματουργικήν του δύναμιν, ἐλπίζοντες ὅτι θὰ τὸν ἐξέθεταν.

12 καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ λέγει· τί ἡ γενεὰ αὕτη σημεῖον ἐπιζη-

12 Καὶ ἀφοῦ ἀνεστέναξεν ἀπὸ τὰ βάθη τῆς ψυχῆς του διὰ τὴν σκληρότητα καὶ πώρωσίν των εἶπε· Πρὸς τί ἡ γενεὰ αὐτὴ ἡ ἄπιστος καὶ σκληρὰ ζητεῖ θαῦμα, ποὺ νὰ δεικνύῃ καὶ πιστοποιῇ

11-13) Μτ. ις΄ 1. 4.

τεῖ; ἀμὴν λέγω ὑμῖν, εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον.

τὴν ἀποστολήν μου, ἀφοῦ δὲν πρόκειται νὰ πιστεύσῃ; Μετὰ βεβαιότητος σᾶς λέγω, ὅτι δὲν θὰ δοθῇ θαῦμα τέτοιο εἰς τὴν γενεὰν αὐτήν.

13 καὶ ἀφεὶς αὐτοὺς εἰς τὸ πλοῖον ἀπῆλθε πάλιν.

13 Καὶ ἀφοῦ τοὺς ἄφησεν, ἐμβῆκε πάλιν εἰς τὸ πλοῖον καὶ ἦλθεν εἰς τὸ ἀπέναντι μέρος τῆς λίμνης, δηλαδὴ εἰς τὴν ἀνατολικὴν ἀκρογιαλιάν της.

14 Καὶ ἐπελάθοντο λαβεῖν ἄρτους, καὶ εἰ μὴ ἕνα ἄρτον οὐκ εἶχον μεθ' ἑαυτῶν ἐν τῷ πλοίῳ.

14 Καὶ ἐλησμόνησαν οἱ μαθηταὶ νὰ πάρουν μαζί τους ἄρτους καὶ δὲν εἶχαν μαζί τους εἰς τὸ πλοῖον κανὲν ἄλλο τρόφιμον παρὰ μόνον ἕνα ἄρτον.

15 καὶ διεστέλλετο αὐτοῖς λέγων· ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ τῆς ζύμης Ἡρῴδου.

15 Ἐν τῷ μεταξὺ δὲ τοὺς ἐπέστησεν ὁ Κύριος τὴν προσοχὴν καὶ τοὺς ἔλεγεν· ἀνοίξατε τὰ μάτια σας καὶ προσέχετε ἀπὸ τὴν κακὴν ἐπίδρασιν τῆς ὑποκριτικῆς διδασκαλίας τῶν Φαρισαίων καὶ τῆς κοσμικότητος τοῦ Ἡρῴδου, ποὺ ὁμοιάζουν μὲ κακὸ προζύμι.

16 καὶ διελογίζοντο πρὸς ἀλλήλους λέγοντες ὅτι ἄρτους οὐκ ἔχομεν.

16 Καὶ ἐσυλλογίζοντο ἀναμεταξύ τους καὶ ἔλεγαν· Μᾶς κάνει τὴν παρατήρησιν αὐτὴν ὁ Κύριος, διότι δὲν ἐφροντίσαμεν νὰ προμηθευθῶμεν ἄρτους καθαρούς, ποὺ δὲν ἐζυμώθησαν μὲ προζύμι ἀναπιασμένον εἰς σπίτι τῶν Φαρισαίων.

17 καὶ γνοὺς ὁ Ἰησοῦς λέγει αὐτοῖς· τί διαλογίζεσθε ὅτι ἄρτους οὐκ ἔχετε; οὔπω νοεῖτε οὐδὲ συνίετε; ἔτι πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν;

17 Καὶ ὁ Ἰησοῦς ὡς Θεάνθρωπος ἐγνώρισε τοὺς ἀποκρύφους διαλογισμούς των καὶ τοὺς εἶπε· Διατί ἐπέσατε εἰς συλλογισμοὺς καὶ σκέψιν, ἐπειδὴ δὲν ἔχετε ἄρτους; Ἀκόμη καὶ τώρα, ὕστερα ἀπὸ τόσα ποὺ εἴδατε καὶ ἠκούσατε, δὲν ἐννοεῖτε καὶ δὲν καταλαβαίνετε; Ἀκόμη ἔχετε παχυλὴν τὴν διάνοιάν σας καὶ τόσον σαρκικὰς τὰς σκέψεις σας;

18 ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε, καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε; καὶ οὐ μνημονεύετε;

18 Ἐνῷ ἔχετε μάτια, μὲ τὰ ὁποῖα εἴδατε τὰ θαύματα τοῦ πολλαπλασιασμοῦ τῶν ἄρτων, δὲν ἐννοεῖτε τί μαρτυροῦν αὐτὰ ποὺ εἴδατε; Καὶ ἐνῷ ἔχετε αὐτιά, καὶ ἀκούετε τοὺς λόγους ποὺ σᾶς εἶπα, δὲν ἠμπορεῖτε νὰ κατανοήσετε, ὅτι δὲν ὁμιλῶ διὰ ὑλικὸν προζύμιον καὶ διὰ ὑλικοὺς ἄρτους; Καὶ δὲν ἐνθυμεῖσθε τὰ πρόσφατα θαύματα τοῦ πολλαπλασιασμοῦ τῶν ἄρτων;

19 ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχιλίους, καὶ πόσους κοφίνους κλασμάτων πλήρεις ἤρατε; λέγουσιν αὐτῷ· δώδεκα.

19 Ὅταν ἔκοψα τὰ πέντε ψωμιὰ εἰς τὰς πέντε χιλιάδας τῶν ἀνθρώπων, πόσα κοφίνια γεμᾶτα ἀπὸ κομμάτια ἐσηκώσατε; Λέγουν εἰς αὐτόν, δώδεκα.

20 ὅτε δὲ τοὺς ἑπτὰ εἰς τοὺς τετρακισχιλίους, πόσων σπυρίδων πληρώματα κλασμάτων ἤρατε; οἱ δὲ εἶπον· ἑπτά.

20 Ὅταν δὲ ἔκοψα τοὺς ἑπτὰ ἄρτους εἰς τὰς τέσσαρας χιλιάδας τῶν ἀνθρώπων, πόσων κοφινιῶν μεγάλων γεμίσματα ἀπὸ κομμάτια ἐσηκώσατε; Αὐτοὶ δὲ εἶπον, ἑπτά.

21 καὶ ἔλεγεν αὐτοῖς· οὔπω συνίετε;

21 Καὶ ἔλεγεν εἰς αὐτούς· Ἀκόμη λοιπὸν δὲν καταλαβαίνετε, ὅτι δὲν σᾶς ὡμίλησα διὰ προζύμιον ὑλικόν;

14-21) ς΄ 41 - 44. 52. Μτ. ις΄ 5 - 12.

Στίχ. 22-26. Θεραπεία τοῦ τυφλοῦ τῆς Βηθσαϊδά.

22 Καὶ ἔρχεται εἰς Βηθσαϊδά. καὶ φέρουσιν αὐτῷ τυφλὸν καὶ παρακαλοῦσιν αὐτὸν ἵνα αὐτοῦ ἅψηται.

22 Καὶ ἔρχεται εἰς τὴν Βηθσαϊδά, καὶ τοῦ φέρνουν ἕνα τυφλὸν καὶ τὸν παρακαλοῦν νὰ τὸν ἐγγίσῃ διὰ νὰ ἰατρευθῇ.

23 καὶ ἐπιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ ἐξήγαγεν αὐτὸν ἔξω τῆς κώμης, καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ ἐπηρώτα αὐτὸν εἴ τι βλέπει.

23 Καὶ ἀφοῦ ἔπιασεν ἀπὸ τὸ χέρι τὸν τυφλόν, τὸν ἔβγαλεν ἔξω ἀπὸ τὸ χωρίον· καὶ ἀφοῦ ἔπτυσεν εἰς τὰ μάτια του, ἔβαλεν ἐπάνω του τὰς χεῖρας του καὶ τὸν ἠρώτα, ἐὰν ἔβλεπε τίποτε. Καὶ ἔκανε τοῦτο ὁ Κύριος διὰ νὰ διεγείρῃ καὶ δυναμώσῃ τὴν πίστιν τοῦ θεραπευομένου τυφλοῦ.

24 καὶ ἀναβλέψας ἔλεγε· βλέπω τοὺς ἀνθρώπους ὡς δένδρα περιπατοῦντας.

24 Καὶ ἀφοῦ ἐκεῖνος ἐκύτταξεν, ἔλεγε· Βλέπω τοὺς ἀνθρώπους νὰ περιπατοῦν σὰν κορμοὶ δένδρων.

25 εἶτα πάλιν ἐπέθηκε τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι, καὶ ἀποκατεστάθη, καὶ ἐνέβλεψε τηλαυγῶς ἅπαντας.

25 Ὕστερον πάλιν ἔβαλεν ὁ Ἰησοῦς τὰς χεῖρας του εἰς τὰ μάτια του καὶ ἀφοῦ μὲ τὸν τρόπον αὐτὸν ἐδυνάμωσε τὴν πίστιν τοῦ τυφλοῦ, τὸν ἔκαμε νὰ τὰ ἀνοίξῃ καλά. Καὶ ἀποκατεστάθη τὸ φῶς του καὶ διέκρινε ὅλους καθαρὰ καὶ αὐτοὺς ἀκόμη ποὺ ἦσαν μακράν.

26 καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ λέγων· μηδὲ εἰς τὴν κώμην εἰσέλθῃς μηδὲ εἴπῃς τινὶ ἐν τῇ κώμῃ.

26 Καὶ τὸν ἔστειλεν εἰς τὸ σπίτι του καὶ τοῦ εἶπεν· Οὔτε εἰς τὸ χωρίον νὰ ἔμβῃς, οὔτε νὰ εἴπῃς εἰς κανένα μέσα εἰς τὸ χωρίον τὸ θαῦμα τῆς θεραπείας σου.

Στίχ. 27-30. Ὁ Πέτρος ὁμολογεῖ τὴν πίστιν του περὶ τοῦ Χριστοῦ.

27 Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας Καισαρείας τῆς Φιλίππου· καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων αὐτοῖς· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι;

27 Καὶ ἐβγῆκεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταί του εἰς τὰ χωριὰ τῆς Καισαρείας, ποὺ τὴν εἶχε κτίσει ὁ Φίλιππος. Καὶ εἰς τὸν δρόμον ἠρώτα τοὺς μαθητάς του καὶ τοὺς ἔλεγε· Τί λέγουν δι' ἐμὲ οἱ ἄνθρωποι καὶ ποῖος φρονοῦν ὅτι εἶμαι;

28 οἱ δὲ ἀπεκρίθησαν· Ἰωάννην τὸν βαπτιστήν, καὶ ἄλλοι Ἠλίαν, ἄλλοι δὲ ἕνα τῶν προφητῶν.

28 Αὐτοὶ δὲ ἀπεκρίθησαν· Λέγουν, ὅτι εἶσαι ὁ Ἰωάννης ὁ Βαπτιστής, καὶ ἄλλοι λέγουν, ὅτι εἶσαι ὁ Ἠλίας, ἄλλοι δὲ σὲ θεωροῦν ὡς ἕνα ἀπὸ τοὺς προφήτας.

29 καὶ αὐτὸς λέγει αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ἀποκριθεὶς δὲ ὁ Πέτρος λέγει αὐτῷ· σὺ εἶ ὁ Χριστός.

29 Καὶ αὐτὸς τοὺς εἶπε· Σεῖς δὲ ποῖος λέγετε ὅτι εἶμαι; Ἀπεκρίθη δὲ ὁ Πέτρος καὶ τοῦ εἶπε· Σὺ εἶσαι ὁ Χριστός, τὸν ὁποῖον προκατήγγειλαν οἱ προφῆται.

30 καὶ ἐπετίμησεν αὐτοῖς ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ.

30 Καὶ ἐπειδὴ ἀκόμη δὲν εἶχαν ὡριμάσει οἱ ἄνθρωποι, ὥστε νὰ κηρυχθῇ εἰς αὐτοὺς ἡ ἀλήθεια αὐτή, τοὺς παρήγγειλεν ἔντονα καὶ αὐστηρὰ νὰ μὴ λέγουν εἰς κανένα, ὅτι αὐτὸς εἶναι ὁ Μεσσίας.

22) ς΄ 56. 23) ς΄ 13. ζ΄ 33. Ἰν. θ΄ 6. 27-30) ς΄ 15. Λκ. θ΄ 18 - 21. Μτ. ις΄ 13 - 20.

Στίχ. 31-38. Διδασκαλία περὶ αὐταπαρνήσεως καὶ σωτηρίας τῆς ψυχῆς.

31 Καὶ ἤρξατο διδάσκειν αὐτοὺς ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι·

31 Καὶ ἤρχισε νὰ τοὺς διδάσκῃ, ὅτι σύμφωνα μὲ τὴν βουλὴν καὶ τὸ σχέδιον τοῦ Θεοῦ πρέπει ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ Μεσσίας, νὰ πάθῃ πολλὰ καὶ νὰ ἀποδοκιμασθῇ ἀπὸ τοὺς προεστοὺς καὶ τοὺς ἀρχιερεῖς καὶ τοὺς γραμματεῖς, καὶ νὰ θανατωθῇ καὶ μετὰ τρεῖς ἡμέρας ἀπὸ τοῦ θανάτου του νὰ ἀναστηθῇ.

32 καὶ παρρησίᾳ τὸν λόγον ἐλάλει. καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος ἤρξατο ἐπιτιμᾶν αὐτῷ.

32 Καὶ ἀπὸ τὴν στιγμὴν αὐτὴν ἔλεγε τὸν λόγον αὐτὸν περὶ τῶν παθῶν καὶ τοῦ θανάτου του φανερὰ καὶ καθαρά. Καὶ ὁ Πέτρος, ἀφοῦ τὸν ἐπῆρε ἰδιαιτέρως, ἤρχισε ἔντονα καὶ μὲ ζωηροὺς λόγους νὰ τὸν ἀποτρέπῃ ἀπὸ τὸν θάνατον.

33 ὁ δὲ ἐπιστραφεὶς καὶ ἰδὼν τοὺς μαθητὰς αὐτοῦ ἐπετίμησε τῷ Πέτρῳ λέγων· ὕπαγε ὀπίσω μου, σατανᾶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.

33 Ὁ δὲ Κύριος, ἀφοῦ ἔστρεψε καὶ εἶδε τοὺς μαθητάς του, ἐμπρὸς εἰς αὐτοὺς ἐπέπληξε τὸν Πέτρον καὶ εἶπε· Πήγαινε ὀπίσω μου, σατανᾶ. Σὲ ἀποκαλῶ δὲ σατανᾶν, διότι δὲν φρονεῖς ἐκεῖνα ποὺ ἀρέσουν εἰς τὸν Θεόν, ἀλλ' ἐκεῖνα ποὺ ἀρέσουν εἰς τοὺς ἀνθρώπους. Ὁ Θεὸς θέλει νὰ πάθω διὰ νὰ σωθοῦν οἱ ἄνθρωποι. Οἱ ἄνθρωποι δέ, ποὺ ἀρέσκονται νὰ ζοῦν σαρκικῶς καὶ νὰ ἀπολαμβάνουν ὅλας τὰς ἀνέσεις μὴ λογαριάζοντες τὸ καθῆκον καὶ τὸ θέλημα τοῦ Θεοῦ, δὲν ἀνήκουν εἰς αὐτόν, ἀλλ' ἐμπνέονται ἀπὸ τὸν σατανᾶν.

34 Καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ εἶπεν αὐτοῖς· ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.

34 Καὶ ἀφοῦ προσεκάλεσε τὰ πλήθη τοῦ λαοῦ μαζὶ μὲ τοὺς μαθητάς του, εἶπεν εἰς αὐτούς· Ἐκεῖνος ποὺ θέλει νὰ γίνῃ ὀπαδός μου καὶ νὰ μὲ ἀκολουθῇ ὡς μαθητής μου, ἂς διακόψῃ κάθε φιλίαν καὶ σχέσιν πρὸς τὸν διεφθαρμένον ὑπὸ τῆς ἁμαρτίας ἑαυτόν του καὶ ἂς λάβῃ τὴν σταθερὰν ἀπόφασιν νὰ ὑποστῇ δι' ἐμὲ ὄχι μόνον πᾶσαν θλῖψιν καὶ δοκιμασίαν, ἀλλὰ καὶ θάνατον σταυρικὸν ἀκόμη, καὶ τότε ἂς μὲ ἀκολουθῇ μιμούμενος τὸ παράδειγμά μου.

35 ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ἑαυτοῦ ψυχὴν ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν.

35 Μὴ διστάσῃ δὲ κανεὶς νὰ κάμῃ τὰς θυσίας αὐτάς. Διότι, ὅποιος θέλει νὰ σώσῃ τὴν ζωήν του, θὰ χάσῃ τὴν πνευματικὴν καὶ μακαρίαν καὶ αἰωνίαν ζωήν. Ὅποιος ὅμως χάσῃ καὶ θυσιάσῃ τὴν ζωήν του διὰ τὴν ὁμολογίαν καὶ ὑπακοήν του εἰς ἐμὲ καὶ τὸ εὐαγγέλιόν μου, αὐτὸς θὰ σώσῃ τὴν ψυχήν του ἐν τῷ μέλλοντι βίῳ, ὅπου θὰ κερδήσῃ τὴν αἰωνίαν μακαριότητα.

36 τί γὰρ ὠφελήσει ἄνθρωπον ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ;

36 Ἐκείνη δὲ ἡ σωτηρία εἶναι τὸ πᾶν. Διότι τί θὰ ὠφελήσῃ τὸν ἄνθρωπον, ἐὰν κερδήσῃ ὅλον αὐτὸν τὸν ὑλικὸν κόσμον, καὶ εἰς τὸ τέλος χάσῃ τὴν ψυχήν του, ἡ ὁποία ὡς πνευματικὴ καὶ αἰωνία δὲν συγκρίνεται μὲ κανὲν ἀπὸ τὰ ὑλικὰ τοῦ φθαρτοῦ κόσμου ἀγαθά;

37 ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;

37 Ἢ ἐὰν ἕνας ἄνθρωπος χάσῃ τὴν ψυχήν του, τί θὰ δώσῃ ὡς ἀντάλλαγμα, μὲ τὸ ὁποῖον θὰ ἐξαγοράσῃ αὐτὴν ἀπὸ τὴν αἰωνίαν ἀπώλειαν;

[31]) Λκ. θ΄ 22. Μτ. ις΄ 21. [32-33]) Μτ. ις΄ 22. 23. [34-38]) Λκ. θ΄ 23 - 26. Μτ. ις΄ 24 - 27.

38 ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων.

38 Ὡρισμένως δὲ θὰ χάσῃ τὴν ψυχήν του ἐκεῖνος, ποὺ δὲν θὰ ὑποστῇ δι' ἐμὲ τὰς θυσίας αὐτάς. Διότι ὁποιοσδήποτε ἐντραπῇ ἐμὲ καὶ τοὺς λόγους μου ἐπηρεαζόμενος ἀπὸ τὰς περιφρονήσεις καὶ τοὺς χλευασμοὺς τῶν ἀνθρώπων τῆς γενεᾶς αὐτῆς, ποὺ ἀπεστάτησεν ἀπὸ τὸν πνευματικόν της νυμφίον καὶ εἶναι ἁμαρτωλός, αὐτὸν θὰ τὸν ἐντραπῇ καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ θὰ τὸν ἀποκηρύξῃ ὡς μὴ ἰδικόν του, ὅταν θὰ ἔλθῃ μὲ τοὺς ἁγίους ἀγγέλους περιβεβλημένος τὴν δόξαν τοῦ Πατρός του.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Καὶ ἔλεγεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

Καὶ ἔλεγεν εἰς αὐτούς· Σᾶς λέγω ἀληθινά, ὅτι ὑπάρχουν μερικοὶ ἀπὸ αὐτούς, ποὺ στέκονται ἐδῶ, οἱ ὁποῖοι δὲν θὰ δοκιμάσουν θάνατον, προτοῦ νὰ ἴδουν, μετὰ τὴν κάθοδον τοῦ Ἁγίου Πνεύματος, νὰ καταλύεται, μὲ τὴν καταστροφὴν τῶν Ἱεροσολύμων καὶ τοῦ ναοῦ των καὶ μὲ τὸν διασκορπισμὸν τοῦ Ἰσραήλ, ἡ Παλαιὰ θεία τάξις καὶ διαθήκη διὰ νὰ θεμελιωθῇ μὲ δύναμιν ἀκαταγώνιστον καὶ ὑπερφυσικὴν ἡ Νέα θεία τάξις ἐν τῷ κόσμῳ, τὴν ὁποίαν θὰ ἐκπροσωπῇ ἡ Ἐκκλησία ὡς ἄλλη βασιλεία τοῦ Θεοῦ ἐπὶ τῆς γῆς.

Στίχ. 2-13. Ἡ Μεταμόρφωσις τοῦ Σωτῆρος.

2 Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν μόνους· καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν,

2 Καὶ ὕστερα ἀπὸ ἓξ ἡμέρας παίρνει μαζί του ὁ Ἰησοῦς τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην καὶ τοὺς ἀνεβάζει εἰς ὄρος ὑψηλὸν ἰδιαιτέρως αὐτοὺς μόνους· καὶ μετεμορφώθη ἐμπροσθέν τους.

3 καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένετο στίλβοντα, λευκὰ λίαν ὡς χιών, οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται οὕτω λευκᾶναι.

3 Καὶ τὰ ἐνδύματά του ἔγιναν ἀστραπτερά, λευκὰ πολὺ σὰν τὸ χιόνι, τέτοια, ποὺ τεχνίτης ἔμπειρος εἰς τὶς βαφὲς τῶν ὑφασμάτων ἐδῶ εἰς τὴν γῆν δὲν ἠμπορεῖ νὰ τὰ λευκάνῃ ἔτσι.

4 καὶ ὤφθη αὐτοῖς Ἠλίας σὺν Μωϋσεῖ, καὶ ἦσαν συλλαλοῦντες τῷ Ἰησοῦ. καὶ ἀποκριθεὶς ὁ Πέτρος λέγει τῷ Ἰησοῦ·

4 Καὶ ἐνεφανίσθησαν εἰς αὐτοὺς οἱ δύο μεγάλοι ἀντιπρόσωποι τοῦ Νόμου καὶ τῶν Προφητῶν, ὁ Ἠλίας μαζὶ μὲ τὸν Μωϋσῆν. Καὶ συνωμίλουν ἐπ' ἀρκετὸν μὲ τὸν Ἰησοῦν. Καὶ ἀφοῦ ἔλαβε τὸν λόγον ὁ Πέτρος, εἶπεν εἰς τὸν Ἰησοῦν·

5 ῥαββί, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς, σοὶ μίαν καὶ Μωϋσεῖ μίαν καὶ Ἠλίᾳ μίαν.

5 Διδάσκαλε, καλὸν εἶναι νὰ μένωμεν ἐδῶ. Καὶ ἂς κάμωμεν λοιπὸν τρεῖς σκηνάς, μίαν διὰ σὲ καὶ διὰ τὸν Μωϋσῆν μίαν καὶ διὰ τὸν Ἠλίαν ἄλλην μίαν.

Θ΄. [1]) Λκ. θ΄ 27. Μτ. ις΄ 28. [2-10]) Λκ. θ΄ 28 - 36. Μτ. ιζ΄ 1 - 9.

6 οὐ γὰρ ᾔδει τί λαλήσῃ· ἦσαν γὰρ ἔκφοβοι.

6 Καὶ εἶπεν αὐτὰ ὁ Πέτρος, χωρὶς νὰ σκεφθῇ, ὅτι οὔτε ἦτο δυνατὸν οἱ δύο οὐράνιοι ἐπισκέπται νὰ παραμείνουν μονίμως εἰς τὴν γῆν, ποὺ δὲν ἔγινεν ἀκόμη καινούργια, οὔτε ἐχρειάζοντο σκηναὶ δι' αὐτούς, ποὺ κατοικίαν εἶχαν τὸν οὐρανόν. Ἀλλ' ὁ Πέτρος εἶπεν αὐτά, διότι δὲν ἤξευρε τί νὰ εἴπῃ, ἐπειδὴ ἔπαθε σύγχυσιν λόγῳ τοῦ ὅτι αὐτὸς καὶ οἱ δύο συμμαθηταί του εἶχαν καταληφθῆ ἀπὸ φόβον, ποὺ παρέλυε τὴν σκέψιν τους.

7 καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς, καὶ ἦλθε φωνὴ ἐκ τῆς νεφέλης λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκούετε.

7 Καὶ ἦλθε σύννεφον, ποὺ τοὺς ἐσκέπασε. Καὶ ἐβγῆκεν ἀπὸ τὸ σύννεφον φωνὴ ἡ ὁποία ἔλεγε· Αὐτὸς εἶναι ὁ υἱός μου ὁ ἀγαπητός, εἰς αὐτὸν νὰ ὑπακούετε.

8 καὶ ἐξάπινα περιβλεψάμενοι οὐκέτι οὐδένα εἶδον, ἀλλὰ τὸν Ἰησοῦν μόνον μεθ' ἑαυτῶν.

8 Καὶ ἔξαφνα ὅταν οἱ μαθηταὶ ἐκύτταξαν γύρω τους, δὲν εἶδαν πλέον κανένα, ἀλλὰ τὸν Ἰησοῦν μαζί τους μόνον, χωρὶς τοὺς ἄλλους δύο προφήτας.

9 Καταβαινόντων δὲ αὐτῶν ἀπὸ τοῦ ὄρους διεστείλατο αὐτοῖς ἵνα μηδενὶ διηγήσωνται ἃ εἶδον, εἰ μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.

9 Ὅταν δὲ αὐτοὶ κατέβαινον ἀπὸ τὸ ὄρος, τοὺς παρήγγειλεν ὁ Ἰησοῦς νὰ μὴ διηγηθοῦν εἰς κανένα αὐτὰ ποὺ εἶδαν, παρὰ μόνον τότε νὰ τὰ εἴπουν, ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ Μεσσίας, ἀναστηθῇ ἐκ νεκρῶν, ὁπότε δὲν θὰ ὑπάρχῃ κίνδυνος ἀκαίρων ἐνθουσιασμῶν τοῦ πλήθους, ἀλλὰ καὶ περισσότερον κατανοητὸν καὶ πιστευτὸν τὸ γεγονὸς αὐτὸ θὰ καταστῇ.

10 καὶ τὸν λόγον ἐκράτησαν, πρὸς ἑαυτοὺς συζητοῦντες τί ἐστι τὸ ἐκ νεκρῶν ἀναστῆναι.

10 Καὶ ἐκράτησαν τὸν περὶ Μεταμορφώσεως λόγον μυστικόν, συνεζήτουν δὲ μεταξύ τους, τί σημασίαν ἔχει τὸ νὰ ἀναστῇ ἐκ νεκρῶν ὁ Ἰησοῦς, ὁ ὁποῖος ὡς Μεσσίας δὲν ἦτο κατώτερος προσώπων, ποὺ δὲν εἶδαν θάνατον ὡς ὁ Ἐνὼχ καὶ ὁ Ἠλίας καὶ συνεπῶς οὔτε αὐτὸς θὰ ἔπρεπε νὰ ἀποθάνῃ.

11 καὶ ἐπηρώτων αὐτὸν λέγοντες, ὅτι λέγουσιν οἱ γραμματεῖς ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον.

11 Καὶ τὸν ἠρώτων καὶ ἔλεγον· ὁ Ἠλίας ἦλθεν εἰς τὸ ὄρος καὶ ἀφοῦ σὲ ἐχαιρέτισεν, ἔφυγε πάλιν. Διατί λοιπὸν λέγουν οἱ γραμματεῖς, ὅτι πρὸ τῆς ἐλεύσεως τοῦ Μεσσίου πρέπει νὰ ἔλθῃ πρῶτον ὁ Ἠλίας;

12 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ἠλίας μὲν ἐλθὼν πρῶτον ἀποκαθιστᾷ πάντα· καὶ πῶς γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἵνα πολλὰ πάθῃ καὶ ἐξουδενωθῇ;

12 Αὐτὸς δὲ ἀπεκρίθη καὶ τοὺς εἶπε· Σύμφωνα μὲ τὰς προφητείας ὁ Ἠλίας, ἀφοῦ ἔλθῃ πρὸ τῆς ἐλεύσεως τοῦ Μεσσίου, θὰ ἀποκαταστήσῃ ὅλας τὰς σχέσεις τῶν ἀνθρώπων, καὶ θὰ συμφιλιώσῃ αὐτοὺς καὶ μεταξύ τους καὶ μὲ τὸν Θεόν. Καὶ τοῦ Ἠλία μὲν αὐτὴ εἶναι ἡ ἀποστολή. Διὰ δὲ τὸν υἱὸν τοῦ ἀνθρώπου πῶς ἔχει γραφῇ καὶ προφητευθῆ εἰς τὰς Ἁγίας Γραφάς; Ἔχει προφητευθῆ, ὅτι θὰ πάθῃ πολλὰ καὶ θὰ ἐξευτελισθῇ.

13 ἀλλὰ λέγω ὑμῖν ὅτι καὶ Ἠλίας ἐλήλυθε, καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν, καθὼς γέγραπται ἐπ' αὐτόν.

13 Ἀλλὰ σᾶς λέγω, ὅτι ὄχι μόνον ὁ Μεσσίας, ἀλλὰ καὶ ὁ Ἠλίας ἔχει ἔλθει. Ἦλθεν ὁ κατὰ πάντα ὅμοιος πρὸς τὸν Ἠλίαν προφήτης Ἰωάννης ὁ πρόδρομος καὶ βαπτιστής. Καὶ τοῦ ἔκαμαν οἱ Ἰουδαῖοι ὅσα ἠθέλησαν, σύμφωνα δὲ μὲ ὅσα ἔχουν γραφῇ δι' αὐτόν. Ἔτσι καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ Μεσσίας, μέλλει νὰ πάθῃ ἀπὸ αὐτούς.

11-13) Μτ. ια' 14. ιζ' 10 - 13. κς' 24.

Στίχ. 14-29. Θεραπεία τοῦ σεληνιαζομένου νέου.

14 Καὶ ἐλθὼν πρὸς τοὺς μαθητὰς εἶδεν ὄχλον πολὺν περὶ αὐτούς, καὶ γραμματεῖς συζητοῦντας αὐτοῖς.

14 Καὶ ὅταν ἦλθε πλησίον τῶν μαθητῶν, εἶδε γύρω ἀπὸ αὐτοὺς πολὺν λαὸν καὶ γραμματεῖς νὰ συζητοῦν μαζί τους.

15 καὶ εὐθέως πᾶς ὁ ὄχλος ἰδόντες αὐτὸν ἐξεθαμβήθησαν, καὶ προστρέχοντες ἠσπάζοντο αὐτόν.

15 Καὶ ἀμέσως ὅλος ὁ λαὸς ὅταν τὸν εἶδεν, ἐθαμβώθη ἀπὸ τὴν χαράν του καὶ τρέχοντες πρὸς αὐτὸν τὸν ἐχαιρέτων.

16 καὶ ἐπηρώτησε τοὺς γραμματεῖς· τί συζητεῖτε πρὸς ἑαυτούς;

16 Καὶ ἠρώτησε τοὺς γραμματεῖς· τί συζητεῖτε μεταξύ σας;

17 καὶ ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου εἶπε· διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρός σε, ἔχοντα πνεῦμα ἄλαλον.

17 Καὶ ἀπεκρίθη ἕνας ἀπὸ τὸ πλῆθος τοῦ λαοῦ καὶ εἶπε· Διδάσκαλε, σοῦ ἔφερα τὸν υἱόν μου, ποὺ ἔχει καταληφθῆ ἀπὸ πνεῦμα πονηρόν, τὸ ὁποῖον τοῦ ἐπῆρε καὶ τὴν λαλιάν.

18 καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτόν, καὶ ἀφρίζει καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ, καὶ ξηραίνεται· καὶ εἶπον τοῖς μαθηταῖς σου ἵνα αὐτὸ ἐκβάλωσι, καὶ οὐκ ἴσχυσαν.

18 Καὶ εἰς ὅποιο μέρος τὸν πιάσῃ, τὸν ρίπτει κάτω καὶ ἀφρίζει καὶ τρίζει τὰ δόντια του καὶ γίνεται ξηρὸς καὶ ἀναίσθητος. Καὶ εἶπα εἰς τοὺς μαθητάς σου νὰ τὸ βγάλουν καὶ δὲν ἠμπόρεσαν.

19 ὁ δὲ ἀποκριθεὶς αὐτῷ λέγει· ὦ γενεὰ ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι; ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετε αὐτὸν πρός με. καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν.

19 Ὁ δὲ Ἰησοῦς ἀπεκρίθη εἰς αὐτὸν καὶ εἶπεν· Ὦ γενεά, ποὺ τόσα θαύματα εἶδες καὶ εἶσαι ἀκόμη ἄπιστος, ἕως πότε θὰ εἶμαι μαζί σας; Ἕως πότε θὰ σᾶς ἀνέχωμαι; Φέρτε τόν μου ἐδῶ. Καὶ τὸν ἔφεραν εἰς αὐτόν.

20 καὶ ἰδὼν αὐτὸν εὐθέως τὸ πνεῦμα ἐσπάραξεν αὐτόν, καὶ πεσὼν ἐπὶ τῆς γῆς ἐκυλίετο ἀφρίζων.

20 Καὶ ὅταν τὸ πονηρὸν πνεῦμα εἶδε τὸν Ἰησοῦν, ἀμέσως ἐτάραξε μὲ σπασμοὺς τὸν νέον, ὁ ὁποῖος, ἀφοῦ ἔπεσεν ἐπὶ τῆς γῆς, ἐκυλίετο καὶ ἔβγαζεν ἀφροὺς ἀπὸ τὸ στόμα.

21 καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ· πόσος χρόνος ἐστίν, ὡς τοῦτο γέγονεν αὐτῷ; ὁ δὲ εἶπε· παιδιόθεν.

21 Καὶ ἠρώτησεν ὁ Κύριος τὸν πατέρα του· Πόσος καιρὸς εἶναι ἀφ' ὅτου τοῦ συνέβη τοῦτο; Ἐκεῖνος δὲ εἶπεν· Ἀπὸ μικρὸ παιδί.

22 καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ ἔβαλε καὶ εἰς ὕδατα, ἵνα ἀπολέσῃ αὐτόν· ἀλλ' εἴ τι δύνασαι, βοήθησον ἡμῖν σπλαγχνισθεὶς ἐφ' ἡμᾶς.

22 Καὶ πολλὲς φορὲς τὸν ἔρριψε καὶ εἰς φωτιὰ καὶ εἰς νερά, διὰ νὰ τὸν θανατώσῃ. Ἀλλ' ἐὰν μπορῇς νὰ κάμῃς τίποτε, λυπήσου μας καὶ βοήθησέ μας.

23 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ τὸ εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι.

23 Ὁ δὲ Ἰησοῦς τοῦ εἶπε τοῦτο· Ἐὰν ἠμπορῇς σὺ νὰ πιστεύσῃς, ὅλα εἶναι δυνατὰ εἰς ἐκεῖνον ποὺ πιστεύει.

14-27) Λκ. θ' 37 - 42. ιζ' 5. Μτ. ιζ' 14 - 18.

24 καὶ εὐθέως κράξας ὁ πατὴρ τοῦ παιδίου μετὰ δακρύων ἔλεγε· πιστεύω, Κύριε· βοήθει μου τῇ ἀπιστίᾳ.

24 Καὶ ἀμέσως ἐφώναξεν ὁ πατὴρ τοῦ παιδίου μὲ δάκρυα καὶ εἶπε· Πιστεύω, Κύριε, ὅτι ἔχεις τὴν δύναμιν νὰ μὲ βοηθήσῃς. Βοήθησέ με νὰ ἀπαλλαγῶ ἀπὸ τὴν ὀλιγοπιστίαν μου καὶ ἀναπλήρωσε σὺ τὴν ἔλλειψιν τῆς πίστεώς μου.

25 ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει ὄχλος, ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ λέγων αὐτῷ· τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφόν, ἐγώ σοι ἐπιτάσσω, ἔξελθε ἐξ αὐτοῦ καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν.

25 Ὅταν δὲ εἶδεν ὁ Ἰησοῦς, ὅτι ἔτρεχεν ἐκεῖ καὶ ἐμαζεύετο πολὺς λαός, ἐπέπληξε τὸ πνεῦμα τὸ ἀκάθαρτον καὶ εἶπεν εἰς αὐτό· τὸ πνεῦμα τὸ ἄλαλον καὶ κουφόν, ἐγὼ σὲ διατάσσω, ἔβγα ἀπὸ αὐτὸν καὶ μὴν ἔμβῃς πλέον εἰς αὐτόν.

26 καὶ κράξαν καὶ πολλὰ σπαράξαν αὐτὸν ἐξῆλθε, καὶ ἐγένετο ὡσεὶ νεκρός, ὥστε πολλοὺς λέγειν ὅτι ἀπέθανεν.

26 Καὶ ἀφοῦ ἐφώναξε τὸ πονηρὸν πνεῦμα καὶ τὸν ἐσπάραξε πολύ, ἐβγῆκε. Καὶ ἔγινεν ὁ νέος σὰν νεκρός, ὥστε ἔλεγαν πολλοί, ὅτι ἀπέθανε.

27 ὁ δὲ Ἰησοῦς κρατήσας αὐτὸν τῆς χειρὸς ἤγειρεν αὐτόν, καὶ ἀνέστη.

27 Ὁ Ἰησοῦς ὅμως ἀφοῦ τὸν ἔπιασεν ἀπὸ τὸ χέρι, τὸν ἐσήκωσε καὶ ἐκεῖνος ἐστάθη ὄρθιος.

28 Καὶ εἰσελθόντα αὐτὸν εἰς οἶκον οἱ μαθηταὶ αὐτοῦ ἐπηρώτων αὐτὸν κατ' ἰδίαν, ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό.

28 Καὶ ὅταν ὁ Κύριος ἐμβῆκεν εἰς κάποιο σπίτι, τὸν ἠρώτων ἰδιαιτέρως οἱ μαθηταί του· Διατί ἡμεῖς δὲν ἠμπορέσαμεν νὰ βγάλωμεν τὸ πονηρὸν πνεῦμα;

29 καὶ εἶπεν αὐτοῖς· τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

29 Καὶ εἶπεν εἰς αὐτούς· Αὐτὸ τὸ εἶδος τοῦ δαιμονίου δὲν βγαίνει μὲ τίποτε ἄλλο παρὰ μὲ προσευχὴν συνοδευομένην καὶ μὲ νηστείαν, ὥστε ἡ προσευχὴ νὰ γίνεται μὲ διάνοιαν ὅσον τὸ δυνατὸν ἐλαφροτέραν καὶ περισσότερον προσηλωμένην εἰς τὸν Θεόν.

Στίχ. 30-37. Ποῖος εἶναι ὁ πρῶτος καὶ ὁ μεγαλύτερος.

30 Καὶ ἐκεῖθεν ἐξελθόντες παρεπορεύοντο διὰ τῆς Γαλιλαίας, καὶ οὐκ ἤθελεν ἵνα τις γνῷ·

30 Καὶ ἀφοῦ ἐβγῆκαν ἀπ' ἐκεῖ, ἐπήγαιναν ἀθόρυβα διὰ τῆς Γαλιλαίας ἀκολουθοῦντες τὴν δυτικὴν ὄχθην τοῦ Ἰορδάνου. Καὶ δὲν ἤθελε νὰ τοὺς μάθῃ κανείς, ὅτι διέβαιναν.

31 ἐδίδασκε γὰρ τοὺς μαθητὰς αὐτοῦ καὶ ἔλεγεν αὐτοῖς ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ ἀποκτανθεὶς τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

31 Τοῦτο δὲ διότι ἤθελε νὰ εἶναι μόνος του μετὰ τῶν μαθητῶν του, τοὺς ὁποίους συστηματικῶς πλέον ἐδίδασκε καὶ ἔλεγεν εἰς αὐτούς, ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ Μεσσίας, παραδίδεται μετ' ὀλίγον εἰς τὰ χέρια ἀνθρώπων, καὶ θὰ τὸν θανατώσουν, καὶ ἀφοῦ θανατωθῇ, τὴν τρίτην ἡμέραν ἀπὸ τοῦ θανάτου του θὰ ἀναστηθῇ.

[28-29]) Μτ. ιζ' 19 - 21. [30-32]) η' 31. Λκ. β' 50. θ' 43 - 45. ιη' 34. Μτ. ιζ' 22. 23. Ἰν. ι' 6. ιβ' 16.

32 οἱ δὲ ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι.

32 Αὐτοὶ ὅμως δὲν ἐκαταλάβαιναν τὸν λόγον αὐτὸν περὶ ἀναστάσεως καὶ ἀπέφευγαν νὰ τοῦ ζητήσουν ἐξηγήσεις, ἐπειδὴ ἐφοβοῦντο, μήπως ἀκούσουν τίποτε ἄλλο περισσότερον δυσάρεστον, ἢ καὶ ἐπιτιμήσεις ἀπὸ τὸν Διδάσκαλον, διότι δὲν εἶχαν ἀκόμη καταλάβει αὐτό, διὰ τὸ ὁποῖον ἐπανειλημμένως τοὺς εἶχεν ὁμιλήσει.

33 Καὶ ἦλθεν εἰς Καπερναούμ· καὶ ἐν τῇ οἰκίᾳ γενόμενος ἐπηρώτα αὐτούς· τί ἐν τῇ ὁδῷ πρὸς ἑαυτοὺς διελογίζεσθε;

33 Καὶ ἦλθεν εἰς τὴν Καπερναούμ· καὶ ὅταν ἔφθασεν εἰς τὸ σπίτι τοὺς ἠρώτα· Ποίαν συζήτησιν καὶ συνομιλίαν εἴχατε μεταξύ σας εἰς τὸν δρόμον;

34 οἱ δὲ ἐσιώπων· πρὸς ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ τίς μείζων.

34 Αὐτοὶ δὲ ἐσιώπων· διότι συνεζήτησαν μεταξύ τους εἰς τὸν δρόμον, ποῖος θὰ ἦτο πλησίον τοῦ Χριστοῦ ὁ μεγαλύτερος καὶ περισσότερον διακεκριμένος, καὶ τώρα ἐντρέποντο νὰ εἴπουν τοῦτο εἰς τὸν Διδάσκαλον.

35 καὶ καθίσας ἐφώνησε τοὺς δώδεκα καὶ λέγει αὐτοῖς· εἴ τις θέλει πρῶτος εἶναι, ἔσται πάντων ἔσχατος καὶ πάντων διάκονος.

35 Καὶ ἀφοῦ ἐκάθισεν, ἐφώναξε τοὺς δώδεκα καὶ τοὺς εἶπεν· Ἐὰν κανεὶς θέλῃ νὰ εἶναι πρῶτος κατὰ τὴν τιμήν, ὀφείλει διὰ τῆς ταπεινώσεώς του ἀπέναντι τῶν ἄλλων νὰ γίνῃ τελευταῖος ἀπὸ ὅλους καὶ ὑπηρέτης ὅλων διὰ τῆς ἀσκήσεως τῆς ἀγάπης.

36 καὶ λαβὼν παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, καὶ ἐναγκαλισάμενος αὐτὸ εἶπεν αὐτοῖς·

36 Καὶ ἀφοῦ ἐπῆρεν ἕνα παιδίον, τὸ ἔστησεν ἐν τῷ μέσῳ αὐτῶν καὶ τὸ ἐνηγκαλίσθη καὶ τοὺς εἶπεν·

37 ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με.

37 Ἐκεῖνος ποὺ θὰ ὑποδεχθῇ δι' ἐμὲ καὶ πρὸς τιμήν μου ἕνα τέτοιον ἄνθρωπον, ὁ ὁποῖος ἐταπεινώθη σὰν τὸ μικρὸ παιδί, αὐτὸς ὑποδέχεται καὶ τιμᾷ ἐμὲ τὸν ἴδιον. Καὶ ὅποιος θὰ ὑποδεχθῇ ἐμέ, δὲν ὑποδέχεται ἐμέ, ἀλλ' ὑποδέχεται ἐκεῖνον, ποὺ μὲ ἀπέστειλεν εἰς τὸν κόσμον, δηλαδὴ τὸν ἐπουράνιόν μου Πατέρα.

Στίχ. 38-50. Προσοχὴ νὰ μὴ σκανδαλίζωμεν.

38 Ἀπεκρίθη αὐτῷ ὁ Ἰωάννης λέγων· διδάσκαλε, εἴδομέν τινα ἐν τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ ἡμῖν, καὶ ἐκωλύσαμεν αὐτόν, ὅτι οὐκ ἀκολουθεῖ ἡμῖν.

38 Ἔλαβε δὲ τὸν λόγον ὁ Ἰωάννης καὶ εἶπε· Διδάσκαλε, τόσον πολὺ ἐκτιμᾷς ἐκεῖνον, ποὺ θὰ δεχθῇ διὰ τὸ ὄνομά σου ἄνθρωπον ταπεινὸν σὰν τὸ παιδίον. Ἡμεῖς ὅμως εἴδομεν κάποιον, ποὺ δὲν μᾶς ἀκολουθεῖ καὶ δὲν ἀνήκει εἰς τὸν κύκλον τῶν μαθητῶν, νὰ βγάζῃ δαιμόνια διὰ τῆς ἐπικλήσεως τοῦ ὀνόματός σου, καὶ ἀντὶ νὰ τὸν τιμήσωμεν διὰ τὸ ὅτι ἔπραττε τοῦτο διὰ τοῦ ὀνόματός σου, τὸν ἐμποδίσαμεν, ἐπειδὴ δὲν μᾶς ἀκολουθεῖ ὡς μαθητής σου.

39 ὁ δὲ Ἰησοῦς εἶπε· μὴ κωλύετε αὐτόν· οὐδεὶς γάρ ἐστιν ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου καὶ δυνήσεται ταχὺ κακολογῆσαί με.

39 Ὁ δὲ Ἰησοῦς εἶπε· Μὴ τὸν ἐμποδίζετε. Διότι ἄνθρωπος ποὺ θὰ κάμῃ θαῦμα ἐπικαλούμενος τὸ ὄνομά μου, δὲν θὰ μπορέσῃ γρήγορα νὰ κακολογήσῃ καὶ νὰ βλασφημήσῃ ἐμέ, μὲ τὸ ὄνομα τοῦ ὁποίου ἐθαυματούργησε καὶ ἐδοξάσθη.

40 ὃς γὰρ οὐκ ἔστι καθ' ὑμῶν, ὑπὲρ ὑμῶν ἐστιν.

40 Μὴ ἐμποδίζετε λοιπὸν τοὺς τοιούτους. Διότι ὅποιος δὲν εἶναι ἐναντίον σας καὶ δὲν πολεμεῖ τὴν διδασκαλίαν σας, εἶναι μὲ τὸ μέρος σας καὶ ἑπόμενον εἶναι νὰ γίνῃ καὶ ἐξ ὁλοκλήρου ἰδικός σας.

[33-37]) ι' 16. 44. Λκ. θ' 46 - 48. Μτ. ιη' 1 - 5. [38-40]) Ἀρ. ια' 27. 28. Λκ. θ' 49. 50. ια' 23. Μτ. ιβ' 30. 1 Κρ. ιβ' 3.

41 ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος ἐν τῷ ὀνόματί μου, ὅτι Χριστοῦ ἐστε, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

41 Καὶ διὰ νὰ ἐξακολουθήσω ἐκεῖνο, ποὺ σᾶς ἔλεγα, σᾶς βεβαιῶ, ὅτι καὶ ἡ ἐλαχίστη ὑπηρεσία, τὴν ὁποίαν πρὸς τιμήν μου θὰ σᾶς προσφέρουν, δὲν θὰ μείνῃ ἄνευ ἀνταμοιβῆς. Διότι ἐκεῖνος πού, μὲ τὸν σκοπὸν νὰ τιμήσῃ ἐμέ, ἐπειδὴ δηλαδὴ εἶσθε μαθηταὶ τοῦ Χριστοῦ, θὰ σᾶς προσφέρῃ νὰ πίετε ἔστω καὶ ἕνα ποτήριον νερό, σᾶς λέγω, ὅτι δὲν θὰ χάσῃ τὴν ἀμοιβήν του διὰ τὴν μικρὰν αὐτὴν ὑπηρεσίαν, ποὺ σᾶς προσέφερε.

42 καὶ ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ, καλόν ἐστιν αὐτῷ μᾶλλον εἰ περίκειται λίθος μυλικὸς περὶ τὸν τράχηλον αὐτοῦ καὶ βέβληται εἰς τὴν θάλασσαν.

42 Καὶ εἰς ἐκεῖνον, ὁ ὁποῖος τυχὸν θὰ βλάψῃ πνευματικῶς ἕνα ἀπὸ τοὺς ταπεινοὺς αὐτοὺς καὶ ἁπλοῦς, ποὺ πιστεύουν εἰς ἐμέ, εἶναι καλύτερον καὶ συμφερώτερον εἰς αὐτόν, ἐὰν κρεμασθῇ γύρω ἀπὸ τὸν λαιμόν του μία μυλόπετρα καὶ ριφθῇ εἰς τὴν ἀνοικτὴν θάλασσαν. Διότι ἀσυγκρίτως μεγαλυτέρα τιμωρία περιμένει τὸν ἄνθρωπον αὐτόν.

43 καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ σου, ἀπόκοψον αὐτήν· καλόν σοί ἐστι κυλλὸν εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ τὰς δύο χεῖρας ἔχοντα ἀπελθεῖν εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον,

43 Καὶ ἐὰν σοῦ γίνεται ἀφορμὴ νὰ ἁμαρτάνῃς ἡ χείρ σου, δηλαδὴ πρόσωπον ἢ πρᾶγμα πολὺ συνδεδεμένον μαζί σου καὶ πολὺ χρήσιμον εἰς σέ, κόψε την ἀπὸ πάνω σου. Συμφερώτερον εἶναι εἰς σὲ νὰ ἔμβῃς εἰς τὴν αἰωνίαν ζωὴν κουλλός, παρὰ μὲ τὰς δύο χεῖρας νὰ ἀπέλθῃς εἰς τὴν γέενναν, εἰς τὸ πῦρ ποὺ δὲν σβήνει ποτέ. Εἶναι προτιμότερον νὰ ὑποστῇς τὴν βαρυτέραν θυσίαν εἰς τὸν κόσμον αὐτὸν καὶ νὰ χωρισθῇς ἀπὸ πράγματα ἢ πρόσωπα, ποὺ σοῦ εἶναι χρήσιμα καὶ ἀγαπητά, παρὰ ἡ προσκόλλησίς σου εἰς αὐτὰ νὰ σὲ ρίψῃ εἰς τὴν κόλασιν,

44 ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται.

44 ὅπου τὸ σκουλῆκι, τὸ ὁποῖον θὰ τοὺς κατατρώγῃ χωρὶς καὶ νὰ τοὺς ἐξαφανίζῃ ἐκείνους ποὺ θὰ εἶναι ἐκεῖ, δὲν θὰ ἔχῃ τέλος, καὶ ἡ φωτιὰ ποὺ θὰ τοὺς κατακαίῃ, χωρὶς νὰ τοὺς ἀποτεφρώνῃ, δὲν θὰ σβήνῃ. Ἡ τιμωρία των δηλαδὴ θὰ εἶναι ἀτελεύτητος καὶ αἰωνία.

45 καὶ ἐὰν ὁ πούς σου σκανδαλίζῃ σε, ἀπόκοψον αὐτόν· καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλόν, ἢ τοὺς δύο πόδας ἔχοντα βληθῆναι εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον,

45 Καὶ ἐὰν τὸ πόδι σου σοῦ γίνεται ἀφορμὴ νὰ ἁμαρτάνῃς, κόψε το ἀπ' ἐπάνω σου. Καλύτερον εἶναι νὰ εἰσέλθῃς εἰς τὴν αἰωνίαν ζωὴν χωλός, παρὰ νὰ ἔχῃς καὶ τὰ δύο πόδια καὶ νὰ ριφθῇς μὲ αὐτὰ εἰς τὴν γέενναν. Προτιμότερον εἶναι νὰ στερηθῇς τὰς ὑπηρεσίας, ποὺ θὰ σοῦ παρέχῃ εἰς τὸν παρόντα κόσμον τὸ πρόσωπον ἢ τὸ πρᾶγμα, ποὺ σοῦ εἶναι τόσον χρήσιμον καὶ ἐξυπηρετικόν, ὅσον καὶ τὸ πόδι σου εἰς τὸν ὅλον ὀργανισμόν σου, παρὰ νὰ μὴ στερηθῇς αὐτὰς καὶ νὰ ριφθῇς εἰς τὴν κόλασιν,

46 ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται.

46 ὅπου τὸ σκουλῆκι, ποὺ θὰ κατατρώγῃ τοὺς καταδικασμένους ἐκεῖ, δὲν θὰ ἔχῃ τέλος, καὶ ἡ φωτιὰ ποὺ θὰ τοὺς κατακαίῃ δὲν θὰ σβήνῃ.

47 καὶ ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔκβαλε αὐτόν· καλόν σοί ἐστι μονόφθαλμον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ἢ τοὺς δύο ὀφθαλμοὺς ἔχοντα ἀπελθεῖν εἰς τὴν γέενναν τοῦ πυρός,

47 Καὶ ἐὰν τὸ μάτι σου γίνεται ἀφορμὴ ἁμαρτίας εἰς σέ, βγάλε το. Εἶναι καλύτερον διὰ σὲ νὰ ἔμβῃς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ μονόμματος, παρὰ μὲ δύο μάτια νὰ ριφθῇς εἰς τὴν γέενναν τοῦ πυρός. Εἶναι συμφερώτερον νὰ χωρισθῇς ἀπὸ πράγματα ἢ πρόσωπα, ποὺ σοῦ εἶναι χρήσιμα καὶ πολύτιμα σὰν τὸ μάτι σου, παρὰ μαζὶ μὲ αὐτὰ νὰ ριφθῇς εἰς τὴν κόλασιν,

[41]) Μτ. ι΄ 42. [42]) Λκ. ιζ΄ 1. 2. Μτ. ιη΄ 6. 7. κς΄ 24. [43-48]) Ἡσ. ξς΄ 24. Σρ. ζ΄ 17. Ἰδθ. ις΄ 17. Ἑβ. ι΄ 27. Μτ. ε΄ 29. 30. ιη΄ 8. 9.

48 ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται.

48 ὅπου τὸ σκουλῆκι, ποὺ κατατρώγει ἐκείνους ποὺ ἔχουν ριφθῆ ἐκεῖ, δὲν ἔχει τέλος, καὶ ἡ φωτιὰ ποὺ τοὺς καίει, δὲν σβήνει ποτέ.

49 πᾶς γὰρ πυρὶ ἁλισθήσεται, καὶ πᾶσα θυσία ἁλὶ ἁλισθήσεται.

49 Ἡ θὰ ἀποκόψετε λοιπὸν τοὺς στενοὺς δεσμούς, ποὺ σᾶς γίνονται ἐμπόδιον, ἢ θὰ ριφθῆτε εἰς τὸ πῦρ. Διότι κάθε ἄνθρωπος γρήγορα ἢ ἀργὰ θὰ ἁλατισθῇ μὲ φωτιά. Ἡ θὰ ἁλατισθῇ καὶ θὰ ἐξαγνισθῇ ἐδῶ μὲ τὸ πῦρ τῶν θλίψεων καὶ τῶν θυσιῶν τῆς αὐταπαρνήσεως ἢ θὰ καταφαγωθῇ ἐκεῖ ἀπὸ τὸ πῦρ τῆς γεέννης. Ἀκριβῶς ὅπως καὶ πᾶσα θυσία πρέπει νὰ ἁλατισθῇ προτοῦ προσφερθῇ εὐπροσδέκτως εἰς τὸν Θεόν.

50 καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται, ἐν τίνι αὐτὸ ἀρτύσετε; ἔχετε ἐν ἑαυτοῖς ἅλας καὶ εἰρηνεύετε ἐν ἀλλήλοις.

50 Τὸ ἅλας εἶναι καλόν, διότι προλαμβάνεται δι' αὐτοῦ ἡ ἀποσύνθεσις τῶν τροφῶν καὶ γίνονται νόστιμα τὰ φαγητά. Ἀλλ' ἐὰν τὸ ἅλας χάσῃ τὴν δύναμίν του, μὲ τί θὰ τὸ ἀρτύσετε, ὥστε νὰ ἀποκτήσῃ πάλιν τὴν δύναμιν ποὺ ἔχασε; Ἔτσι καὶ αἱ ἀρεταί, ποὺ κάνουν ἅλας τὸν πιστὸν μαθητήν μου· ἡ ἀκλόνητος πίστις δηλαδὴ καὶ ἡ αὐταπάρνησις, ποὺ ὁδηγεῖ εἰς πᾶσαν θυσίαν διὰ τὸ καθῆκον, καὶ ἡ ἐγκαρτέρησις εἰς αὐτό. Ἐὰν αὐταὶ αἱ ἀρεταὶ μεταστραφοῦν εἰς τὰς ἀντιθέτους κακίας, ἤτοι εἰς τὴν ἀπιστίαν καὶ τὴν φιλαυτίαν καὶ τὸν ἐγωϊσμόν, ὁ μαθητής μου πλέον αὐτὸς χάνει τὸ ἁλάτι του καὶ γίνεται ἀνίκανος νὰ προφυλάξῃ καὶ ἑαυτὸν καὶ τοὺς ἄλλους ἀπὸ τῆς διαφθορᾶς τοῦ κόσμου καὶ τοῦ ἑαυτοῦ του. Ἀπὸ ποίαν πλέον ἀνθρωπίνην πηγὴν δύναται οὗτος νὰ ἀνανεώσῃ τὰς ἐξυγιαντικὰς ἰδιότητας ποὺ ἔχασε; Διατηρήσατε ἀναμμένον μέσα σας τὸ ἐξαγνιστικὸν πῦρ τῆς αὐταπαρνήσεως καὶ τῆς θείας Χάριτος καὶ εἰδικῶς καύσατε δι' αὐτοῦ τὸν ἐγωϊσμόν, ποὺ καταστρέφει τὴν ἑνότητα, καὶ ἔχετε τὴν εἰρήνην μεταξύ σας, μὴ φιλονεικοῦντες διὰ πρωτεῖα καὶ τιμητικὰς διακρίσεις.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Στίχ. 1-12. Περὶ γάμου καὶ διαζυγίου.

Καὶ ἐκεῖθεν ἀναστὰς ἔρχεται εἰς τὰ ὅρια τῆς Ἰουδαίας διὰ τοῦ πέραν τοῦ Ἰορδάνου, καὶ συμπορεύονται πάλιν ὄχλοι πρὸς αὐτόν, καὶ ὡς εἰώθει, πάλιν ἐδίδασκεν αὐτούς.

Καὶ ἀπ' ἐκεῖ ἐσηκώθη καὶ ἦλθεν εἰς τὰ σύνορα τῆς Ἰουδαίας ὄχι διὰ τῆς Σαμαρείας, ἀλλὰ διὰ τοῦ τόπου ποὺ εἶναι πέραν ἀπὸ τὴν ὄχθην τοῦ Ἰορδάνου, ἤτοι διὰ τῆς Περαίας. Καὶ ἐπῆγαν πρὸς αὐτὸν μαζὶ πλήθη λαοῦ. Καὶ καθὼς συνήθιζε, πάλιν ἐδίδασκεν αὐτούς.

2 καὶ προσελθόντες οἱ Φαρισαῖοι ἐπηρώτων αὐτὸν εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπολῦσαι, πειράζοντες αὐτόν.

2 Καὶ ἀφοῦ τὸν ἐπλησίασαν οἱ Φαρισαῖοι, τὸν ἠρώτησαν, ἐὰν ἐπιτρέπεται εἰς ἄνδρα νὰ χωρίσῃ τὴν γυναῖκα του. Τοῦ ἔκαμαν δὲ τὴν ἐρώτησιν αὐτὴν πειράζοντες αὐτόν, διὰ νὰ εὕρουν ἀφορμὴν νὰ τὸν κατηγορήσουν, ὅτι περιορίζει τὴν ἐλευθερίαν εἰς τὸ ζήτημα τοῦ διαζυγίου· τοῦτο δὲ καὶ πλείστους ἐκ τοῦ λαοῦ θὰ δυσηρέστει, ἴσως δὲ καὶ εἰς τὸν Ἡρῴδην θὰ τὸν ἐξέθετεν.

[49-50]) Λτ. β΄ 13. Ἰζ. μγ΄ 24. Λκ. ιδ΄ 34. 35. Μτ. ε΄ 13. Κλ. δ΄ 6.
Ι΄. [1]) Λκ. θ΄ 51. Μτ. ιθ΄ 1. 2. Ἰν. ι΄ 22. 40.

3 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· τί ὑμῖν ἐνετείλατο Μωϋσῆς;

3 Αὐτὸς δὲ ἀπεκρίθη καὶ τοὺς εἶπε· Ποίαν ἐντολὴν σᾶς ἔδωκεν ὁ Μωϋσῆς περὶ τούτου;

4 οἱ δὲ εἶπον· ἐπέτρεψε Μωϋσῆς βιβλίον ἀποστασίου γράψαι καὶ ἀπολῦσαι.

4 Αὐτοὶ δὲ εἶπον· ὁ Μωϋσῆς ἐπέτρεψεν εἰς τὸν ἄνδρα νὰ γράψῃ ἔγγραφον, εἰς τὸ ὁποῖον νὰ βεβαιώνεται, ὅτι ἔκαμε διαζύγιον μὲ τὴν γυναῖκα του καὶ τότε νὰ τὴν χωρίσῃ.

5 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν ἐντολὴν ταύτην·

5 Καὶ ὁ Ἰησοῦς ἀπεκρίθη καὶ τοὺς εἶπεν· Ὁ Μωϋσῆς ἀπέβλεψε πρὸς τὴν σκληρότητα τῶν καρδιῶν σας καὶ τὴν ἄξεστον καὶ ἀπολίτιστον φύσιν σας καὶ δι᾽ αὐτὸ ἔγραψε τὴν ἐντολὴν αὐτήν, διὰ νὰ σᾶς προφυλάξῃ ἀπὸ μεγαλύτερα κακά. Διότι καὶ εἰς φόνον ἀκόμη θὰ ἦτο δυνατὸν νὰ φθάσετε, διὰ νὰ ἀπαλλαγῆτε ἀπὸ τὴν ἀνεπιθύμητον γυναῖκα σας.

6 ἀπὸ δὲ ἀρχῆς κτίσεως ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς ὁ Θεός·

6 Ἀπὸ τὴν ἀρχὴν τῆς δημιουργίας ὅμως ὁ Θεὸς ἔκαμε τοὺς πρωτοπλάστους ἕνα ἄνδρα καὶ μίαν γυναῖκα, ὥστε οὔτε ὁ ἀνὴρ ἠδύνατο νὰ ἀποκτήσῃ δευτέραν σύζυγον χωρίζων τὴν πρώτην, οὔτε ἡ γυνὴ ἠδύνατο νὰ χωρισθῇ ἀπὸ τὸν πρῶτον σύζυγόν της καὶ νὰ συνδεθῇ μὲ ἄλλον. Ἐὰν ὁ Δημιουργὸς ἐνομοθέτει τότε καὶ τὸ διαζύγιον, δὲν θὰ ἐδημιούργει μίαν μόνον, ἀλλὰ περισσοτέρας διὰ τὸν ἕνα ἄνδρα γυναῖκας.

7 ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.

7 Διότι δὲ ἕνα ἄνδρα καὶ μίαν γυναῖκα ἐδημιούργησεν ἐξ ἀρχῆς ὁ Θεός, δι᾽ αὐτὸ σύμφωνα μὲ τοὺς λόγους τῆς Ἁγίας Γραφῆς θὰ ἐγκαταλείψῃ ὁ ἄνθρωπος τὸν πατέρα του καὶ τὴν μητέρα του καὶ θὰ προσκολληθῇ εἰς τὴν μίαν καὶ μόνην γυναῖκα του. Εἶναι λοιπὸν ὁ δεσμὸς τῶν συζύγων στενώτερος ἀπὸ τὸν δεσμὸν τῶν τέκνων πρὸς τοὺς γονεῖς. Καὶ οἱ δύο σύζυγοι θὰ εἶναι ἀπὸ τῆς πρώτης στιγμῆς τοῦ γάμου των μία σάρξ, ἕνα σῶμα.

8 ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ μία σάρξ·

8 Ὥστε εἰς τὸ ἑξῆς δὲν εἶναι πλέον δύο, ὅπως ἦσαν προτήτερα, ἀλλὰ ἕνα σῶμα.

9 ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

9 Ἐκεῖνο λοιπὸν ποὺ ὁ Θεὸς ἥνωσεν εἰς ἕνα σῶμα, ὁ ἄνθρωπος ἂς μὴ τὸ χωρίζῃ.

10 καὶ εἰς τὴν οἰκίαν πάλιν οἱ μαθηταὶ περὶ τούτου ἐπηρώτων αὐτόν,

10 Καὶ εἰς τὸ σπίτι πάλιν τὸν ἠρώτησαν οἱ μαθηταί του διὰ τὸ αὐτὸ ζήτημα.

11 καὶ λέγει αὐτοῖς· ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ καὶ γαμήσῃ ἄλλην, μοιχᾶται ἐπ᾽ αὐτήν·

11 Καὶ εἶπεν εἰς αὐτούς· Ἐκεῖνος ποὺ θὰ χωρίσῃ τὴν γυναῖκα του καὶ θὰ ἔλθῃ εἰς γάμον μὲ ἄλλην, γίνεται μοιχὸς εἰς βάρος τῆς νομίμου συζύγου του.

12 καὶ ἐὰν γυνὴ ἀπολύσασα τὸν ἄνδρα γαμηθῇ ἄλλῳ, μοιχᾶται.

12 Καὶ ἐὰν μία γυναῖκα χωρίσῃ τὸν ἄνδρα της καὶ ἔλθῃ εἰς γάμον μὲ ἄλλον, διαπράττει μοιχείαν καὶ λέγεται μοιχαλίς.

Στίχ. 13-16. Εὐλογία τῶν παιδίων.

13 Καὶ προσέφερον αὐτῷ παιδία, ἵνα αὐτῶν ἅψηται· οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν.

13 Καὶ τοῦ ἔφεραν μερικὰ μικρὰ παιδιά, διὰ νὰ τὰ ἐγγίσῃ μὲ τὰς χεῖράς του, οἱ μαθηταὶ ὅμως ἐπέπληττον αὐτοὺς ποὺ τὰ ἔφερναν, ἐπειδὴ ἐνόμιζαν, ὅτι δὲν ἥρμοζεν εἰς τὸν Χριστὸν νὰ τὸν ἀπασχολοῦν διὰ μικρὰ παιδιά.

3-12) Μτ. ε΄ 31. 32. ιθ΄ 3 - 9.

14 ἰδὼν δὲ ὁ Ἰησοῦς ἠγανάκτησε καὶ εἶπεν αὐτοῖς· ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ.

14 Ὅταν ὅμως εἶδεν αὐτὸ ὁ Ἰησοῦς, ἠγανάκτησε καὶ εἶπε πρὸς τοὺς μαθητάς· Ἀφήσατε τὰ παιδία νὰ ἔρχωνται πλησίον μου καὶ μὴ τὰ ἐμποδίζετε· διότι δι᾽ αὐτούς, ποὺ θὰ γίνουν σὰν αὐτὰ καὶ θὰ ἀποκτήσουν παιδικὴν καρδίαν καὶ διάθεσιν, εἶναι ἡ βασιλεία τοῦ Θεοῦ.

15 ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.

15 Ἀληθῶς σᾶς λέγω· ἐκεῖνος ποὺ δὲν θὰ δεχθῇ τὸν λόγον καὶ τὸ κήρυγμα τῆς βασιλείας τοῦ Θεοῦ μὲ ἀφέλειαν καὶ ἐμπιστοσύνην καὶ ταπείνωσιν σὰν αὐτήν, ποὺ δεικνύουν τὰ παιδιὰ εἰς τοὺς γονεῖς καὶ διδασκάλους των, δὲν θὰ εἰσέλθῃ εἰς αὐτήν.

16 καὶ ἐναγκαλισάμενος αὐτὰ κατηυλόγει τιθεὶς τὰς χεῖρας ἐπ᾽ αὐτά.

16 Καὶ ἀφοῦ ἐπῆρεν αὐτὰ εἰς τὰς ἀγκάλας του, ἔθετε τὰς χεῖρας του ἐπάνω των καὶ τὰ εὐλόγει μὲ ὅλην τὴν στοργήν του.

Στίχ. 17-31. Ὁ πλούσιος νεανίσκος καὶ ἡ αἰώνιος ζωή.

17 Καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδὸν προσδραμὼν εἷς καὶ γονυπετήσας αὐτὸν ἐπηρώτα αὐτόν· διδάσκαλε ἀγαθέ, τί ποιήσω ἵνα ζωὴν αἰώνιον κληρονομήσω;

17 Καὶ ἐνῷ ἔβγαινεν ὁ Ἰησοῦς ἀπὸ τὸ σπίτι εἰς τὸν δρόμον, ἔτρεξε πρὸς αὐτὸν ἕνας καὶ ἀφοῦ ἐγονάτισεν ἐμπρός του, τὸν ἠρώτα· Διδάσκαλε ἀγαθέ, τί νὰ κάμω διὰ νὰ κληρονομήσω ζωὴν αἰώνιον;

18 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰμὴ εἷς ὁ Θεός.

18 Ὁ δὲ Ἰησοῦς τοῦ εἶπεν· Ἀφοῦ ἀπευθύνεσαι πρὸς ἐμὲ μὲ τὴν ἰδέαν ὅτι εἶμαι ἄνθρωπος ἁπλοῦς, διατί μὲ ἀποκαλεῖς ἀγαθόν; Κανεὶς δὲν εἶναι καθ᾽ αὐτὸ καὶ ἐξ ἑαυτοῦ ἀγαθὸς παρὰ μόνον ἕνας, ὁ Θεός.

19 τὰς ἐντολὰς οἶδας· ***μὴ μοιχεύσῃς, μὴ φονεύσῃς, μὴ κλέψῃς, μὴ ψευδομαρτυρήσῃς,*** *μὴ ἀποστερήσῃς,* ***τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα.***

19 Γνωρίζεις τὰς ἐντολάς· Νὰ μὴ μοιχεύσῃς, νὰ μὴ φονεύσῃς, νὰ μὴ κλέψῃς, νὰ μὴ ψευδομαρτυρήσῃς, νὰ μὴ στερήσῃς τὸν ἄλλον ἀπὸ ἐκεῖνο, ποὺ τοῦ ἀνήκει, νὰ τιμᾷς τὸν πατέρα σου καὶ τὴν μητέρα σου.

20 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· διδάσκαλε, ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου.

20 Αὐτὸς δὲ ἀπεκρίθη καὶ τοῦ εἶπε· Διδάσκαλε, ὅλα αὐτὰ τὰ ἐφύλαξα ἀπὸ τὰ χρόνια ποὺ ἤμην νέος.

21 ὁ δὲ Ἰησοῦς ἐμβλέψας αὐτῷ ἠγάπησεν αὐτὸν καὶ εἶπεν αὐτῷ· ἕν σε ὑστερεῖ· εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, ὅσα ἔχεις πώλησον καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι, ἄρας τὸν σταυρόν σου.

21 Ὁ δὲ Ἰησοῦς ἀφοῦ τὸν παρετήρησε μὲ πολὺ ἐνδιαφέρον, τὸν συνεπάθησε καὶ τοῦ εἶπεν· Ἕνα σοῦ λείπει· ἐὰν θέλῃς νὰ εἶσαι τέλειος, πήγαινε καὶ πώλησε ὅσα ἔχεις καὶ δός τα εἰς τοὺς πτωχούς, καὶ θὰ ἔχῃς θησαυρὸν καὶ πλούτη εἰς τὸν οὐρανὸν καὶ ἔλα νὰ μὲ ἀκολουθήσῃς, ἀφοῦ λάβῃς τὴν ἀπόφασιν νὰ ὑποστῇς ἀκόμη καὶ σταυρικὸν θάνατον διὰ τὴν ἐμμονήν εἰς τὸ καθῆκον.

13-16) Λκ. β΄ 28. ιη΄ 15 - 17. Μτ. ιθ΄ 13 - 15. 17-19) Ἐξ. κα΄ 10. Δτ. κδ΄ 14. Σρ. δ΄ 1. Λκ. ιη΄ 18 - 20. Μτ. ιθ΄ 16 - 19. 20-27) Πρμ. ια΄ 28. Ψ. κβ΄ 1. να΄ 9. Λκ. ιη΄ 21 - 27. Μτ. ιθ΄ 20 - 26. 1 Τμ. ς΄ 17.

22 ὁ δὲ στυγνάσας ἐπὶ τῷ λόγῳ ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά.

23 καὶ περιβλεψάμενος ὁ Ἰησοῦς λέγει τοῖς μαθηταῖς αὐτοῦ· πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελεύσονται!

24 οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ. ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς λέγει αὐτοῖς· τέκνα, πῶς δύσκολόν ἐστι τοὺς πεποιθότας ἐπὶ χρήμασιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν·

25 εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν.

26 οἱ δὲ περισσῶς ἐξεπλήσσοντο λέγοντες πρὸς ἑαυτούς· καὶ τίς δύναται σωθῆναι;

27 ἐμβλέψας αὐτοῖς ὁ Ἰησοῦς λέγει· παρὰ ἀνθρώποις ἀδύνατον, ἀλλ' οὐ παρὰ Θεῷ· πάντα γὰρ δυνατά ἐστι παρὰ τῷ Θεῷ.

28 Ἤρξατο ὁ Πέτρος λέγειν αὐτῷ· ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι.

29 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς ἕνεκεν ἐμοῦ καὶ ἕνεκεν τοῦ εὐαγγελίου,

30 ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα νῦν ἐν τῷ καιρῷ τούτῳ οἰκίας καὶ ἀδελφοὺς καὶ ἀδελφὰς καὶ πατέρα

22 Αὐτὸς ὅμως ἐσκυθρώπασε διὰ τὸν λόγον αὐτὸν ποὺ ἤκουσε, καὶ ἔφυγε λυπημένος· διότι εἶχε πολλὰ κτήματα καὶ ἡ καρδιά του ἦτο δεμένη εἰς αὐτά, δι' αὐτὸ δὲ τοῦ ἐφάνη βαρὺ καὶ ἀδύνατον τὸ πρᾶγμα.

23 Καὶ ὁ Ἰησοῦς ἀφοῦ ἐκύτταξε τριγύρω του διὰ νὰ διεγείρῃ τὴν προσοχὴν ἐκείνων, ποὺ εὑρίσκοντο ἐκεῖ, λέγει εἰς τοὺς μαθητάς του· Πόσον δύσκολα αὐτοί, ποὺ ἔχουν τὰ χρήματα, θὰ ἔμβουν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ!

24 Οἱ δὲ μαθηταὶ ἔμεναν κατάπληκτοι διὰ τοὺς λόγους αὐτούς. Ἀλλ' ὁ Ἰησοῦς ἔλαβε πάλιν τὸν λόγον καὶ τοὺς εἶπε· Παιδιά μου, πόσον δύσκολον εἶναι νὰ ἔμβῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ ἐκεῖνος, ποὺ ἔχει στηρίξει τὴν πεποίθησίν του εἰς τὰ χρήματα καὶ ἀπὸ αὐτὰ μόνα ἐξαρτᾷ τὴν συντήρησίν του καὶ τὴν εὐδαιμονίαν του.

25 Εἶναι εὐκολώτερον μία γκαμήλα νὰ περάσῃ ἀπὸ τὴν μικρὰν τρύπαν, ποὺ ἀνοίγει ἡ βελόνα, παρὰ ἕνας πλούσιος νὰ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

26 Αὐτοὶ δὲ ὑπερβολικὰ ἠπόρουν καὶ ἐθαύμαζαν καὶ ἔλεγαν μεταξύ τους· Καὶ ποῖος ἠμπορεῖ νὰ σωθῇ, ἀφοῦ εἶναι μέχρι τοῦ ἀδυνάτου δύσκολον νὰ σωθοῦν οἱ πλούσιοι;

27 Ἀφοῦ δὲ τοὺς ἐκύτταξεν ἐκφραστικὰ ὁ Ἰησοῦς εἶπεν· Εἰς τοὺς ἀνθρώπους τοῦτο εἶναι ἀδύνατον, ἀλλ' ὄχι καὶ εἰς τὸν Θεόν· διότι εἰς τὸν Θεὸν εἶναι ὅλα δυνατὰ καὶ ἀφοῦ διὰ τῆς χάριτός του ἐνισχύει τοὺς καλοδιαθέτους πλουσίους, καθιστᾷ λοιπὸν καὶ εἰς αὐτοὺς δυνατὴν τὴν σωτηρίαν.

28 Καὶ ὁ Πέτρος ἐξ ἀφορμῆς τῆς προτροπῆς τοῦ Ἰησοῦ πρὸς τὸν πλούσιον ἤρχισε νὰ τοῦ λέγῃ· Ἰδού, ἡμεῖς ἔχομεν ἀφήσει ὅλα καὶ σὲ ἠκολουθήσαμεν.

29 Ἀπεκρίθη δὲ ὁ Ἰησοῦς καὶ εἶπεν· Ἀληθῶς σᾶς λέγω, ὅτι δὲν ὑπάρχει κανείς, ποὺ ἀφῆκε σπίτι ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγρούς, ἐπειδὴ τοῦ ἐγίνοντο ἐμπόδιον καὶ πολέμιοι εἰς τὴν πίστιν πρὸς ἐμὲ καὶ εἰς τὴν ὑπακοὴν εἰς τὸ εὐαγγέλιόν μου,

30 ποὺ νὰ μὴ λάβῃ ἑκατονταπλάσια, τώρα εἰς τὸν καιρὸν τοῦτον τῆς παρούσης ζωῆς. Θὰ λάβῃ αὐτὸς καὶ οἰκίας καὶ ἀδελφοὺς πνευματικοὺς καὶ ἀδελφὰς ἐν Χριστῷ καὶ πατέρα καὶ μητέρα καὶ τέκνα πνευματικὰ καὶ ἀγρούς, ὅλα δὲ αὐτὰ ἐν μέσῳ

28-30) Λκ. ιη' 28 - 30. Μτ. ιθ' 27 - 29.

καὶ μητέρα καὶ τέκνα καὶ ἀγροὺς μετὰ διωγμῶν, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.

31 πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι καὶ ἔσχατοι πρῶτοι.

διωγμῶν, τοὺς ὁποίους θὰ ὑφίσταται δι' ἐμὲ καὶ διὰ τοὺς ὁποίους οἱ εὐσεβεῖς θὰ τὸν συμπαθοῦν καὶ θὰ τὸν τιμοῦν περισσότερον. Εἰς τὸν αἰῶνα δὲ ποὺ μέλλει νὰ ἔλθῃ, θὰ λάβῃ ἀσφαλῶς οὗτος καὶ ζωὴν αἰώνιον.

31 Πολλοὶ δέ, ποὺ εἶναι εἰς τὸν κόσμον αὐτὸν πρῶτοι, θὰ εἶναι ἐκεῖ τελευταῖοι, καὶ οἱ τελευταῖοι καὶ ἄσημοι, ποὺ καταδιώκονται καὶ ἀτιμάζονται δι' ἐμέ, θὰ εἶναι πρῶτοι.

Στίχ. 32-45. Ἡ φιλοδοξία δύο μαθητῶν.

32 Ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἱεροσόλυμα· καὶ ἦν προάγων αὐτοὺς ὁ Ἰησοῦς, καὶ ἐθαμβοῦντο, καὶ ἀκολουθοῦντες ἐφοβοῦντο. καὶ παραλαβὼν πάλιν τοὺς δώδεκα ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν,

33 ὅτι ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσι,

34 καὶ ἐμπαίξουσιν αὐτῷ καὶ μαστιγώσουσιν αὐτὸν καὶ ἐμπτύσουσιν αὐτῷ καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

35 Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης υἱοὶ Ζεβεδαίου λέγοντες· διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν ποιήσῃς ἡμῖν.

36 ὁ δὲ εἶπεν αὐτοῖς· τί θέλετε ποιῆσαί με ὑμῖν;

37 οἱ δὲ εἶπον αὐτῷ· δὸς ἡμῖν ἵνα εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων σου καθίσωμεν ἐν τῇ δόξῃ σου.

38 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτή-

32 Ἐπροχώρουν δὲ καὶ ἀνέβαιναν εἰς τὸν δρόμον πρὸς τὰ Ἱεροσόλυμα. Καὶ ἐπροπορεύετο ἀπὸ αὐτοὺς ὁ Ἰησοῦς καὶ ἐθάμβωναν ἀπὸ θαυμασμὸν οἱ μαθηταί, ποὺ τὸν ἔβλεπαν τόσον ἄφοβα καὶ μὲ τόσον θαρραλέαν ἀπόφασιν νὰ προχωρῇ πρὸς τὴν πόλιν, ὅπου ἐπρόκειτο νὰ πάθῃ τόσα. Καὶ ἐνῷ ἀπὸ σεβασμὸν τὸν ἠκολούθουν, ἐφοβοῦντο διὰ τὰ ὅσα θὰ τοὺς εὕρισκον εἰς Ἱεροσόλυμα. Καὶ ἀφοῦ ἐπῆρεν ἰδιαιτέρως τοὺς δώδεκα, ἤρχισε νὰ τοὺς λέγῃ ἐκεῖνα, ποὺ ἔμελλον νὰ τοῦ συμβαίνουν.

33 Τοὺς ἔλεγε δηλαδή, ὅτι ἰδοὺ ἀναβαίνομεν εἰς τὰ Ἱεροσόλυμα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ Μεσσίας, θὰ παραδοθῇ εἰς τοὺς ἀρχιερεῖς καὶ εἰς τοὺς γραμματεῖς καὶ θὰ τὸν καταδικάσουν εἰς θάνατον καὶ θὰ τὸν παραδώσουν εἰς τοὺς ἐθνικοὺς στρατιώτας τῆς Ρώμης.

34 Καὶ αὐτοὶ θὰ τὸν ἐμπαίξουν καὶ θὰ τὸν μαστιγώσουν καὶ θὰ τὸν ἐμπτύσουν καὶ θὰ τὸν φονεύσουν καὶ τὴν τρίτην ἡμέραν ἀπὸ τοῦ θανάτου του θὰ ἀναστηθῇ.

35 Καὶ πηγαίνουν πρὸς αὐτὸν ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης, οἱ υἱοὶ τοῦ Ζεβεδαίου καὶ λέγουν· Διδάσκαλε, θέλομεν νὰ μᾶς κάμῃς ἐκεῖνο, ποὺ θὰ σοῦ ζητήσωμεν.

36 Αὐτὸς δὲ τοὺς εἶπε· Τί θέλετε νὰ σᾶς κάμω;

37 Αὐτοὶ δὲ τοῦ εἶπαν· Δός μας, ὅταν ἔλθῃς εἰς τὴν δόξαν σου καὶ θὰ ἀναβῇς εἰς τὸν ἐπίγειον βασιλικὸν θρόνον τοῦ Δαβίδ, νὰ καθίσωμεν ὁ ἕνας ἀπὸ τὰ δεξιά σου καὶ ὁ ἄλλος ἀπὸ τὰ ἀριστερά σου.

38 Ὁ δὲ Ἰησοῦς τοὺς εἶπε· Δὲν ξεύρετε, τί ζητᾶτε. Δὲν εἶναι τώρα καιρὸς κοσμικῶν μεγαλείων καὶ ἀξιωμάτων, ἀλλὰ κόπων καὶ διωγμῶν καὶ θανάτου μαρτυρικοῦ. Μπορεῖτε λοιπὸν νὰ

31) Λκ. ιγ' 30. Μτ. ιθ' 30. 32-34) Λκ. ιη' 31 - 33. Μτ. κ' (1 - 16) 17 - 19. 35-40) Μτ. κ' 20 - 24.

ριον ὃ ἐγὼ πίνω, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι;

πίετε τὸ ποτήριον τοῦ θανάτου, ποὺ πρόκειται ἐγὼ μετ' ὀλίγον νὰ πίω, καὶ νὰ βαπτισθῆτε τὸ βάπτισμα τοῦ μαρτυρίου, ποὺ μετ' ὀλίγον θὰ ὑποστῶ;

39 οἱ δὲ εἶπον αὐτῷ· δυνάμεθα. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε·

39 Αὐτοὶ δὲ θέλοντες νὰ ἐξασφαλίσουν τὸ αἴτημά των τοῦ εἶπαν, χωρὶς νὰ τὸ σκεφθοῦν καλῶς· Δυνάμεθα. Ὁ δὲ Ἰησοῦς τοὺς εἶπε· Τὸ μὲν ποτήριον τοῦ μαρτυρίου, τὸ ὁποῖον ἐγὼ ἐντὸς ὀλίγου πίνω, θὰ τὸ πίετε, καὶ τὸ βάπτισμα, τὸ ὁποῖον μετ' ὀλίγον θὰ βαπτισθῶ εἰς τὴν θάλασσαν τῶν παθημάτων μου, θὰ βαπτισθῆτε. Διότι καὶ σεῖς θὰ ὑποστῆτε διωγμοὺς καὶ μαρτύριον διὰ τὸ εὐαγγέλιον.

40 τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται.

40 Τὸ νὰ καθίσετε ὅμως εἰς τὰ δεξιά μου καὶ εἰς τὰ ἀριστερά μου, δὲν ἐξαρτᾶται ἀπὸ ἐμὲ νὰ τὸ δώσω εἰς ὅποιον μοῦ τὸ ζητήση, ἀλλὰ θὰ δοθῇ τοῦτο εἰς ἐκείνους, εἰς τοὺς ὁποίους ἔχει ἑτοιμασθῆ ἀπὸ τὸν δικαιοκρίτην Πατέρα μου, ποὺ κανονίζει τὰς ἀνταμοιβὰς σύμφωνα μὲ τὴν ἀρετὴν ἑκάστου.

41 καὶ ἀκούσαντες οἱ δέκα ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου.

41 Καὶ ὅταν ἤκουσαν αὐτὸ οἱ ἄλλοι δέκα μαθηταί, ἤρχισαν νὰ ἀγανακτοῦν διὰ τὴν συμπεριφορὰν αὐτὴν τοῦ Ἰακώβου καὶ τοῦ Ἰωάννου, οἱ ὁποῖοι ἐζήτουν νὰ τοὺς παραγκωνίσουν καὶ νὰ τιμηθοῦν περισσότερον ἀπὸ αὐτούς.

42 ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς λέγει αὐτοῖς· οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν·

42 Ὁ Ἰησοῦς δέ, ἀφοῦ τοὺς προσεκάλεσε, τοὺς εἶπε· Γνωρίζετε, ὅτι αὐτοὶ ποὺ νομίζονται καὶ φαίνονται ἄρχοντες τῶν ἐθνῶν, συμπεριφέρονται πρὸς τοὺς λαούς των, ὡς νὰ ἦσαν ἀνεξέλεγκτοι κύριοί των καὶ ὡς νὰ ἦσαν οἱ λαοὶ κτήματά των. Καὶ ἐκεῖνοι ποὺ ἔχουν μέγα ἀξίωμα, ὅπως εἶναι οἱ ἀνθύπατοι, τοὺς μεταχειρίζονται μὲ μεγάλην ἐξουσίαν, σὰν νὰ εἶναι δοῦλοι τους.

43 οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν, ἀλλ' ὃς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται ὑμῶν διάκονος,

43 Μεταξύ σας ὅμως δὲν ἠμπορεῖ οὔτε ἐπιτρέπεται νὰ γίνεται ἔτσι. Ἀλλ' ὁποιοσδήποτε θέλει νὰ γίνῃ μεγάλος μεταξύ σας, ἂς εἶναι ὑπηρέτης σας καὶ ἂς σπουδάζῃ νὰ γίνεται ἐξυπηρετικὸς εἰς τοὺς ἄλλους.

44 καὶ ὃς ἐὰν θέλῃ ὑμῶν γενέσθαι πρῶτος, ἔσται πάντων δοῦλος·

44 Καὶ ὁποιοσδήποτε θέλει νὰ γίνῃ πρῶτος ἀπὸ σᾶς, ὀφείλει νὰ γίνῃ δοῦλος ὅλων, ἀσκῶν μὲ πᾶσαν ταπεινοφροσύνην τὴν ἀγάπην.

45 καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

45 Διότι καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ Μεσσίας, δὲν ἦλθεν εἰς τὸν κόσμον διὰ νὰ ὑπηρετηθῇ, ἀλλ' ἦλθε διὰ νὰ ὑπηρετήσῃ καὶ δώσῃ τὴν ζωήν του λύτρον, ὅπως ἐξαγορασθοῦν καὶ ἐλευθερωθοῦν ἀπὸ τὴν ἁμαρτίαν καὶ τὸν θάνατον πολλοί.

Στίχ. 46-52. Θεραπεία τοῦ τυφλοῦ τῆς Ἰεριχοῦς.

46 Καὶ ἔρχονται εἰς Ἰεριχώ. καὶ ἐκπορευομένου αὐτοῦ ἀπὸ Ἰεριχὼ καὶ τῶν μαθητῶν αὐτοῦ καὶ ὄχλου ἱκανοῦ, ὁ υἱὸς Τιμαίου Βαρτίμαιος τυφλὸς ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν.

46 Καὶ ἔρχονται εἰς τὴν Ἰεριχώ. Καὶ τὴν ὥραν ποὺ ἔβγαιναν ἀπὸ τὴν Ἰεριχὼ αὐτὸς καὶ οἱ μαθηταί του καὶ λαὸς πολύς, ἐκάθητο πλησίον τοῦ δρόμου καὶ ἐζητιάνευεν ὁ τυφλὸς Βαρτίμαιος, ὁ υἱὸς τοῦ Τιμαίου.

41-45) Λκ. κβ' 24 - 27. Μτ. κ' 25 - 28. 46-52) Λκ. ιη' 35 - 43. Μτ. κ' 29 - 34.

47 καὶ ἀκούσας ὅτι Ἰησοῦς ὁ Ναζωραῖός ἐστιν, ἤρξατο κράζειν καὶ λέγειν· υἱὲ Δαυΐδ Ἰησοῦ, ἐλέησόν με.

47 Καὶ ὅταν ἤκουσεν, ὅτι ὁ Ἰησοῦς ὁ Ναζωραῖος ἦτο ἐκεῖ, ἤρχισε νὰ φωνάζῃ δυνατὰ καὶ νὰ λέγῃ· Ἰησοῦ, ἔνδοξε ἀπόγονε τοῦ Δαβίδ, ποὺ εἰς σὲ ἀναφέρονται ὅσα προεῖπον οἱ προφῆται, ἐλέησέ με.

48 καὶ ἐπετίμων αὐτῷ πολλοὶ ἵνα σιωπήσῃ· ὁ δὲ πολλῷ μᾶλλον ἔκραζεν· υἱὲ Δαυΐδ, ἐλέησόν με.

48 Καὶ τὸν ἐπέπληττον πολλοὶ καὶ τὸν ἠνάγκαζαν νὰ σιωπήσῃ. Αὐτὸς ὅμως πολὺ περισσότερον ἐφώναζεν· Ἀπόγονε τοῦ Δαβίδ, ἐλέησέ με.

49 καὶ στὰς ὁ Ἰησοῦς εἶπε· φωνήσατε αὐτόν· καὶ φωνοῦσι τὸν τυφλὸν λέγοντες αὐτῷ· θάρσει, ἔγειρε· φωνεῖ σε.

49 Καὶ ἀφοῦ διέκοψε τὴν πορείαν του ὁ Ἰησοῦς, εἶπε νὰ τὸν καλέσουν. Καὶ προσκαλοῦν τὸν τυφλὸν καὶ τοῦ λέγουν· Ἔχε θάρρος· σήκω, σὲ φωνάζει νὰ ὑπάγῃς ἐκεῖ.

50 ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον αὐτοῦ ἀναστὰς ἦλθε πρὸς τὸν Ἰησοῦν.

50 Αὐτὸς δὲ ἀφοῦ ἐπέταξε τὸ ἐξωτερικόν του ἔνδυμα, διὰ νὰ μὴ τὸν ἐμποδίζῃ εἰς τὸ τρέξιμόν του, ἐσηκώθη καὶ ἦλθε πλησίον τοῦ Ἰησοῦ.

51 καὶ ἀποκριθεὶς λέγει αὐτῷ ὁ Ἰησοῦς· τί σοι θέλεις ποιήσω; ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ· ῥαββουνί, ἵνα ἀναβλέψω.

51 Καὶ ὁ Ἰησοῦς ἀπεκρίθη καὶ τοῦ εἶπε· Τί θέλεις νὰ σοῦ κάμω; Ὁ δὲ τυφλὸς εἶπε πρὸς αὐτόν· Διδάσκαλε, θέλω νὰ ἀποκτήσω πάλιν τὸ φῶς μου καὶ νὰ ξαναϊδῶ.

52 καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· ὕπαγε, ἡ πίστις σου σέσωκέ σε. καὶ εὐθέως ἀνέβλεψε, καὶ ἠκολούθει τῷ Ἰησοῦ ἐν τῇ ὁδῷ.

52 Ὁ δὲ Ἰησοῦς τοῦ εἶπε· Πήγαινε· ἡ πίστις, ποὺ ἔχεις, ὅτι ἐγὼ δύναμαι νὰ σοῦ δώσω τὸ φῶς τῶν ματιῶν σου, σὲ ἔσωσεν ἀπὸ τὴν ἀθεράπευτον τύφλωσίν σου. Καὶ ἀμέσως ἀπέκτησε πάλιν τὸ φῶς του καὶ γεμᾶτος εὐγνωμοσύνην ἠκολούθει τὸν Ἰησοῦν εἰς τὸν δρόμον, ποὺ ἐβάδιζε πηγαίνων εἰς τὰ Ἱεροσόλυμα.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Στίχ. 1-11. Ἡ θριαμβευτικὴ εἴσοδος τοῦ Κυρίου εἰς Ἱεροσόλυμα.

Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἱερουσαλὴμ εἰς Βηθσφαγὴ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ

11 σεισμοί τε μεγάλοι κατὰ τόπους καὶ λιμοὶ καὶ λοιμοὶ ἔσονται, φόβητρά τε καὶ σημεῖα ἀπ' οὐρανοῦ μεγάλα ἔσται.

11 Καὶ θὰ γίνουν σεισμοὶ μεγάλοι ἐδῶ καὶ ἐκεῖ, καὶ πεῖνες καὶ ἐπιδημίαι μολυσματικαὶ καὶ φαινόμενα, ποὺ θὰ προκαλοῦν φόβον, καὶ σημεῖα ἀπὸ τὸν ἔναστρον οὐρανὸν μεγάλα.

12 πρὸ δὲ τούτων πάντων ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου·

12 Ἀλλὰ προτοῦ νὰ γίνουν ὅλα αὐτά, θὰ βάλουν τὰ χέρια τους ἐπάνω σας διὰ νὰ σᾶς συλλάβουν καὶ θὰ σᾶς καταδιώξουν, καὶ θὰ σᾶς παραδίδουν εἰς συναγωγὰς διὰ νὰ σᾶς δικάσουν, καὶ εἰς φυλακάς, καὶ θὰ ὁδηγῆσθε ἐνώπιον βασιλέων καὶ ἡγεμόνων, ἐπειδὴ θὰ πιστεύετε εἰς τὸ ὄνομά μου καὶ θὰ μὲ ὁμολογῆτε Κύριόν σας καὶ Σωτῆρα σας.

13 ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον.

13 Ὅλαι δὲ αἱ καταδιώξεις καὶ περιπέτειαι αὐταὶ θὰ ἔχουν ὡς τελικὴν ἔκβασιν καὶ ἀποτέλεσμα τὴν μαρτυρίαν, τὴν ὁποίαν θὰ δώσετε διὰ τὸ εὐαγγέλιόν μου, διὰ νὰ εἶναι ἡ μαρτυρία αὐτὴ ἔλεγχος κατὰ τῶν ἀπίστων, οἱ ὁποῖοι δὲν θὰ δύνανται νὰ δικαιολογηθοῦν κατὰ τὴν ἡμέραν τῆς κρίσεως, ὅτι δὲν ἤκουσαν κήρυγμα εὐαγγελίου.

14 θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι·

14 Βάλετε λοιπὸν βαθειὰ εἰς τὰς καρδίας σας, ὥστε νὰ ἐνθυμῆσθε πάντοτε τὴν σύστασιν αὐτὴν καὶ παραγγελίαν, ποὺ σᾶς κάνω τὴν στιγμὴν αὐτήν, νὰ μὴ προμελετᾶτε καὶ νὰ μὴ σκέπτεσθε ἐκ προτέρου, τί θὰ ἀπολογηθῆτε.

15 ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν.

15 Διότι ἐγὼ θὰ σᾶς δώσω εὐκολίαν καὶ ἱκανότητα νὰ ἐκφράζεσθε, ἀλλὰ καὶ σοφίαν νοημάτων καὶ ἐπιχειρημάτων, εἰς τὴν ὁποίαν κατ' οὐδένα λόγον θὰ ἠμπορέσουν νὰ ἀντείπουν ἢ νὰ ἀντισταθοῦν ὅλοι οἱ ἀντίθετοί σας.

[14-19]) Ἡσ. νδ΄ 17. Λκ. ιβ΄ 7. 11. 12. Μρ. ιγ΄ 11 - 13. Μτ. ι΄ 19 - 22. 30.

16 παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν καὶ φίλων καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν,

16 Θὰ παραδοθῆτε δὲ εἰς τοὺς διώκτας σας ὄχι μόνον ἀπὸ ξένους, ἀλλὰ καὶ ἀπὸ γονεῖς καὶ ἀδελφοὺς καὶ συγγενεῖς καὶ φίλους καὶ θὰ θανατώσουν μερικοὺς ἀπὸ σᾶς.

17 καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου·

17 Καὶ θὰ σᾶς μισοῦν ὅλοι, ἐπειδὴ θὰ πιστεύετε εἰς τὸ ὄνομά μου.

18 καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται·

18 Καὶ παρ' ὅλους τοὺς διωγμοὺς καὶ τὰ μίση αὐτά, οὔτε τρίχα ἀπὸ τὴν κεφαλήν σας δὲν θὰ χαθῇ, καὶ συνεπῶς οὔτε ἡ ψυχή σας, ἥτις εἶναι ἡ καθ' αὐτὸ προσωπικότης σας, θὰ βλαβῇ εἰς τὸ παραμικρόν, ἀλλ' οὔτε καὶ εἰς τὸ σῶμα σας θὰ συμβῇ ἡ παραμικρὰ βλάβη, χωρὶς ὁ Θεὸς ἀποβλέπων εἰς τὴν πραγματικὴν ὠφέλειάν σας νὰ ἐπιτρέψῃ τοῦτο.

19 ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

19 Μὲ τὴν ὑπομονήν σας κερδήσατε καὶ σώσατε τὰς ψυχάς σας ἀπὸ τὸν κίνδυνον τῆς ἀπιστίας καὶ τῆς αἰωνίας ἀπωλείας.

20 ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλήμ, τότε γνῶτε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς.

20 Σχετικῶς δὲ μὲ τὴν καταστροφὴν τῶν κτιρίων αὐτῶν, ποὺ σᾶς εἶπα εἰς τὴν ἀρχήν, μάθετε, ὅτι ὅταν ἴδετε νὰ περικυκλώνεται ἡ Ἱερουσαλὴμ ἀπὸ στρατεύματα, τότε νὰ ξεύρετε, ὅτι ἐπλησίασεν ἡ ἐρήμωσίς της.

21 τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, καὶ οἱ ἐν μέσῳ αὐτῆς ἐκχωρείτωσαν, καὶ οἱ ἐν ταῖς χώραις μὴ εἰσερχέσθωσαν εἰς αὐτήν,

21 Τότε αὐτοί, ποὺ θὰ εὑρίσκωνται εἰς τὴν Ἰουδαίαν, ἂς φεύγουν εἰς τὰ ὄρη, καὶ ἐκεῖνοι, ποὺ θὰ εὑρίσκωνται ἐν μέσῳ τῆς πόλεως Ἱερουσαλήμ, ἂς φεύγουν ἔξω εἰς τὴν ὕπαιθρον χώραν, καὶ ὅσοι θὰ εἶναι εἰς τὰ χωράφια, ἂς μὴ ἐμβαίνουν εἰς τὴν πόλιν.

22 ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσι τοῦ πληρωθῆναι πάντα τὰ γεγραμμένα.

22 Διότι αἱ ἡμέραι αὐται εἶναι ἡμέραι θείας ἐκδικήσεως καὶ τιμωρίας, διὰ νὰ ἐπαληθεύσουν καὶ πραγματοποιηθοῦν ὅλα ὅσα ἔχουν γραφῆ ἀπὸ τοὺς προφήτας περὶ καταστροφῆς τοῦ Ἰσραὴλ καὶ τῆς πρωτευούσης αὐτοῦ.

23 οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις· ἔσται γὰρ τότε ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς καὶ ὀργὴ τῷ λαῷ τούτῳ,

23 Ἀλλοίμονον δὲ εἰς τὰς ἐγκύους καὶ εἰς ἐκείνας, ποὺ θὰ θηλάζουν μικρὰ παιδιὰ κατὰ τὰς ἡμέρας ἐκείνας. Διότι θὰ εἶναι δυστυχία καὶ στέρησις μεγάλη ἐπὶ τῆς γῆς καὶ θὰ εἶναι ὀργὴ κατὰ τοῦ λαοῦ τούτου τοῦ Ἰσραηλιτικοῦ. Αἱ ἔγκυοι λοιπὸν καὶ αἱ θηλάζουσαι, ἐνῷ θὰ δυσκολεύωνται νὰ τρέξουν καὶ νὰ σωθοῦν, δὲν θὰ εὑρίσκουν εὔκολα καὶ τὰ μέσα πρὸς στηριγμὸν καὶ ἐνδυνάμωσιν τοῦ ὀργανισμοῦ των.

24 καὶ πεσοῦνται στόματι μαχαίρας, καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη, καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν ἄχρι πληρωθῶσι καιροὶ ἐθνῶν.

24 Καὶ θὰ πέσουν σφαζόμενοι μὲ τὴν κόψιν τῆς μαχαίρας καὶ θὰ μεταφερθοῦν αἰχμάλωτοι πρὸς πώλησιν εἰς ὅλα τὰ ἔθνη, καὶ ἡ Ἱερουσαλὴμ θὰ ἐξακολουθῇ νὰ καταπατῆται ἀπὸ ἐθνικούς, μέχρις ὅτου συμπληρωθοῦν οἱ χρόνοι τῆς ὀργῆς τοῦ Θεοῦ ἐναντίον τοῦ Ἰσραήλ, κατὰ τοὺς ὁποίους τὰ ἔθνη θὰ κατέχουν ἀποκλειστικῶς τὰ προνόμιά του, ὁπότε μετὰ τὴν ἐπιστροφὴν εἰς Χριστὸν ὅλων τῶν ἐθνῶν καὶ ὁ Ἰσραὴλ θὰ ἐπιστραφῇ καὶ θὰ σωθῇ.

[20-24]) Λκ. κγ΄ 29. Μρ. ιγ΄ 14 - 17. Μτ. κδ΄ 15 - 19. Ῥμ. ια΄ 25.

Στίχ. 25-38. Ἡ δευτέρα παρουσία.

25 Καὶ ἔσται σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις, καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ ἠχούσης θαλάσσης καὶ σάλου,

25 Ἀκούσατε τώρα καὶ τὰ σημεῖα τῆς δευτέρας παρουσίας καὶ τῆς συντελείας τοῦ παρόντος κόσμου. Θὰ γίνουν ἔκτακτα καὶ πρωτοφανῆ φαινόμενα εἰς τὸν ἥλιον καὶ εἰς τὴν σελήνην καὶ εἰς τὰ ἄστρα λόγῳ τῶν βιαίων καὶ ριζικῶν μεταβολῶν, αἱ ὁποῖαι θὰ γίνουν εἰς τὸ ὑλικὸν σύμπαν. Καὶ ἐπὶ τῆς γῆς μεγάλη στενοχωρία καὶ ἀδημονία θὰ καταλάβῃ τὰ ἔθνη, τὰ ὁποῖα λόγῳ τοῦ ἤχου καὶ τοῦ θορύβου τῶν βιαίων κυμάτων τῆς θαλάσσης, τὰ ὁποῖα θὰ ὁρμοῦν διὰ νὰ καταπλημμυρίσουν τὴν γῆν, θὰ κυριευθοῦν ἀπὸ μεγάλην ἀπορίαν καὶ ἀμηχανίαν, ἐπειδὴ δὲν θὰ ξεύρουν, πῶς νὰ προφυλαχθοῦν.

26 ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ· αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται.

26 Καὶ θὰ λιποθυμοῦν καὶ θὰ χάνουν τὰς αἰσθήσεις των καὶ θὰ γίνωνται σὰν νεκροὶ πολλοὶ ἄνθρωποι ἀπὸ τὸν φόβον των καὶ ἀπὸ τὰ κακά, ποὺ θὰ περιμένουν νὰ καταπλακώσουν τὴν Οἰκουμένην. Πράγματι δὲ τὰ κακὰ αὐτὰ θὰ εἶναι μεγάλα, διότι αἱ οὐράνιαι καὶ ἀγγελικαὶ δυνάμεις, αἱ συγκρατοῦσαι ἤδη τὴν τάξιν τοῦ σύμπαντος, θὰ σαλευθοῦν καὶ θὰ μετακινηθοῦν, ἐπειδὴ ἡ παροῦσα μορφὴ τοῦ κόσμου θὰ παρέλθῃ, ἵνα τὸ σύμπαν ἀνακαινισθῇ.

27 καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

27 Καὶ τότε οἱ κατὰ τὴν ἐποχὴν ἐκείνην ζῶντες θὰ ἴδουν τὸν υἱὸν τοῦ ἀνθρώπου νὰ ἔρχεται καθισμένος θεοπρεπῶς εἰς σύννεφον καὶ μὲ δύναμιν καὶ συνοδείαν ἀγγέλων καὶ μὲ δόξαν πολλήν.

28 ἀρχομένων δὲ τούτων γίνεσθαι ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν, διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν.

28 Ὅταν δὲ θὰ ἀρχίσουν νὰ γίνωνται αὐτά, σεῖς, τὸ σῶμα τῆς Ἐκκλησίας μου, δὲν πρέπει νὰ φοβηθῆτε, ἀλλὰ πεταχθῆτε ἐπάνω γεμᾶτοι ἐλπίδα καὶ σηκώσατε τὰς κεφαλάς σας, ποὺ ἕως τότε θὰ εἶναι σκυμμέναι λόγῳ τῶν θλίψεων, ποὺ θὰ σᾶς εὕρουν. Ἀναθαρρήσατε, διότι πλησιάζει ἡ ἀπολύτρωσις καὶ τελεία ἀπαλλαγή σας ἀπὸ τὰ δεινὰ τοῦ παρόντος βίου.

29 Καὶ εἶπε παραβολὴν αὐτοῖς· ἴδετε τὴν συκῆν καὶ πάντα τὰ δένδρα.

29 Καὶ μετὰ μικρὰν διακοπὴν εἶπεν εἰς αὐτοὺς κάποιαν παραβολὴν καὶ παρομοίωσιν· Ἴδετε τὴν συκῆν καὶ ὅλα τὰ δένδρα.

30 ὅταν προβάλωσιν ἤδη, βλέποντες ἀφ' ἑαυτῶν γινώσκετε ὅτι ἤδη ἐγγὺς τὸ θέρος ἐστίν.

30 Ὅταν βγάζουν φύλλα καὶ ἄνθη, τότε βλέποντες σεῖς αὐτὰ γνωρίζετε μόνοι σας, ὅτι πλησιάζει πλέον τὸ θέρος.

31 οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ.

31 Ἔτσι καὶ σεῖς, ὅταν ἴδετε νὰ γίνωνται αὐτὰ ποὺ σᾶς ἀνέφερα, νὰ ξεύρετε, ὅτι πλησιάζει νὰ ἔλθῃ ἡ βασιλεία τοῦ Θεοῦ, εἰς τὴν ὁποίαν οἱ δίκαιοι θὰ ἀπολαύουν ἀτελευτήτως τὴν αἰωνίαν μακαριότητα.

32 ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα γένηται.

32 Ὅσον δὲ ἀφορᾷ εἰς τὴν καταστροφὴν τῆς Ἱερουσαλήμ, ἡ ὁποία εἶναι τύπος καὶ εἰκὼν τῆς μελλούσης καταστροφῆς, ποὺ θὰ γίνῃ κατὰ τὴν δευτέραν παρουσίαν, σᾶς βεβαιῶ, ὅτι δὲν θὰ περάσῃ ἡ γενεὰ αὐτὴ προτοῦ νὰ γίνουν ὅλα αὐτά, ποὺ σᾶς προεῖπον. Συντόμως λοιπὸν θὰ συντελεσθῇ καὶ ἡ καταστροφὴ τῆς Ἱερουσαλήμ.

[25-27]) Μρ. ιγ΄ 24 - 26. Μτ. κδ΄ 29. 30. [28]) Λκ. ιη΄ 7. Ῥμ. η΄ 23. ιβ΄ 11. 12. Φλ. δ΄ 4. 5. Ἑβ. ι΄ 37. [29-33]) Μρ. ιγ΄ 28 - 31. Μτ. κδ΄ 32 - 35.

33 ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

33 Ὁ οὐρανὸς καὶ ἡ γῆ, ποὺ σᾶς φαίνονται τόσον μόνιμα καὶ στερεά, θὰ περάσουν καὶ θὰ ἐκλείψουν, οἱ λόγοι μου ὅμως δὲν θὰ περάσουν, ἀλλὰ θὰ ἐπαληθεύσουν καὶ θὰ παραμείνῃ ἀσάλευτος ἡ ἰσχύς των καὶ τὸ κῦρος των.

34 Προσέχετε δὲ ἑαυτοῖς μήποτε βαρηθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνίδιος ἐφ' ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη·

34 Προσέχετε δὲ εἰς τοὺς ἑαυτούς σας, μήπως αἱ ψυχαί σας γίνουν βαρεῖαι καὶ ἀνίκανοι νὰ προσέχουν καὶ νὰ ἀγρυπνοῦν. Γίνονται δὲ αἱ ψυχαὶ βαρεῖαι καὶ δυσκίνητοι εἰς τὸ πνευματικὸν ἔργον ἀπὸ τὸ ἄσωτον φαγοπότι καὶ ἀπὸ τὴν μέθην καὶ ἀπὸ τὰς ἀγωνιώδεις καὶ βασανιστικὰς φροντίδας τῆς παρούσης ζωῆς. Προσέχετε λοιπὸν νὰ μὴ γίνουν δυσκίνητοι καὶ ἀποκοιμισμέναι αἱ ψυχαί σας καὶ ἔξαφνα, χωρὶς νὰ τὴν περιμένετε, ἔλθῃ ἐπάνω σας σὰν κάποιος, ποὺ σᾶς ἔστησεν ἐνέδραν, ἡ ἡμέρα ἐκείνη τῆς δευτέρας παρουσίας, ἢ δι' ὅσους δὲν θὰ προφθάσουν νὰ ἴδουν ζωντανοὶ τὴν ἔνδοξον ἐκείνην τοῦ Κυρίου ἔλευσιν, ἡ ἡμέρα τοῦ θανάτου.

35 ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς.

35 Λέγω ἔξαφνα καὶ χωρὶς νὰ τὴν περιμένετε, διότι σὰν παγίς, ποὺ θὰ συλλάβῃ ἀμερίμνους ἐπάνω εἰς τὰ πονηρὰ ἔργα των τοὺς κακοὺς καὶ ἀπίστους, θὰ ἔλθῃ ἡ ἡμέρα ἐκείνη εἰς ὅλους, ὅσοι κάθηνται ξένοιαστοι καὶ ἀσυλλόγιστοι ἐπὶ τῆς ἐπιφανείας τῆς γῆς.

36 ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα τὰ μέλλοντα γίνεσθαι καὶ σταθῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

36 Νὰ εἶσθε λοιπὸν ἄγρυπνοι καὶ προσεκτικοὶ προσευχόμενοι καὶ παρακαλοῦντες κάθε ὥραν καὶ στιγμὴν τὸν Θεόν, διὰ νὰ σᾶς δώσῃ χάριν καὶ δύναμιν, μὲ τὴν ὁποίαν θὰ γίνετε ἄξιοι καὶ δυνατοὶ νὰ ξεφύγετε, χωρὶς νὰ βλαβῆτε ψυχικῶς, ὅλα αὐτὰ ποὺ μέλλουν νὰ γίνουν καὶ νὰ σταθῆτε ἄφοβοι καὶ μὲ θάρρος ἐμπρὸς εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου.

37 Ἦν δὲ τὰς ἡμέρας ἐν τῷ ἱερῷ διδάσκων, τὰς δὲ νύκτας ἐξερχόμενος ηὐλίζετο εἰς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν·

37 Ἐξηκολούθει δὲ ὁ Κύριος εἰς τὰς παραμονὰς τῆς συλλήψεώς του νὰ διδάσκῃ κατὰ τὰς ἡμέρας εἰς τὸ ἱερόν, κατὰ τὰς νύκτας δὲ ἔβγαινεν ἀπὸ τὰ Ἱεροσόλυμα καὶ ἐπέρνα τὴν νύκτα του εἰς τὸ ὄρος, ποὺ ἐλέγετο ὄρος τῶν Ἐλαιῶν.

38 καὶ πᾶς ὁ λαὸς ὤρθριζε πρὸς αὐτὸν ἐν τῷ ἱερῷ ἀκούειν αὐτοῦ.

38 Καὶ ὅλος ὁ λαὸς ἤρχετο πολὺ πρωῒ εἰς αὐτὸν ἐν τῷ ἱερῷ διὰ νὰ τὸν ἀκούῃ.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ΄.

Στίχ. 1-6. Ἡ προδοσία τοῦ Ἰούδα.

Ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν ἀζύμων ἡ λεγομένη πάσχα.

Ἐπλησίαζε δὲ ἡ ἑορτή, ποὺ ἐπὶ ἑπτὰ ἡμέρας οἱ Ἰουδαῖοι ἔτρωγον τὰ ἄζυμα, καὶ ἡ ὁποία ἐλέγετο Πάσχα.

2 καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὸ πῶς ἀνέλωσιν αὐτόν· ἐφοβοῦντο γὰρ τὸν λαόν.

2 Καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς νὰ εὕρουν τρόπον, μὲ τὸν ὁποῖον ἀσφαλῶς καὶ ἀκινδύνως νὰ τὸν φονεύσουν· ἐλάμβανον δὲ τὰ μέτρα αὐτά, διότι ἐφοβοῦντο τὸν λαόν, ὁ ὁποῖος συνεπάθει τὸν Ἰησοῦν.

[34-36]) Ἡσ. κδ΄ 17. Λκ. ιζ΄ 27. Μρ. ιγ΄ 33. Μτ. κδ΄ 42. 49. Ἐφ. ς΄ 13. Ἀπ. ς΄ 17. [37]) ιθ΄ 47. Ἰν. η΄ 1. 2. Μρ. ια΄ 11. Μτ. κα΄ 17. [38]) Σρ. δ΄ 12. ς΄ 36. Ψ. ξβ΄ 2. 3. οζ΄ 34. Λκ. ιθ΄ 48.

ΚΒ΄. [1-2]) Μρ. ιδ΄ 1. 2. Μτ. κς΄ 1 - 5. Ἰν. ιγ΄ 1.

3 Εἰσῆλθε δὲ ὁ σατανᾶς εἰς Ἰούδαν τὸν ἐπικαλούμενον Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα,

3 Ἐμβῆκε δὲ ὁ σατανᾶς εἰς τὸν Ἰούδαν, ποὺ ἐπωνομάζετο Ἰσκαριώτης καὶ ἦτο ἀπὸ τὸν στενὸν κύκλον τῶν μαθητῶν, δηλαδὴ ἕνας ἀπὸ τοὺς δώδεκα Ἀποστόλους.

4 καὶ ἀπελθὼν συνελάλησε τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι καὶ στρατηγοῖς τὸ πῶς αὐτὸν παραδῷ αὐτοῖς.

4 Καὶ ἐπῆγε καὶ συνωμίλησε μὲ τοὺς ἀρχιερεῖς καὶ μὲ τοὺς γραμματεῖς καὶ μὲ τὸν Λευΐτην ἀρχιφύλακα καὶ τοὺς ὑπ' αὐτὸν ἀξιωματικοὺς τῆς λευϊτικῆς φρουρᾶς τοῦ ἱεροῦ. Συνεζήτησε δὲ μετ' αὐτῶν περὶ τοῦ ἀσφαλεστέρου τρόπου, μὲ τὸν ὁποῖον θὰ παρέδιδεν αὐτὸν εἰς αὐτούς.

5 καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύρια δοῦναι·

5 Καὶ ἐχάρησαν ἐκεῖνοι διὰ τὴν ἀνέλπιστον αὐτὴν λύσιν καὶ συνεφώνησαν νὰ τοῦ δώσουν χρήματα.

6 καὶ ἐξωμολόγησε, καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου.

6 Καὶ μὲ τὴν καρδιά του ἐβεβαίωσε καὶ ὑπεσχέθη νὰ τοὺς βοηθήσῃ. Καὶ ἐζήτει κατάλληλον περίστασιν νὰ τοὺς τὸν παραδώσῃ, χωρὶς νὰ προκληθῇ συρροὴ ὄχλου καὶ θόρυβος.

Στίχ. 7-20. Ὁ Μυστικὸς Δεῖπνος.

7 Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα,

7 Ἔφθασε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, κατὰ τὴν ὁποίαν ἔπρεπε σύμφωνα μὲ τὸν νόμον νὰ θυσιάζεται ὁ πασχάλιος ἀμνός. (Καὶ ἡ ἡμέρα αὐτὴ ἤρχιζεν ἀπὸ τὴν δύσιν τῆς 13ης Νισὰν καὶ ἔληγε κατὰ τὴν δύσιν τῆς 14ης, ὀλίγον δὲ πρὸ τῆς δύσεως τῆς 14ης ἐσφάζετο ὁ ἀμνός, ὥστε μετὰ τὴν δύσιν, ὅτε ἤρχιζεν ἡ 15η Νισὰν καὶ ἐτελεῖτο τὸ Πάσχα, νὰ εἶναι οὗτος ἑτοιμασμένος καὶ ψημένος).

8 καὶ ἀπέστειλε Πέτρον καὶ Ἰωάννην εἰπών· πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα ἵνα φάγωμεν.

8 Καὶ περὶ τὴν δύσιν τῆς 13ης τοῦ Νισὰν ἀπέστειλεν ὁ Κύριος τὸν Πέτρον καὶ τὸν Ἰωάννην καὶ τοὺς εἶπε· Πηγαίνετε καὶ ἑτοιμάσατέ μας τὸ Πάσχα διὰ νὰ φάγωμεν αὐτό.

9 οἱ δὲ εἶπον αὐτῷ· ποῦ θέλεις ἑτοιμάσωμεν;

9 Αὐτοὶ δὲ εἶπαν· Εἰς ποῖον μέρος θέλεις νὰ ἑτοιμάσωμεν τὸ πάσχα;

10 ὁ δὲ εἶπεν αὐτοῖς· ἰδοὺ εἰσελθόντων ὑμῶν εἰς τὴν πόλιν συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν οὗ εἰσπορεύεται,

10 Αὐτὸς δὲ τοὺς εἶπεν· Ἰδού, ὅταν θὰ ἔμβητε εἰς τὴν πόλιν, θὰ σᾶς συναντήσῃ κάποιος ἄνθρωπος, ποὺ θὰ βαστάζῃ μίαν στάμναν νερό. Ἀκολουθήσατέ τον εἰς τὸ σπίτι, εἰς τὸ ὁποῖον θὰ ἔμβῃ.

11 καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας· λέγει σοι ὁ διδάσκαλος, ποῦ ἐστι τὸ κατάλυμα ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω;

11 Καὶ θὰ εἴπετε εἰς τὸν οἰκοδεσπότην τοῦ σπιτιοῦ ἐκείνου· Λέγει εἰς σὲ ὁ διδάσκαλος· Ποῦ εἶναι ἡ αἴθουσα τοῦ φαγητοῦ, ὅπου θὰ φάγω μὲ τοὺς μαθητάς μου τὸ νέον Πάσχα τῆς Καινῆς Διαθήκης;

12 κἀκεῖνος ὑμῖν δείξει ἀνώγαιον μέγα ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε.

12 Καὶ ἐκεῖνος θὰ σᾶς δείξῃ ἕνα μεγάλο ἀνώγειον, δηλαδὴ τὸ ἐπάνω διαμέρισμα τοῦ σπιτιοῦ, μὲ καναπέδες στρωμένους γύρω ἀπὸ τὰ τραπέζια τοῦ φαγητοῦ. Ἐκεῖ ἑτοιμάσατε τὸ Πάσχα.

---

[3]) Ἰν. ιγ΄ 2. 27. [4-6]) Μρ. ιδ΄ 10. 11. Μτ. κς΄ 14 - 16. [7-12]) Μρ. ιδ΄ 12 - 15. Μτ. κς΄ 17. 18.

13 ἀπελθόντες δὲ εὗρον καθὼς εἴρηκεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα.

13 Ἐπῆγαν δὲ οἱ δύο μαθηταὶ καὶ εὗρον, καθὼς τοὺς εἶχεν εἴπει ὁ Διδάσκαλος. Καὶ ἡτοίμασαν τὸ δεῖπνον, εἰς τὸ ὁποῖον παρέδωκεν ὁ Κύριος τὸ Πάσχα τῆς θείας Εὐχαριστίας.

14 Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσε, καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ.

14 Καὶ ὅταν ἦλθεν ἡ ὥρα τοῦ φαγητοῦ, ἐξαπλώθη πλησίον τῆς τραπέζης καὶ μαζί του ἐπῆραν θέσεις καὶ οἱ δώδεκα ἀπόστολοι.

15 καὶ εἶπε πρὸς αὐτούς· ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν·

15 Καὶ εἶπε πρὸς αὐτούς· Τοῦτο τὸ τελευταῖον τῆς ἐπιγείου ζωῆς μου Πάσχα, τὸ ὁποῖον ὡς συνδεδεμένον μετὰ τοῦ μυστηρίου τῆς θείας Εὐχαριστίας εἶναι τῆς Καινῆς Διαθήκης πάσχα, μεγάλως ἐπεθύμησα νὰ τὸ φάγω μαζί σας προτοῦ νὰ σταυρωθῶ.

16 λέγω γὰρ ὑμῖν ὅτι οὐκέτι οὐ μὴ φάγω ἐξ αὐτοῦ ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

16 Ἐπεθύμησα δὲ πολὺ νὰ φάγω τὸ πάσχα τοῦτο τῆς Καινῆς Διαθήκης μαζί σας, διότι σᾶς βεβαιῶ, ὅτι αὐτὸ εἶναι, ὅπως σᾶς εἶπα, τὸ τελευταῖον Πάσχα μου καὶ δὲν θὰ φάγω πλέον τὸ Πάσχα, μέχρις ὅτου γίνῃ τοῦτο πλῆρες καὶ τέλειον ἐν τῇ οὐρανίῳ βασιλείᾳ τοῦ Θεοῦ, ὁπότε ἡ μεταξύ μας κοινωνία καὶ ἕνωσις, ποὺ γίνεται τώρα μυστηριακῶς, θὰ εἶναι τότε τελεία.

17 καὶ δεξάμενος τὸ ποτήριον εὐχαριστήσας εἶπε· λάβετε τοῦτο καὶ διαμερίσατε ἑαυτοῖς·

17 Καὶ ἀφοῦ ἔλαβεν ἀπὸ τοὺς μαθητὰς ποτήριον, ὄχι τῆς θείας Εὐχαριστίας, τὸ ὁποῖον καθηγιάσθη καὶ ἐδόθη εἰς τοὺς μαθητὰς μετὰ τὸ τέλος τοῦ δείπνου, ἀλλὰ τὸ ποτήριον τὸ ὁποῖον ἐσυνηθίζετο νὰ γίνεται ἡ ἔναρξις παντὸς ἱεροῦ δείπνου, εὐχαρίστησε τὸν Θεόν, καὶ εἶπε· Λάβετε τοῦτο καὶ μοιράσατέ το μεταξύ σας, ὥστε νὰ πίωμεν ὅλοι μαζὶ ἀπὸ αὐτό.

18 λέγω γὰρ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ γενήματος τῆς ἀμπέλου ἕως ὅτου ἡ βασιλεία τοῦ Θεοῦ ἔλθῃ.

18 Διότι σᾶς λέγω, ὅτι ἀπὸ τὴν στιγμὴν αὐτήν, ποὺ θὰ ἔπια διὰ τελευταίαν φοράν, δὲν θὰ ξαναπίω ἀπὸ τὸ προϊὸν καὶ γένημα τῆς ἀμπέλου, ἕως ὅτου ἔλθῃ ἡ βασιλεία τοῦ Θεοῦ, ὅπου θὰ πίνωμεν μαζὶ τὸ ποτήριον τῆς θείας εὐφροσύνης καὶ χαρᾶς.

19 καὶ λαβὼν ἄρτον εὐχαριστήσας ἔκλασε καὶ ἔδωκεν αὐτοῖς λέγων· τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

19 Καὶ ἀφοῦ ἔλαβεν εἰς τὰς χεῖρας του ἄρτον, ηὐχαρίστησε τὸν Θεὸν καὶ ἔκοψεν εἰς τεμάχια τὸν ἄρτον καὶ ἔδωκεν εἰς αὐτοὺς λέγων· Αὐτό, ποὺ σᾶς δίνω νὰ φάγετε, εἶναι τὸ σῶμα μου, τὸ ὁποῖον μετ' ὀλίγον παραδίδεται, ἵνα σταυρωθῇ διὰ τὴν ἰδικήν σας σωτηρίαν. Πράττετε συνεχῶς τοῦτο, δηλαδὴ λαμβάνετε καὶ σεῖς ἄρτον, εὐχαριστεῖτε ὑπεράνω αὐτοῦ, κόπτετέ τον εἰς τεμάχια καὶ τρώγετε αὐτόν. Καὶ πράττετε τοῦτο διὰ νὰ φέρετε εὐγνωμόνως καὶ μετὰ πίστεως εἰς τὴν μνήμην σας καὶ εἰς τὴν μνήμην τῶν ἄλλων τὴν ὑπὲρ ὑμῶν σταυρικήν μου θυσίαν καὶ τὴν ἀπολύτρωσιν καὶ σωτηρίαν σας, ποὺ ἐπετεύχθη μὲ τὴν θυσίαν αὐτήν.

20 ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον.

20 Ὡσαύτως ἔλαβε καὶ τὸ ποτήριον μετὰ τὸ πέρας τοῦ δείπνου καὶ εὐχαρίστησε καὶ ἔδωσε τοῦτο εἰς αὐτούς, καὶ εἶπε· Αὐτό, ποὺ περιέχεται μέσα εἰς τὸ ποτήριον τοῦτο, εἶναι ἡ Καινὴ Διαθήκη, ἡ ὁποία ἐπικυροῦται καὶ ἐπισφραγίζεται μὲ τὸ αἷμα μου, τὸ ὁποῖον πρόκειται μετ' ὀλίγον νὰ χυθῇ διὰ τὴν σωτηρίαν σας.

---

13) Λκ. ιθ' 32. Μρ. ιδ' 16. Μτ. κς' 19. 14) Μρ. ιδ' 17. Μτ. κς' 20. 15-16) Γν. λα' 30. Λκ. ιγ' 29. Μρ. ιδ' 25. Μτ. κς' 29. 17-20) Μρ. ιδ' 22 - 24. Μτ. κς' 26 - 28. 1 Κρ. ι' 16. ια' 23 - 27.

Στίχ. 21-38. Διδασκαλίαι καὶ προαναγγελίαι.

21 πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος με μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης.

21 Ἀλλ' ἐνῷ ἐγὼ χύνω τὸ αἷμα μου διὰ σᾶς, ἰδοὺ ἡ χεὶρ ἐκείνου, ποὺ μὲ παραδίδει εἰς τοὺς ἐχθρούς μου διὰ νὰ θανατωθῶ, εἶναι μαζί μου ἐπὶ τῆς τραπέζης καὶ βουτᾷ τὸν ἄρτον εἰς τὴν αὐτὴν πιατέλλαν, εἰς τὴν ὁποίαν καὶ ἡ ἰδική μου χεὶρ βουτᾷ.

22 καὶ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ παραδίδοται.

22 Καὶ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου φεύγει ἀπὸ τὴν παροῦσαν ζωὴν σύμφωνα μὲ ἐκεῖνο, ποὺ ἔχει ὁρισθῇ ἀπὸ τὴν θείαν βουλὴν τοῦ ἐπουρανίου Πατρός. Ἀλλοίμονον ὅμως εἰς τὸν ἄνθρωπον ἐκεῖνον, διὰ τοῦ ὁποίου ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδεται εἰς τοὺς σταυρωτάς του.

23 καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς τὸ τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν.

23 Καὶ αὐτοὶ ἤρχισαν νὰ συζητοῦν μεταξύ των, ποῖος λοιπὸν ἀπὸ αὐτοὺς νὰ ἦτο ἐκεῖνος, ποὺ ἔμελλε νὰ πράξῃ τὴν προδοσίαν αὐτήν.

24 Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων.

24 Ἐκτὸς δὲ τῆς συζητήσεως αὐτῆς ἔγινε καὶ φιλονεικία μεταξύ των, περὶ τοῦ ποῖος ἐξ αὐτῶν ἤξιζε νὰ θεωρῆται ὁ μεγαλύτερος καὶ περισσότερον διακεκριμένος, ὥστε νὰ ἔχῃ τὴν πρωτεύουσαν θέσιν.

25 ὁ δὲ εἶπεν αὐτοῖς· οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται·

25 Ὁ Κύριος ὅμως εἶπε πρὸς αὐτούς· οἱ βασιλεῖς τῶν ἐθνῶν κυριαρχοῦν ἐπ' αὐτῶν διὰ τυραννικῆς δυνάμεως. Καὶ αὐτοί, ποὺ ἔχουν ἐξουσίαν ὡς ἡγεμόνες ἐπ' αὐτῶν, καλοῦνται ἀπὸ τοὺς κόλακας εὐεργέται.

26 ὑμεῖς δὲ οὐχ οὕτως, ἀλλ' ὁ μείζων ἐν ὑμῖν γινέσθω ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν.

26 Σεῖς ὅμως δὲν πρέπει νὰ εἶσθε ὅπως ἐκεῖνοι. Ἀλλ' ἐκεῖνος, ποὺ πράγματι εἶναι μεγαλύτερος καὶ περισσότερον διακεκριμένος μεταξύ σας, ἂς γίνῃ ὡς ὁ νεώτερος, ὁ ὁποῖος λόγῳ τῆς ἡλικίας του ὀφείλει νὰ ὑπηρετῇ τοὺς ἄλλους. Καὶ ἐκεῖνος, ποὺ ἔχει θέσιν ἐξαιρετικὴν καὶ προηγεῖται ἀπὸ τοὺς ἄλλους, αὐτὸς ἂς ὑπηρετῇ τούτους ὡς δοῦλος των.

27 τίς γὰρ μείζων, ὁ ἀνακείμενος ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν.

27 Εἰς τοῦτο δὲ σᾶς ἔδωκα ἐγὼ τὸ παράδειγμα. Διότι ποῖος εἶναι μεγαλύτερος; Ἐκεῖνος ποὺ κάθεται εἰς τὸ τραπέζι καὶ τρώγει, ἢ ἐκεῖνος ποὺ στέκεται ὄρθιος καὶ ὑπηρετεῖ; Δὲν εἶναι ἀνώτερος αὐτός, ποὺ κάθηται; Βεβαίως. Καὶ ὅμως ἐγὼ καὶ τώρα, ποὺ σᾶς ἔνιψα τοὺς πόδας καὶ πάντοτε εἰς τὸ παρελθόν, εἶμαι μεταξύ σας ὡς ὑπηρέτης, ποὺ σᾶς διακονεῖ.

28 ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου·

28 Δὲν σᾶς λέγω ὅμως αὐτὰ διὰ νὰ σᾶς ἀποδοκιμάσω καὶ σᾶς ἀποκηρύξω, ἀλλὰ διὰ νὰ σᾶς δείξω, ποῦ θὰ εὕρετε τὸ πραγματικὸν μεγαλεῖον. Σεῖς οἱ ἕνδεκα καθ' ὅλον τὸ διάστημα τῆς ζωῆς μου ἐμείνατε μαζί μου εἰς τὰς δοκιμασίας μου καὶ δὲν ἐκλονίσθητε ἀπὸ αὐτάς.

29 κἀγὼ διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι ὁ πατήρ μου βασιλείαν,

29 Καὶ ἐγὼ ὡς ἀνταμοιβὴν τῆς πρὸς ἐμὲ ἀφοσιώσεώς σας σᾶς ὑπόσχομαι βασιλείαν, σύμφωνα μὲ τὴν ἐξουσίαν ποὺ ἔχω, λόγῳ τοῦ ὅτι καὶ ὁ Πατήρ μου ὥρισε βασιλικὸν ἀξίωμα καὶ δι' ἐμέ.

21-23) Μρ. ιδ' 18 - 21. Μτ. κς' 21 - 25. Ἰν. ιγ' 21. 22. 24) Λκ. θ' 46. Μρ. θ' 33. 34. Μτ. ιη' 1. 25-27) Μρ. ι' 42 - 45. Μτ. κ' 25 - 28. Ἰν. ιγ' 4. 5. 13. 14. 28-30) ιβ' 32. ιη' 28 - 30. Μρ. ι' 28 - 30. Μτ. ιθ' 28. 29.

30 ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ καθίσεσθε ἐπὶ θρόνων κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

30 Συνέπεια δὲ τοῦ βασιλικοῦ αὐτοῦ ἀξιώματος, τὸ ὁποῖον σᾶς ὑπόσχομαι, εἶναι νὰ τρώγετε καὶ νὰ πίνετε ἐπὶ τῆς τραπέζης μου, νὰ ἀπολαμβάνετε δηλαδὴ τὰ αἰώνια ἀγαθὰ ἐν τῇ βασιλείᾳ μου, διατελοῦντες εἰς στενὴν σχέσιν καὶ κοινωνίαν μετ' ἐμοῦ. Καὶ ἐπὶ πλέον θὰ καθίσετε ἐπὶ θρόνων διὰ νὰ ἀσκῆτε βασιλικὴν ἐξουσίαν καὶ δικάζετε τὰς δώδεκα φυλὰς τοῦ νέου Ἰσραὴλ τῆς χάριτος.

31 Εἶπε δὲ ὁ Κύριος· Σίμων Σίμων, ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον·

31 Μὴν ὑπερηφανευθῆτε δμως ἀπὸ τὸν ἔπαινόν μου αὐτὸν καὶ τὰς ὑποσχέσεις, ποὺ σᾶς ἔδωκα. Παρεμείνατε πιστοὶ καὶ ἀφωσιωμένοι εἰς ἐμὲ λόγῳ τῆς χάριτος καὶ προστασίας τοῦ Θεοῦ. Πράγματι. Σίμων, Σίμων, ἰδοὺ ὁ σατανᾶς, ὅπως ἄλλοτε περὶ τοῦ Ἰώβ, οὕτω καὶ διὰ σᾶς τώρα ἐζήτησε νὰ σᾶς ταράξῃ καὶ σᾶς κλονίσῃ, ὅπως κοσκινίζεται καὶ σείεται τὸ σιτάρι μέσα εἰς τὸ κόσκινον.

32 ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου.

32 Ἐγὼ ὅμως προσηυχήθην ὑπὲρ σοῦ καὶ παρεκάλεσα νὰ μὴ χάσῃς τὴν πίστιν σου. Καὶ σύ, ὅταν κάποτε ἐπιστρέψῃς διὰ τῆς μετανοίας καὶ ἀποκατασταθῇς εἰς τὸ ἀξίωμά σου, γίνε εἰς τοὺς ἀδελφούς σου ὑπόδειγμα μετανοίας καὶ πίστεως, ὥστε νὰ στηρίζωνται οὗτοι καὶ νὰ παρηγοροῦνται τόσον διὰ τῶν λόγων σου, ὅσον καὶ διὰ τοῦ παραδείγματός σου.

33 ὁ δὲ εἶπεν αὐτῷ· Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι.

33 Ἀλλ' ὁ Πέτρος εἶπεν εἰς αὐτόν· Κύριε, εἶμαι ἕτοιμος μαζί σου νὰ ὑπάγω καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον.

34 ὁ δὲ εἶπε· λέγω σοι, Πέτρε, οὐ φωνήσει σήμερον ἀλέκτωρ πρὶν ἢ τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με.

34 Ὁ δὲ Κύριος εἶπε· Σὲ βεβαιῶ, Πέτρε· Δὲν θὰ λαλήσῃ ὁ πετεινὸς κατὰ τὰ ξημερώματα τῆς σημερινῆς ἡμέρας, προτοῦ νὰ μὲ ἀπαρνηθῇς τρεῖς φορὰς καὶ νὰ βεβαιώσῃς ὅτι δὲν μὲ γνωρίζεις.

35 Καὶ εἶπεν αὐτοῖς· ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλλαντίου καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστερήθητε; οἱ δὲ εἶπον· οὐθενός.

35 Καὶ προαναγγέλλων εἰς αὐτούς, ὅτι εἰς τὸ μέλλον ὅλων ἡ πίστις θὰ ἐδοκιμάζετο, τοὺς εἶπεν· Ὅταν εἰς τὴν πρώτην σας περιοδείαν σᾶς ἔστειλα χωρὶς βαλλάντιον καὶ χωρὶς σάκκον ταξιδιωτικὸν καὶ ὑποδήματα, μήπως ἐστερήθητε τίποτε; Αὐτοὶ δὲ εἶπον· ὄχι· δὲν ἐστερήθημεν τίποτε.

36 εἶπεν οὖν αὐτοῖς· ἀλλὰ νῦν ὁ ἔχων βαλλάντιον ἀράτω, ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων πωλησει τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγοράσει μάχαιραν.

36 Εἶπε λοιπὸν εἰς αὐτούς· Τὰ πράγματα τώρα ἤλλαξαν καὶ πρέπει νὰ ὁπλισθῆτε μὲ σύνεσιν καὶ νὰ ἔχετε πάντοτε εἰς τὸν νοῦν σας, ὅτι περικυκλώνεσθε ἀπὸ ἐχθρούς. Τώρα ἐκεῖνος, ποὺ ἔχει βαλλάντιον, ἂς τὸ πάρῃ μαζί του, διὰ νὰ ἔχῃ χρήματα πρὸς ἀγορὰν τῶν ἀναγκαίων διὰ τὴν συντήρησίν του. Τὸ ἴδιον ἂς κάμῃ καὶ αὐτός, ποὺ ἔχει σάκκον. Ἂς τὸν πάρῃ μαζί του γεμᾶτον μὲ τρόφιμα. Δὲν θὰ εὕρετε πλέον τὴν φιλόξενον προθυμίαν καὶ ὑποδοχήν, ποὺ συνηντήσατε εἰς τὴν πρώτην περιοδείαν σας. Καὶ ἐκεῖνος ποὺ δὲν ἔχει μάχαιραν, ἂς πωλήσῃ καὶ αὐτὸ τὸ ροῦχο του καὶ ἂς ἀγοράσῃ μάχαιραν. Δὲν θέλω νὰ εἶπω μὲ αὐτό, ὅτι σᾶς ἐπιτρέπεται εἰς τὴν βίαν νὰ ἀντιτάσσετε τὴν βίαν. Οὔτε ὅτι ἔχετε δικαίωμα διὰ τῆς μαχαίρας νὰ ἐπιδιώξετε τὴν διάδοσιν τοῦ Εὐαγγελίου. Ἀλλ' ἁπλῶς διὰ ζωηρᾶς εἰ-

[31]) Ἰβ. α' 8 - 12. β' 1 - 6. 2 Κρ. β' 11. 1 Πτ. ε' 8. [32]) Ἰν. ιζ' 11. 15. Μτ. ις' 19. [33-34]) Μρ. ιδ' 29 - 31. Μτ. κς' 33 - 35. Ἰν. ιγ' 37. 38. [35]) θ' 3. ι' 4. Μρ. ς' 8. Μτ. ι' 9. [36]) Ἐφ. ς' 10 - 17.

κόνος θέλω νὰ σᾶς παραστήσω, ὅτι ὁ παρὼν καιρὸς εἶναι καιρὸς ἀμύνης καὶ ὅτι θὰ ἀντιμετωπίσετε θανατηφόρους ἐπιβουλὰς καὶ ἐχθρότητας.

*37 λέγω γὰρ ὑμῖν ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοί, τὸ **καὶ μετὰ ἀνόμων ἐλογίσθη**· καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει.*

37 Ὅτι δὲ τώρα ἦλθαν καιροὶ διωγμῶν καὶ ἐπιβουλῶν, ἀποδεικνύεται ἀπὸ αὐτὰ ποὺ μετ' ὀλίγον θὰ συμβοῦν εἰς ἐμέ. Διότι σᾶς λέγω, ὅτι μαζὶ μὲ τόσα ἄλλα, ποὺ ἐπληρώθησαν, πρέπει νὰ πληρωθῇ καὶ νὰ ἐπαληθεύσῃ εἰς ἐμὲ καὶ αὐτό, ποὺ ἔχει γραφῆ εἰς τὸν προφήτην Ἡσαΐαν· δηλαδὴ τὸ καὶ μεταξὺ τῶν ἀνόμων καὶ κακούργων κατετάχθη διὰ νὰ τιμωρηθῇ μαζὶ μὲ αὐτοὺς ὡς ἄνομος. Πρέπει δὲ νὰ ἐπαληθεύσῃ καὶ ὁ προφητικὸς αὐτὸς λόγος εἰς ἐμέ, διότι ὅσα ἐγράφησαν καὶ ἐπροφητεύθησαν δι' ἐμέ, λαμβάνουν τώρα τέλος καὶ πραγματοποίησιν πλήρη.

38 οἱ δὲ εἶπον· Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο. ὁ δὲ εἶπεν αὐτοῖς· ἱκανόν ἐστι.

38 Οἱ μαθηταὶ ὅμως δὲν ἐκατάλαβαν τὴν σημασίαν τῶν λόγων αὐτῶν τοῦ Κυρίου καὶ τοῦ εἶπαν: Κύριε, ἰδοὺ ἐδῶ ὑπάρχουν δύο μάχαιραι. Ὁ δὲ Κύριος εἶπεν εἰς αὐτούς· Δὲν ἐννοεῖτε τί σᾶς λέγω. Φθάνει λοιπόν. Ἂς μὴ ἐκτεινώμεθα εἰς περαιτέρω συζήτησιν.

Στίχ. 39-46. Ἡ ἀγωνία τῆς Γεθσημανῆ.

39 Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ.

39 Καὶ ἀφοῦ ἐβγῆκεν, ἐπῆγε κατὰ τὴν συνήθειάν του εἰς τὸ ὄρος τῶν Ἐλαιῶν. Τὸν ἠκολούθησαν δὲ καὶ οἱ μαθηταί του.

40 γενόμενος δὲ ἐπὶ τοῦ τόπου εἶπεν αὐτοῖς· προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν.

40 Ὅταν δὲ ἦλθεν εἰς τὸν τόπον, ποὺ ἐσυνήθιζε νὰ ἔρχεται, τοὺς εἶπε· Προσεύχεσθε καὶ παρακαλέσατε τὸν Θεὸν νὰ σᾶς προφυλάξῃ, ὥστε νὰ μὴ πέσετε εἰς πειρασμόν.

41 καὶ αὐτὸς ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολήν, καὶ θεὶς τὰ γόνατα προσηύχετο

41 Καὶ αὐτὸς ἀπεμακρύνθη ἀπὸ αὐτοὺς εἰς ἀπόστασιν πετροβολιᾶς, καὶ ἀφοῦ ἐγονάτισε προσηύχετο.

42 λέγων· πάτερ, εἰ βούλει παρενεγκεῖν τοῦτο τὸ ποτήριον ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γινέσθω.

42 Καὶ ἔλεγε· Πάτερ, ἐὰν εἶναι θέλημά σου νὰ ἀπομακρύνῃς τὸ ποτήριον αὐτὸ τοῦ θανάτου ἀπὸ ἐμέ, ἀπομάκρυνέ το· ἀλλ' ὅμως ὄχι νὰ γίνῃ ἐκεῖνο, τὸ ὁποῖον λόγῳ τῆς φυσικῆς ἀποστροφῆς πρὸς τὸν θάνατον ἡ ἀνθρωπίνη φύσις μου θέλει, ἀλλ' ἐκεῖνο τὸ ὁποῖον θέλεις σύ.

43 ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ ἐνισχύων αὐτόν.

43 Ἐνεφανίσθη δὲ εἰς αὐτὸν ἄγγελος ἀπὸ τὸν οὐρανόν, ὁ ὁποῖος ἐνίσχυε τὰς σωματικάς του δυνάμεις, αἱ ὁποῖαι εἶχον ἐξαντληθῆ μέχρι λιποθυμίας.

44 καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο. ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν.

44 Καὶ τὸν κατέλαβεν ἐν τῷ μεταξὺ ἀγωνία καὶ δι' αὐτὸ προσηύχετο τώρα θερμότερον καὶ μὲ περισσοτέραν ἐπιμονήν. Καὶ ὁ ἱδρώς του ἔγινε ἄφθονος καὶ πηκτὸς σὰν κομμάτια πηγμένου αἵματος, ποὺ πίπτουν εἰς τὴν γῆν.

[37]) Ἡσ. νγ' 12. Λκ. κβ' 52. Μρ. ιε' 28. Ἰν. ιθ' 30. [39]) κα' 37. Μρ. ιδ' 26. Μτ. κς' 30. Ἰν. ιη' 1. [40-46]) Μρ. ιδ' 32 - 42. Μτ. κς' 36 - 46. Ἑβ. ε' 7. 8.

45 καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, ἐλθὼν πρὸς τοὺς μαθητὰς εὗρεν αὐτοὺς κοιμωμένους ἀπὸ τῆς λύπης,

45 Καὶ ἀφοῦ ἐσηκώθη ἀπὸ τὴν προσευχήν, ἦλθε πρὸς τοὺς μαθητὰς καὶ τοὺς εὗρε νὰ κοιμῶνται ἀπὸ τὴν κόπωσιν καὶ χαλάρωσιν, ποὺ ἐπροκάλεσεν εἰς τὰ νεῦρα των ἡ πολλή των λύπη.

46 καὶ εἶπεν αὐτοῖς· τί καθεύδετε; ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.

46 Καὶ εἶπε πρὸς αὐτούς· Διατί κοιμᾶσθε; Σηκωθῆτε καὶ προσεύχεσθε, διὰ νὰ μὴ ἐμβῆτε εἰς πειρασμὸν καὶ κυριευθῆτε ὑπ' αὐτοῦ.

Στίχ. 47-53. Ἡ σύλληψις τοῦ Ἰησοῦ.

47 Ἔτι δὲ αὐτοῦ λαλοῦντος ἰδοὺ ὄχλος, καὶ ὁ λεγόμενος Ἰούδας, εἷς τῶν δώδεκα, προῆγεν αὐτούς, καὶ ἤγγισε τῷ Ἰησοῦ φιλῆσαι αὐτόν· τοῦτο γὰρ σημεῖον δεδώκει αὐτοῖς· ὃν ἂν φιλήσω, αὐτός ἐστιν.

47 Ἐνῷ δὲ ὁ Ἰησοῦς ὡμίλει ἀκόμη, ἔξαφνα κατέφθασεν ὄχλος, καὶ αὐτός, ποὺ ὠνομάζετο Ἰούδας, ἕνας ἀπὸ τοὺς δώδεκα, ἐπήγαινεν ἐμπρὸς ἀπὸ αὐτοὺς καὶ ἐπλησίασε τὸν Ἰησοῦν διὰ νὰ τὸν φιλήσῃ. Διότι αὐτὸ τὸ σημάδι εἶχε δώσει εἰς αὐτούς. Τοὺς εἶχεν εἰπει δηλαδή: Ἐκεῖνον ποὺ θὰ φιλήσω, αὐτὸς εἶναι ὁ Ἰησοῦς.

48 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως;

48 Ὁ δὲ Ἰησοῦς τοῦ εἶπεν· Ἰούδα, μὲ φίλημα, ποὺ ἕως τώρα ἦτο δεῖγμα τῆς ἀγάπης μας, προδίδεις αὐτόν, ποὺ εἶναι ὁ μοναδικὸς ἐκπρόσωπος τοῦ ἀνθρωπίνου γένους καὶ ἀναμενόμενος κατὰ τοὺς προφήτας Μεσσίας;

49 ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον εἶπον αὐτῷ· Κύριε, εἰ πατάξομεν ἐν μαχαίρᾳ;

49 Ὅταν δὲ εἶδον ἐκεῖνοι, ποὺ ἦσαν γύρω ἀπὸ τὸν Ἰησοῦν αὐτό, ποὺ ἔμελλε νὰ συμβῇ, ὅτι δηλαδὴ ἐπρόκειτο νὰ τὸν συλλάβουν καὶ νὰ τὸν πάρουν, εἶπαν πρὸς αὐτόν· Κύριε, ἐὰν τὸ ἐπιτρέπῃς, νὰ τοὺς κτυπήσωμεν μὲ μάχαιραν;

50 καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς τὸ δεξιόν.

50 Καὶ ἕνας κάποιος ἀπὸ αὐτοὺς ἐκτύπησε μὲ τὴν μάχαιραν τὸν δοῦλον τοῦ ἀρχιερέως καὶ τοῦ ἔκοψε τὸ δεξιὸν αὐτί.

51 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· ἐᾶτε ἕως τούτου· καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ ἰάσατο αὐτόν.

51 Ἀπεκρίθη δὲ ὁ Ἰησοῦς καὶ εἶπεν· Ἀφήσατε· φθάνει ἕως αὐτοῦ. Μὴ ἀνθίστασθε περισσότερον. Καὶ ἀφοῦ ἤγγισε τὸ αὐτὶ τοῦ δούλου, τὸν ἐθεράπευσε.

52 εἶπε δὲ ὁ Ἰησοῦς πρὸς τοὺς παραγενομένους ἐπ' αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους· ὡς ἐπὶ λῃστὴν ἐξεληλύθατε μετὰ μαχαιρῶν καὶ ξύλων·

52 Εἶπε δὲ ὁ Ἰησοῦς πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς στρατηγοὺς τοῦ ἱεροῦ καὶ τοὺς πρεσβυτέρους, ποὺ ἦλθαν μαζὶ μὲ τὸν ὄχλον ἐναντίον του· Ἐβγήκατε μὲ σπαθιὰ καὶ μὲ ρόπαλα, σὰν νὰ ἤρχεσθε ἐναντίον λῃστοῦ;

53 καθ' ἡμέραν ὄντος μου μεθ' ὑμῶν ἐν τῷ ἱερῷ οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ' ἐμέ. ἀλλ' αὕτη ἐστὶν ὑμῶν ἡ

53 Ὅταν ἐγὼ ἤμην μαζί σας κάθε ἡμέραν εἰς τὸ ἱερόν, δὲν ἐξαπλώσατε τὰς χεῖρας σας ἐπάνω μου διὰ νὰ μὲ συλλάβετε. Καὶ ἤλθετε τὴν ὥραν αὐτὴν τῆς νυκτός. Ἀλλ' αὐτὴ ἡ ὥρα παρεχωρήθη ἀπὸ τὸν Θεὸν ὡς ὥρα ἰδική σας διὰ νὰ ἐπιτύχετε τὸ κα-

[47-51]) Μρ. ιδ' 43 - 47. Μτ. κς' 47 - 53. Ἰν. ιη' 2 - 11. [52-53]) 37. Μρ. ιδ' 48. 49. Μτ. κς' 55. Ἰν. ζ' 30. η' 20. Κλ. α' 13.

ὥρα καὶ ἡ ἐξουσία τοῦ σκότους.

κοῦργον σχέδιόν σας, καὶ συμπίπτει αὕτη πρὸς τὴν ὥραν, κατὰ τὴν ὁποίαν ὁ σατανᾶς φανερώνει τὴν ἐξουσίαν καὶ δύναμίν του, διότι εἰς τὸ σκότος γίνονται τὰ ἐγκλήματα καὶ ὑπὸ τὸ σκότος ζητεῖ ὁ ἄνθρωπος νὰ κρύπτεται, διὰ νὰ ἁμαρτάνῃ ἐλευθέρως.

Στίχ. 54-62. Ἡ ἄρνησις τοῦ Πέτρου.

54 Συλλαβόντες δὲ αὐτὸν ἤγαγον καὶ εἰσήγαγον αὐτὸν εἰς τὸν οἶκον τοῦ ἀρχιερέως. ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν.

54 Ἀφοῦ δὲ τὸν ἔπιασαν, τὸν ἔφεραν εἰς τὴν πόλιν καὶ τὸν ἔμβασαν εἰς τὸ σπίτι τοῦ ἀρχιερέως. Ὁ δὲ Πέτρος ἠκολούθει ἀπὸ μακράν.

55 ἁψάντων δὲ πυρὰν ἐν μέσῳ τῆς αὐλῆς καὶ συγκαθισάντων αὐτῶν ἐκάθητο ὁ Πέτρος ἐν μέσῳ αὐτῶν.

55 Ἀφοῦ δὲ ἤναψαν φωτιὰν εἰς τὸ μέσον τῆς αὐλῆς καὶ ἐκάθησαν ὅλοι μαζὶ διὰ νὰ ζεσταίνωνται, ἐκάθητο καὶ ὁ Πέτρος ἐν μέσῳ αὐτῶν.

56 ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς καὶ ἀτενίσασα αὐτῷ εἶπε· καὶ οὗτος σὺν αὐτῷ ἦν.

56 Ὅταν δὲ μία νεαρὰ ὑπηρέτρια τὸν εἶδε νὰ κάθηται κοντὰ εἰς τὸ φῶς, ποὺ ἔρριπτεν ἡ φωτιά, τὸν παρετήρησε προσεκτικὰ καὶ εἶπε· Καὶ αὐτὸς ἦτο μαζὶ μὲ τοῦτον, ποὺ εἶναι μέσα δεμένος.

57 ὁ δὲ ἠρνήσατο λέγων· γύναι, οὐκ οἶδα αὐτόν.

57 Ἀλλ' ὁ Πέτρος τὸν ἠρνήθη καὶ εἶπε· Γυναῖκα, δὲν τὸν ξεύρω.

58 καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν ἔφη· καὶ σὺ ἐξ αὐτῶν εἶ. ὁ δὲ Πέτρος εἶπεν· ἄνθρωπε, οὐκ εἰμί.

58 Καὶ ὕστερα ἀπὸ λίγο τὸν εἶδε κάποιος ἄλλος καὶ εἶπε· Καὶ σὺ εἶσαι ἀπὸ αὐτούς. Ἀλλ' ὁ Πέτρος εἶπεν· Ἄνθρωπε, δὲν εἶμαι ἀπὸ αὐτούς.

59 καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς ἄλλος τις διϊσχυρίζετο λέγων· ἐπ' ἀληθείας καὶ οὗτος μετ' αὐτοῦ ἦν· καὶ γὰρ Γαλιλαῖός ἐστιν.

59 Καὶ ἀφοῦ ἐπέρασε περίπου μία ὥρα, κάποιος μὲ ἐπιμονὴν ἐβεβαίωνε καὶ ἔλεγεν· Ἀλήθεια καὶ αὐτὸς ἦτο μαζὶ μὲ τοῦτον, ποὺ δικάζεται μέσα, διότι καθὼς φαίνεται ἀπὸ τὴν προφοράν του εἶναι Γαλιλαῖος.

60 εἶπε δὲ ὁ Πέτρος· ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις. καὶ παραχρῆμα, ἔτι λαλοῦντος αὐτοῦ, ἐφώνησεν ἀλέκτωρ.

60 Ἀλλ' ὁ Πέτρος εἶπεν· Ἄνθρωπε, δὲν ξεύρω τί λέγεις. Καὶ ἀμέσως, ἐνῷ ἀκόμη ὡμίλει ὁ Πέτρος καὶ ἔλεγε τὰ λόγια αὐτά, ἐλάλησεν ὁ πετεινός.

61 καὶ στραφεὶς ὁ Κύριος ἐνέβλεψε τῷ Πέτρῳ, καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ λόγου τοῦ Κυρίου, ὡς εἶπεν αὐτῷ ὅτι πρὶν ἀλέκτορα φωνῆσαι ἀπαρνήσῃ με τρίς·

61 Καὶ τὴν στιγμὴν ἐκείνην ἔστρεψεν ὁ Κύριος καὶ παρετήρησεν ἐκφραστικὰ τὸν Πέτρον. Καὶ ἐνεθυμήθη ὁ Πέτρος τὸν λόγον τοῦ Κυρίου, ὅπως τοῦ τὸν εἶπεν, ὅτι δηλαδὴ προτοῦ λαλήσῃ ὁ πετεινός, θὰ μὲ ἀρνηθῇς τρεῖς φοράς.

62 καὶ ἐξελθὼν ἔξω ὁ Πέτρος ἔκλαυσε πικρῶς.

62 Καὶ ἀφοῦ ἐβγῆκεν ὁ Πέτρος ἔξω ἀπὸ τὴν περιοχὴν τοῦ ἀρχιερατικοῦ μεγάρου, ἔκλαυσε πικρά.

[54-55]) Μρ. ιδ' 53. 54. Μτ. κς' 57. 58. Ἰν. ιη' 12 - 16. 18. [56-62]) Μρ. ιδ' 66 - 72. Μτ. κς' 69 - 75. Ἰν. ιη' 17. 25 - 27.

Στίχ. 63-71. Ὁ Κύριος πρὸ τοῦ συνεδρίου.

63 Καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν Ἰησοῦν ἐνέπαιζον αὐτῷ δέροντες,

63 Καὶ οἱ ἄνδρες ποὺ ἐκράτουν καὶ ἐφύλαττον καλὰ τὸν Ἰησοῦν, τὸν ἐνέπαιζαν καὶ τὸν ἔδερναν.

64 καὶ περικαλύψαντες αὐτὸν ἔτυπτον αὐτοῦ τὸ πρόσωπον καὶ ἐπηρώτων αὐτὸν λέγοντες· προφήτευσον τίς ἐστιν ὁ παίσας σε;

64 Καὶ ἀφοῦ τοῦ ἐκάλυψαν τριγύρω τὴν κεφαλὴν διὰ νὰ μὴ βλέπῃ, τοῦ ἐκτύπων τὸ πρόσωπον καὶ τὸν ἠρώτων λέγοντες· Προφήτευσε, ποῖος εἶναι ἐκεῖνος, ποὺ σὲ ἐκτύπησε.

65 καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν.

65 Καὶ τοῦ ἔλεγαν πολλὰς ἄλλας ὕβρεις, μὲ τὰς ὁποίας ἐβλασφήμουν.

66 Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, ἀρχιερεῖς καὶ γραμματεῖς, καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδριον ἑαυτῶν λέγοντες· εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν.

66 Καὶ ὅταν ἐξημέρωσεν, ἐμαζεύθησαν οἱ προεστοὶ τοῦ λαοῦ, δηλαδὴ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, καὶ ἀνέβασαν αὐτὸν ἐνώπιον τοῦ συνεδρίου των λέγοντες· Εἰπέ μας, ἐὰν εἶσαι σὺ ὁ Χριστός.

67 εἶπε δὲ αὐτοῖς· ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε,

67 Καὶ ὁ Ἰησοῦς τοὺς εἶπεν· Ἐὰν σᾶς εἴπω τί εἶμαι, δὲν θὰ πιστεύσετε.

68 ἐὰν δὲ καὶ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ μοι ἢ ἀπολύσητε·

68 Ἐὰν δὲ καὶ προβάλω εἰς σᾶς ἐρωτήσεις καὶ ἐπιχειρήματα πειστικά, δὲν θὰ μοῦ δώσετε ἀπάντησιν εἰς αὐτά, οὔτε θὰ μὲ ἀφήσετε ἐλεύθερον.

69 ἀπὸ τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ.

69 Τόσον μόνον σᾶς λέγω, ὅτι ἀπὸ τώρα ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ Μεσσίας, θὰ κάθεται διαρκῶς εἰς τὰ δεξιὰ τοῦ παντοδυνάμου Θεοῦ.

70 εἶπον δὲ πάντες· σὺ οὖν εἶ ὁ υἱὸς τοῦ Θεοῦ; ὁ δὲ πρὸς αὐτοὺς ἔφη· ὑμεῖς λέγετε ὅτι ἐγώ εἰμι.

70 Εἶπον δὲ τότε ὅλοι· Σὺ λοιπὸν εἶσαι ὁ Υἱὸς τοῦ Θεοῦ; Ὁ δὲ Ἰησοῦς εἶπε πρὸς αὐτούς· Τὸ λέγετε καὶ σεῖς, ὅτι ἐγὼ εἶμαι ὁ Υἱὸς τοῦ Θεοῦ.

71 οἱ δὲ εἶπον· τί ἔτι χρείαν ἔχομεν μαρτυρίας; αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ.

71 Αὐτοὶ δὲ εἶπον· Τί μᾶς χρειάζεται πλέον ἄλλη μαρτυρία; Εἶναι περιττή. Διότι ὅλοι ἠκούσαμεν ἀπὸ τὸ στόμα του νὰ λέγῃ, ὅτι αὐτὸς εἶναι ὁ Μεσσίας καὶ ὁ Υἱὸς τοῦ Θεοῦ.

63-65) Μρ. ιδ' 65. Μτ. κς' 67. 68. 66-71) Μρ. ιδ' 55 - 64. Μτ. κς' 59 - 66. κζ' 1. Ἰν. ιη' 24.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Στίχ. 1-25. Ὁ Κύριος ἐνώπιον τοῦ Πιλάτου καὶ τοῦ Ἡρῴδου.

Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν ἤγαγον αὐτὸν ἐπὶ τὸν Πιλᾶτον.

Καὶ ἀφοῦ ἐσηκώθη ὅλον τὸ πλῆθος τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, ποὺ ἀπετέλουν τὸ συνέδριον, ἔφεραν τὸν Ἰησοῦν εἰς τὸν Πιλᾶτον.

2 ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ λέγοντες· τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος καὶ κωλύοντα Καίσαρι φόρους διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι.

2 Ἤρχισαν δὲ νὰ τὸν κατηγοροῦν καὶ νὰ λέγουν· Αὐτὸν τὸν ηὕραμε νὰ διαστρέφῃ καὶ νὰ παρακινῇ εἰς ἐπανάστασιν τὸ ἔθνος καὶ νὰ ἐμποδίζῃ νὰ δίδωμεν φόρους εἰς τὸν Καίσαρα. Καὶ ὅλα αὐτὰ τὰ ἔκαμε, **διότι λέγει** διὰ τὸν ἑαυτόν του, ὅτι εἶναι ὁ Χριστός, δηλαδὴ **εἶναι βασιλεύς.**

3 ὁ δὲ Πιλᾶτος ἐπηρώτησεν αὐτὸν λέγων· σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη· σὺ λέγεις.

3 Ὁ δὲ Πιλᾶτος ἠρώτησε τὸν Ἰησοῦν καὶ τοῦ εἶπε· Σὺ ὁ ἀβοήθητος καὶ ἐγκαταλελειμμένος εἶσαι ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς τοῦ ἀπεκρίθη καὶ εἶπεν· Τὸ λέγεις καὶ σὺ ὅτι εἶμαι ὁ βασιλεὺς τῶν Ἰουδαίων. Ἡ βασιλεία μου ὅμως δὲν εἶναι, ὅπως τὴν ἐννοεῖς σὺ καὶ οἱ κατήγοροί μου.

4 ὁ δὲ Πιλᾶτος εἶπε πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους ὅτι οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ.

4 Ὁ δὲ Πιλᾶτος εἶπε πρὸς τοὺς ἀρχιερεῖς καὶ τὰ πλήθη τοῦ λαοῦ· Δὲν εὑρίσκω τίποτε τὸ ἔνοχον καὶ ἀξιοκατάκριτον εἰς τὸν ἄνθρωπον αὐτόν.

5 οἱ δὲ ἐπίσχυον λέγοντες ὅτι ἀνασείει τὸν λαὸν διδάσκων καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε.

5 Ἀλλ' αὐτοὶ μὲ δύναμιν καὶ ἐπιμονὴν μεγαλυτέραν κατηγόρουν τὸν Ἰησοῦν καὶ ἔλεγαν, ὅτι ἀναστατώνει τὸν λαόν, καὶ διδάσκει τὸ ἐπαναστατικόν του κήρυγμα εἰς ὅλην τὴν Ἰουδαίαν, διότι τὸ ἤρχισεν ἀπὸ τὴν Γαλιλαίαν καὶ τὸ μετέφερεν ἕως ἐδῶ.

6 Πιλᾶτος δὲ ἀκούσας Γαλιλαίαν ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστι,

6 Ὁ Πιλᾶτος δέ, ὅταν ἤκουσε τὴν λέξιν Γαλιλαίαν, ἠρώτησεν ἐὰν ὁ ἄνθρωπος εἶναι Γαλιλαῖος.

7 καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας Ἡρῴδου ἐστίν, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρῴδην, ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις.

7 Καὶ ὅταν ἐπληροφορήθη ὅτι ὁ Ἰησοῦς εἶναι ἀπὸ τὴν ἐπαρχίαν τῆς ἐξουσίας καὶ δικαιοδοσίας τοῦ Ἡρῴδου, τὸν παρέπεμψεν εἰς τὸν Ἡρῴδην, ποὺ ἦτο καὶ αὐτὸς εἰς τὰ Ἱεροσόλυμα κατὰ τὰς ἡμέρας αὐτὰς τοῦ Πάσχα.

8 ὁ δὲ Ἡρῴδης ἰδὼν τὸν Ἰησοῦν ἐχάρη λίαν· ἦν γὰρ ἐξ ἱκανοῦ θέλων ἰδεῖν αὐτὸν διὰ τὸ ἀκούειν αὐτοῦ πολλὰ περὶ αὐτοῦ, καὶ ἤλπιζέ τι σημεῖον ἰδεῖν ὑπ' αὐτοῦ γινόμενον.

8 Ὁ δὲ Ἡρῴδης, ὅταν εἶδε τὸν Ἰησοῦν, ἐχάρη πολύ· διότι ἐπεθύμει ἀπὸ πολὺν καιρὸν νὰ τὸν ἴδῃ, ἐπειδὴ ἤκουε πολλὰ δι' αὐτὸν καὶ ἤλπιζε τώρα νὰ ἴδῃ κάποιο θαῦμα νὰ γίνεται ὑπ' αὐτοῦ.

ΚΓ'. 1) Μρ. ιε' 1. Μτ. κζ' 2. Ἰν. ιη' 28. 2) 5. 10. 14. κ' 22 - 25. Μτ. κβ' 15 - 22. Ἰν. ιθ' 12. Πρ. ιζ' 7. 3) κβ' 70. Μρ. ιε' 2. Μτ. κζ' 11. Ἰν. ιη' 33. 37. 4) 14. 15. 22. Μτ. κζ' 22 - 24. Ἰν. ιη' 38. ιθ' 4. 6. 5) 2. 7) γ' 1. Πρ. δ' 27. 8) θ' 9. ιθ' 3. Μρ. ς' 14. Μτ. ιδ' 1.

9 ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς· αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ.

9 Τὸν ἠρώτα δὲ ὁ Ἡρῴδης καὶ τοῦ προέβαλλε ζητήματα καὶ ἐρωτήσεις πολλάς. Ὁ Ἰησοῦς ὅμως οὐδεμίαν ἀπόκρισιν ἔδωκεν εἰς αὐτόν.

10 εἱστήκεισαν δὲ οἱ γραμματεῖς καὶ οἱ ἀρχιερεῖς εὐτόνως κατηγοροῦντες αὐτοῦ.

10 Ἔστεκαν δὲ οἱ γραμματεῖς καὶ οἱ ἀρχιερεῖς καὶ μὲ ἐπιμονὴν καὶ ζωηρότητα κατηγόρουν τὸν Ἰησοῦν.

11 ἐξουθενήσας δὲ αὐτὸν ὁ Ἡρῴδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ καὶ ἐμπαίξας, περιβαλὼν αὐτὸν ἐσθῆτα λαμπρὰν ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ.

11 Ἀφοῦ δὲ τὸν ἐξηυτέλισεν ὁ Ἡρῴδης μαζὶ μὲ τὸ στράτευμά του καὶ ἀφοῦ τὸν ἐνέπαιξε, τὸν ἐνέδυσε πρὸς μεγαλύτερον ἐμπαιγμὸν λαμπρὰν ἡγεμονικὴν στολὴν καὶ τὸν ἔστειλε πάλιν εἰς τὸν Πιλᾶτον.

12 ἐγένοντο δὲ φίλοι ὅ τε Ἡρῴδης καὶ ὁ Πιλᾶτος ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ' ἀλλήλων· προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς.

12 Μὲ τὴν κολακευτικὴν δὲ ταύτην φιλοφροσύνην, ποὺ ἔκαμεν ὁ Πιλᾶτος ἀποστείλας εἰς τὸν Ἡρῴδην τὸν Ἰησοῦν, συνεφιλιώθησαν κατ' αὐτὴν τὴν ἡμέραν μεταξύ των καὶ οἱ δύο, καὶ ὁ Πιλᾶτος δηλαδὴ καὶ ὁ Ἡρῴδης, διότι προτήτερα εἶχαν ἔχθραν μεταξύ των.

13 Πιλᾶτος δὲ συγκαλεσάμενος τοὺς ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας καὶ τὸν λαὸν

13 Ὁ Πιλᾶτος δὲ ἀφοῦ συνεκάλεσε τοὺς ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας καὶ τὸν λαόν,

14 εἶπε πρὸς αὐτούς· προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον ὡς ἀποστρέφοντα τὸν λαόν, καὶ ἰδοὺ ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον ὧν κατηγορεῖτε κατ' αὐτοῦ.

14 εἶπε πρὸς αὐτούς· Μοῦ ἐφέρατε τὸν ἄνθρωπον αὐτὸν καὶ τὸν ἐκατηγορήσατε, ὅτι ἀποτρέπει καὶ ἀπομακρύνει τὸν λαὸν ἀπὸ τὴν ὑπακοὴν καὶ νομιμοφροσύνην πρὸς τὸν Καίσαρα. Καὶ ἰδοὺ ἐγώ, ἀφοῦ τὸν ἀνέκρινα ἐμπρός σας, δὲν ηὗρα εἰς τὸν ἄνθρωπον αὐτὸν τίποτε τὸ ἔνοχον καὶ ἀξιοκατάκριτον ἀπὸ ὅλα αὐτά, ποὺ τὸν κατηγορεῖτε.

15 ἀλλ' οὐδὲ Ἡρῴδης· ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς αὐτόν· καὶ ἰδοὺ οὐδὲν ἄξιον θανάτου ἐστὶ πεπραγμένον αὐτῷ.

15 Ἀλλ' οὔτε ὁ Ἡρῴδης εὗρεν ἐνοχήν. Καὶ ἡ ἀνάκρισις αὐτὴ τοῦ Ἡρῴδου ἦτο σοβαρά, διότι ἔστειλα πρὸς αὐτὸν καὶ σᾶς διὰ νὰ διατυπώσετε μόνοι σας τὰς κατηγορίας εἰς τὸν Ἡρῴδην. Καὶ ἰδοὺ ἀπεδείχθη, ὅτι δὲν ἔχει διαπραχθῆ ἀπὸ αὐτὸν κανὲν ἔγκλημα ἄξιον τῆς ποινῆς τοῦ θανάτου.

16 παιδεύσας οὖν αὐτὸν ἀπολύσω.

16 Λοιπόν, ἀφοῦ τοῦ ἐπιβάλω κάποιαν σωφρονιστικὴν ποινὴν καὶ τὸν μαστιγώσω, θὰ τὸν ἀπολύσω.

17 ἀνάγκην δὲ εἶχεν ἀπολύειν αὐτοῖς κατὰ ἑορτὴν ἕνα.

17 Ὑπεχρεοῦτο δὲ ὁ Πιλᾶτος ἀπὸ ἔθιμον κάθε ἑορτὴν τοῦ Πάσχα νὰ ἀφίνη ἐλεύθερον πρὸς χάριν αὐτῶν ἕνα φυλακισμένον.

18 ἀνέκραξαν δὲ παμπληθεὶ λέγοντες· αἶρε τοῦτον, ἀπόλυσον δὲ ἡμῖν Βαραββᾶν·

18 Ἐφώναξε δὲ ὅλον μαζὶ τὸ πλῆθος καὶ εἶπαν· Σήκωσε αὐτὸν ἀπὸ τὸ μέσον· θανάτωσέ τον, ἄφησέ μας δὲ ἐλεύθερον τὸν Βαραββᾶν,

19 ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει καὶ φόνον βεβλημένος εἰς τὴν φυλακήν.

19 ὁ ὁποῖος εἶχε ριφθῆ εἰς τὴν φυλακὴν διὰ κάποιαν στάσιν, ποὺ ἔγινεν εἰς τὴν πόλιν τῶν Ἱεροσολύμων, καὶ διὰ κάποιον φόνον.

[9]) Μτ. κϛ΄ 62. [10]) 2. [11]) Μτ. κζ΄ 27 - 30. [13-15]) 4. [16-25]) Μρ. ιε΄ 6 - 15. Μτ. κζ΄ 15 - 26. Ἰν. ιη΄ 39 - ιθ΄ 16.

20 πάλιν οὖν ὁ Πιλᾶτος προσεφώνησε, θέλων ἀπολῦσαι τὸν Ἰησοῦν.

20 Πάλιν λοιπὸν ὁ Πιλᾶτος ἐφώναξε καὶ ὡμίλησε πρὸς τὸν λαόν, ἐπειδὴ ἤθελε νὰ ἀφήσῃ ἐλεύθερον τὸν Ἰησοῦν.

21 οἱ δὲ ἐπεφώνουν λέγοντες· σταύρωσον σταύρωσον αὐτόν.

21 Αὐτοὶ ὅμως ἐφώναζαν δυνατὰ καὶ ἔλεγον· Σταύρωσον, σταύρωσον αὐτόν.

22 ὁ δὲ τρίτον εἶπε πρὸς αὐτούς· τί γὰρ κακὸν ἐποίησεν οὗτος; οὐδὲν ἄξιον θανάτου εὗρον ἐν αὐτῷ· παιδεύσας οὖν αὐτὸν ἀπολύσω.

22 Ὁ δὲ Πιλᾶτος διὰ τρίτην φορὰν τοὺς εἶπε· θὰ τὸν ἀφήσω ἐλεύθερον καὶ δὲν θὰ τὸν σταυρώσω. Διότι τί κακὸν ἔκαμεν αὐτός; Δὲν εὗρον εἰς αὐτὸν τίποτε τὸ ἄξιον τῆς ποινῆς τοῦ θανάτου. Θὰ τὸν μαστιγώσω λοιπὸν καὶ θὰ τὸν ἀφήσω ἐλεύθερον.

23 οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις αἰτούμενοι αὐτὸν σταυρωθῆναι, καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν καὶ τῶν ἀρχιερέων.

23 Αὐτοὶ ὅμως ἐπέμενον μὲ μεγάλας φωνὰς καὶ ἐζήτουν νὰ σταυρωθῇ οὗτος. Καὶ ὑπερίσχυον αἱ φωναὶ αὐτῶν καὶ τῶν ἀρχιερέων, ὥστε νὰ μὴ ἀκούεται ἡ φωνὴ τοῦ Πιλάτου.

24 ὁ δὲ Πιλᾶτος ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν,

24 Ὡς ἐκ τούτου δὲ ὁ Πιλᾶτος ἔβγαλε τὴν ὁριστικὴν ἀπόφασιν νὰ γίνῃ αὐτό, ποὺ ἐζήτουν.

25 ἀπέλυσε δὲ αὐτοῖς τὸν Βαραββᾶν τὸν διὰ στάσιν καὶ φόνον βεβλημένον εἰς τὴν φυλακήν, ὃν ᾐτοῦντο, τὸν δὲ Ἰησοῦν παρέδωκε τῷ θελήματι αὐτῶν.

25 Τοὺς ἀφῆκε δὲ ἐλεύθερον τὸν Βαραββᾶν, ὁ ὁποῖος εἶχε ριφθῆ εἰς τὴν φυλακὴν διὰ στάσιν καὶ φόνον, καὶ τοῦ ὁποίου τὴν ἀπόλυσιν ἐζήτουν οἱ Ἰουδαῖοι, τὸν δὲ Ἰησοῦν παρέδωκε νὰ τὸν κάνουν ὅ,τι αὐτοὶ ἤθελαν, δηλαδὴ νὰ τὸν σταυρώσουν.

Στίχ. 26-38. Πρὸς τὸν Γολγοθᾶν. Αἱ κλαίουσαι γυναῖκες. Σταύρωσις τοῦ Χριστοῦ.

26 Καὶ ὡς ἀπήγαγον αὐτόν, ἐπιλαβόμενοι Σίμωνός τινος Κυρηναίου, ἐρχομένου ἀπ' ἀγροῦ, ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν φέρειν ὄπισθεν τοῦ Ἰησοῦ.

26 Καὶ ὅταν τὸν ἐπήγαιναν εἰς τὸν τόπον τῆς σταυρώσεως, ἐπειδὴ ὁ Ἰησοῦς εἶχεν ἐξαντληθῆ καὶ δὲν ἀντεῖχε πλέον νὰ βαστάζῃ τὸν σταυρόν του, ἔπιασαν κάποιον Σίμωνα Κυρηναῖον, ποὺ ἤρχετο ἀπὸ τὸ χωράφι, καὶ ἔβαλαν ἐπὶ τῶν ὤμων του τὸν σταυρόν, διὰ νὰ τὸν φέρῃ ὀπίσω ἀπὸ τὸν Ἰησοῦν.

27 ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ καὶ γυναικῶν, αἳ καὶ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν.

27 Τὸν ἠκολούθει δὲ πολὺ πλῆθος λαοῦ καὶ γυναικῶν, αἱ ὁποῖαι ἐστηθοκοποῦντο καὶ τὸν ἔκλαιον.

28 στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς εἶπε· θυγατέρες Ἱερουσαλήμ, μὴ κλαίετε ἐπ' ἐμέ, πλὴν ἐφ' ἑαυτὰς κλαίετε καὶ ἐπὶ τὰ τέκνα ὑμῶν.

28 Ἀφοῦ δὲ ἔστρεψε πρὸς αὐτὰς ὁ Ἰησοῦς εἶπε· Γυναῖκες, κάτοικοι τῆς Ἱερουσαλήμ, μὴ κλαίετε δι' ἐμέ, ἀλλὰ κλαίετε τοὺς ἑαυτούς σας καὶ τὰ παιδιά σας.

29 ὅτι ἰδοὺ ἔρχονται ἡμέραι ἐν αἷς ἐροῦσι· μακάριαι αἱ

29 Διότι ἰδού, ἔρχονται ἡμέραι, κατὰ τὰς ὁποίας θὰ εἴπουν· Καλότυχες εἶναι αἱ στεῖραι γυναῖκες καὶ κοιλίαι, ποὺ δὲν

[26]) Μρ. ιε΄ 21. Μτ. κζ΄ 32. Ἰν. ιθ΄ 17. [29]) ιθ΄ 43. 44. κα΄ 23. Μτ. κδ΄ 19.

στεῖραι καὶ κοιλίαι αἳ οὐκ ἐγέννησαν, καὶ μαστοὶ οἳ οὐκ ἐθήλασαν.

ἐγέννησαν, καὶ μαστοὶ ποὺ δὲν ἐθήλασαν μικρά. Διότι ἐκεῖναι, ποὺ θὰ ἔχουν παιδιά, θὰ θλίβωνται πολύ, ἐπειδὴ θὰ αἰσθάνωνται τὴν δυστυχίαν καὶ τὰ δεινὰ τῶν παιδιῶν τους.

30 τότε ἄρξονται λέγειν τοῖς ὄρεσι, πέσετε ἐφ' ἡμᾶς, καὶ τοῖς βουνοῖς, καλύψατε ἡμᾶς·

30 Τότε κατὰ τὰς ἡμέρας ἐκείνας, ἐπειδὴ δὲν θὰ ἠμποροῦν νὰ ὑποφέρουν τὰ δεινά, θὰ ἀρχίσουν νὰ λέγουν εἰς τὰ ὄρη· πέσατε ἐπάνω μας· Καὶ εἰς τὰ βουνὰ θὰ λέγουν· σκεπάσατέ μας, νὰ ἀποθάνωμεν διὰ μιᾶς καὶ νὰ γλυτώσωμεν ἀπὸ τὰ ἀνυπόφορα βάσανα.

31 ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γένηται;

31 Καὶ θὰ εἶναι πράγματι ἀνυπόφορα τὰ βάσανα, διότι ἐὰν εἰς ἐμέ, ποὺ εἶμαι ἀθῷος καὶ ὁμοιάζω πρὸς χλωρὸν δένδρον, ἐπειδὴ ἔχω θείαν ζωήν, κάνουν αὐτὰ οἱ Ρωμαῖοι, εἰς σᾶς, ποὺ εἶσθε δένδρον ξηρὸν καὶ νεκρὸν ἕνεκα τῆς ἁμαρτίας, τί θὰ συμβῇ;

32 Ἤγοντο δὲ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι.

32 Ὡδηγοῦντο δὲ εἰς τὸν τόπον τῆς ἐκτελέσεως ὑπὸ τῶν στρατιωτῶν καὶ ἄλλοι δύο κακοῦργοι, διὰ νὰ θανατωθοῦν μαζί του.

33 Καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τόπον, τὸν καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτὸν καὶ τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν ὃν δὲ ἐξ ἀριστερῶν.

33 Καὶ ὅταν ἔφθασαν εἰς τὸν τόπον, ποὺ λόγῳ τοῦ ἐξωτερικοῦ σχήματός του ἐλέγετο κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτὸν καὶ τοὺς κακούργους, τὸν ἕνα μὲν δεξιὰ τοῦ Ἰησοῦ, τὸν ἄλλον δὲ ἀριστερά.

34 ὁ δὲ Ἰησοῦς ἔλεγε· πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι. διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ ἔβαλλον κλῆρον.

34 Ὁ Ἰησοῦς ὅμως ἀντιθέτως πρὸς τὰ βασανιστήρια, ποὺ τοῦ ἔκαμαν, ἔλεγε· Πάτερ, συγχώρησέ τους· διότι εἶναι τυφλωμένοι ἀπὸ τὰ πάθη των καὶ δὲν ἠξεύρουν, τί κάνουν. Φονεύουν τὸν Μεσσίαν των καὶ δὲν καταλαβαίνουν, ὅτι μὲ αὐτὸ καταφέρουν θανάσιμον κτύπημα καὶ κατὰ τοῦ ἑαυτοῦ των. Καὶ ὅταν ἐμοίραζαν τὰ ἐνδύματά του, ἔρριπταν λαχνόν.

35 καὶ εἱστήκει ὁ λαὸς θεωρῶν. ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς λέγοντες· ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ τοῦ Θεοῦ ἐκλεκτός.

35 Καὶ ἐστέκετο ὁ λαὸς καὶ παρετήρει σὰν νὰ ἐπρόκειτο περὶ θεάματος περιέργου. Περιέπαιζον δὲ καὶ οἱ ἄρχοντες μαζὶ μὲ μερικοὺς ἄλλους ἐκ τοῦ λαοῦ καὶ ἔλεγον· Ἄλλους ἔσωσε μὲ τὰ ἀγυρτικά του θαύματα. Ἂς σώσῃ τώρα καὶ τὸν ἑαυτόν του, ἐὰν αὐτὸς εἶναι ὁ Χριστός, καὶ ἐὰν πράγματι ἔχῃ ἐκλεγῆ ἀπὸ τὸν Θεὸν διὰ νὰ πραγματοποιήσῃ τὸ σχέδιον τῆς σωτηρίας τοῦ Ἰσραήλ.

36 ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχόμενοι καὶ ὄξος προσφέροντες αὐτῷ

36 Τὸν ἐνέπαιζον δὲ καὶ οἱ στρατιῶται, οἱ ὁποῖοι ἐπλησίαζαν καὶ τοῦ προσέφεραν ξίδι

37 καὶ λέγοντες· εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν.

37 καὶ ἔλεγαν: Ἐὰν σὺ εἶσαι ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσε τὸν ἑαυτόν σου ἀπὸ τὸ σκληρὸν αὐτὸ μαρτύριον, ποὺ θὰ σοῦ φέρῃ τὸν θάνατον.

38 Ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν Ἑλληνικοῖς καὶ Ῥωμαϊκοῖς καὶ Ἑβραϊκοῖς· οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων.

38 Ἦτο δὲ καὶ ἐπιγραφὴ εἰς πινακίδα στερεωμένην ἀπ' ἐπάνω του, γραμμένη μὲ γράμματα ἑλληνικὰ καὶ ρωμαϊκὰ καὶ ἑβραϊκά· Αὐτὸς εἶναι ὁ βασιλεὺς τῶν Ἰουδαίων.

---

[30]) Ὡσ. ι΄ 8. Ἠσ. β΄ 19. Ἀπ. ς΄ 16. θ΄ 6. [31]) Ψ. α΄ 3. 4. Πρμ. ια΄ 31. Ἰζ. κ΄ 47. 1 Πτ. δ΄ 17. 18. [32]) κβ΄ 37. [33]) Μρ. ιε΄ 22. 27. Μτ. κζ΄ 33. 38. Ἰν. ιθ΄ 17. 18. [34]) Μρ. ιε΄ 24. Μτ. ε΄ 44. κζ΄ 35. Ἰν. ιθ΄ 23. 24. Πρ. γ΄ 17. ζ΄ 60. [35]) Μρ. ιε΄ 29. Μτ. κζ΄ 39. [36-37]) Μρ. ιε΄ 23. 31. 33. Μτ. κζ΄ 34. 42. Ἰν. ιθ΄ 28 - 30. [38]) Μρ. ιε΄ 26. Μτ. κζ΄ 37. Ἰν. ιθ΄ 19.

Στίχ. 39-43. Οἱ δύο λῃσταί.

39 Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων· εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς.

39 Ἕνας δὲ ἀπὸ τοὺς κακούργους, ποὺ ἐκρεμάσθησαν εἰς τὸν σταυρόν, τὸν ἐνέπαιζε μὲ βλασφήμους ὕβρεις καὶ ἔλεγεν· ἐὰν εἶσαι σὺ ὁ Χριστός, σῶσε τὸν ἑαυτόν σου καὶ ἡμᾶς.

40 ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ λέγων· οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ;

40 Τοῦ ἀπεκρίθη δὲ ὁ ἄλλος καὶ τὸν ἐπέπληττε λέγων· Ὕστερα ἀπὸ λίγο θὰ ἐμφανισθῇς ἐνώπιον τοῦ Θεοῦ. Οὔτε ὁ φόβος λοιπὸν τοῦ Θεοῦ σὲ συγκρατεῖ ἀπὸ τοῦ νὰ προσθέτῃς καὶ τώρα νέας ἁμαρτίας εἰς τὸν ἑαυτόν σου; Δὲν ἐνθυμεῖσαι τὸ παρελθόν σου καὶ τὰ τόσα σου ἐγκλήματα; Διότι ὑφίστασαι τὴν αὐτὴν καταδίκην καὶ τὴν αὐτὴν ποινὴν τοῦ σταυροῦ, τὴν ὁποίαν καὶ αὐτός.

41 καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε.

41 Καὶ ἡμεῖς μὲν δικαίως τιμωρούμεθα, διότι ἀπολαμβάνομεν ἄξια ἐκείνων, ποὺ ἐπράξαμεν. Αὐτὸς ὅμως δὲν ἔκαμε τίποτε τὸ ἄτοπον καὶ ἀπρεπές. Πολὺ περισσότερον δὲν ἔκαμε τίποτε τὸ ἐγκληματικόν.

42 καὶ ἔλεγε τῷ Ἰησοῦ· μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

42 Καὶ ἔλεγεν εἰς τὸν Ἰησοῦν: Ἐνθυμήσου με, Κύριε, ὅταν θὰ ἐπανέλθῃς μὲ τὴν δόξαν καὶ δύναμιν τῆς βασιλείας σου καὶ ἀνάστησέ με διὰ νὰ ἀπολαύσω καὶ ἐγὼ αὐτήν.

43 καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

43 Καὶ εἶπεν εἰς αὐτὸν ὁ Ἰησοῦς· Ἐν πάσῃ ἀληθείᾳ σὲ βεβαιῶ, ὅτι σήμερον ἀπὸ τὴν στιγμήν, ποὺ θὰ ἀποθάνωμεν, θὰ εἶσαι μαζί μου εἰς τὸν Παράδεισον.

Στίχ. 44-56. Θάνατος καὶ ταφὴ τοῦ Ἰησοῦ.

44 Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης, τοῦ ἡλίου ἐκλείποντος,

44 Ἦτο δὲ ὥρα περίπου ἓξ ἀπὸ τὴν ἀνατολὴν τοῦ ἡλίου, δηλαδὴ μεσημβρία. Καὶ ἔγινε σκότος εἰς ὅλην τὴν γῆν ἕως τὰς τρεῖς τὸ ἀπόγευμα, καὶ ἐσκοτείνιασεν ὁ ἥλιος.

45 καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον·

45 Καὶ ἐσχίσθη εἰς τὸ μέσον τὸ παραπέτασμα, ποὺ ἐχώριζεν εἰς τὸν ναὸν τὰ Ἅγια ἀπὸ τὰ Ἅγια τῶν Ἁγίων.

46 καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς εἶπε· πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου· καὶ ταῦτα εἰπὼν ἐξέπνευσεν.

46 Καὶ ἐφώναξε μὲ φωνὴν μεγάλην ὁ Ἰησοῦς καὶ εἶπε· Πάτερ, γεμᾶτος ἐλπίδα καὶ ἐμπιστοσύνην εἰς σέ, παραδίδω εἰς τὰς χεῖρας σου τὴν λογικὴν καὶ ἀθάνατον ψυχήν μου. Καὶ ἀφοῦ εἶπε τοὺς λόγους αὐτούς, ἐξεψύχησεν.

47 ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον ἐδόξασε τὸν Θεὸν λέγων· ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν.

47 Ὅταν δὲ εἶδεν ὁ ἑκατόνταρχος αὐτὸ ποὺ ἔγινε, τὸ σκότος δηλαδὴ καὶ τὸν σεισμόν, ἀλλὰ καὶ τὸν τρόπον, μὲ τὸν ὁποῖον ὁ Χριστός, ὡς ἄνθρωπος ποὺ ὥριζε τὴν ζωήν του, παρέδωκε τὸ πνεῦμα του εἰς τὸν Πατέρα του, ἐδόξασε τὸν Θεὸν μὲ τὴν ὁμολογίαν αὐτήν, ποὺ εἶπε· Πράγματι αὐτὸς ὁ ἄνθρωπος ἦτο δίκαιος καὶ δὲν ἠπατᾶτο, ὅταν ἔλεγε τὸν ἑαυτόν του Υἱὸν τοῦ Θεοῦ.

---

[39]) Μρ. ιε΄ 32. Μτ. κζ΄ 44. [42]) Μτ. ις΄ 28. [44]) Μρ. ιε΄ 33. Μτ. κζ΄ 45. [45]) Μρ. ιε΄ 38. Μτ. κζ΄ 51. [46]) Μρ. ιε΄ 37. Μτ. κζ΄ 50. Ἰν. ιθ΄ 30. Πρ. ζ΄ 59. [47]) Μρ. ιε΄ 39. Μτ. κζ΄ 54.

48 καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον.
49 εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ ἀπὸ μακρόθεν, καὶ γυναῖκες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας ὁρῶσαι ταῦτα.
50 Καὶ ἰδοὺ ἀνὴρ ὀνόματι Ἰωσήφ, βουλευτὴς ὑπάρχων καὶ ἀνὴρ ἀγαθὸς καὶ δίκαιος —
51 οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν — ἀπὸ Ἀριμαθαίας πόλεως τῶν Ἰουδαίων, ὃς προσεδέχετο καὶ αὐτὸς τὴν βασιλείαν τοῦ Θεοῦ,
52 οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ,
53 καὶ καθελὼν αὐτὸ ἐνετύλιξε σινδόνι καὶ ἔθηκεν αὐτὸ ἐν μνήματι λαξευτῷ, οὗ οὐκ ἦν οὐδεὶς οὐδέπω κείμενος·
54 καὶ ἡμέρα ἦν παρασκευή, σάββατον ἐπέφωσκε.
55 Κατακολουθήσασαι δὲ αἱ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνημεῖον καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ,
56 ὑποστρέψασαι δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα. καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν·

2 Ὅταν λοιπὸν εἶδε τὸ μνῆμα ἀνοικτόν, τρέχει καὶ ἔρχεται εἰς τὸν Σίμωνα Πέτρον καὶ εἰς τὸν ἄλλον μαθητήν, τὸν ὁποῖον ἠγάπα ὁ Ἰησοῦς, καὶ εἶπε πρὸς αὐτούς· Ἐπῆραν τὸν Κύριον ἀπὸ τὸ μνημεῖον καὶ δὲν ἠξεύρομεν, ποῦ τὸν ἔβαλαν.

3 ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητὴς καὶ ἤρχοντο εἰς τὸ μνημεῖον.

3 Κατόπιν λοιπὸν ἀπὸ τὴν ἀνέλπιστον αὐτὴν εἴδησιν, ἐβγῆκεν ἀπὸ τὸ σπίτι, ποὺ ἔμενεν, ὁ Πέτρος, μαζὶ δὲ μὲ αὐτὸν ἐβγῆκε καὶ ὁ ἄλλος μαθητὴς καὶ ἤρχοντο εἰς τὸ μνημεῖον.

[39]) γ΄ 1. 2. ζ΄ 50. Μτ. β΄ 11. [40-42]) 31. Μτ. κζ΄ 59. 60. Μρ. ιε΄ 45. 46. Λκ. κγ΄ 53. 54.
Κ΄. [1]) Μτ. κη΄ 1. Μρ. ις΄ 1. Λκ. κδ΄ 1. [2]) α΄ 37. ιγ΄ 23. [3-8]) Λκ. κδ΄ 12. 24.

4 ἔτρεχον δὲ οἱ δύο ὁμοῦ· καὶ ὁ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον,

4 Ἔτρεχαν δὲ καὶ οἱ δύο μαζί, ἀλλ' ὁ ἄλλος μαθητὴς ὡς νεώτερος ἔτρεξεν ἐμπρὸς γρηγορώτερα ἀπὸ τὸν Πέτρον καὶ ἔφθασε πρῶτος εἰς τὸ μνημεῖον.

5 καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια, οὐ μέντοι εἰσῆλθεν.

5 Καὶ ἀφοῦ ἔσκυψε, βλέπει ἀπ' ἔξω τοὺς νεκρικοὺς ἐπιδέσμους νὰ εἶναι κατὰ γῆς, λόγῳ ὅμως τῆς μεγάλης συγκινήσεώς του δὲν ἐπροχώρησε νὰ ἔμβῃ μέσα.

6 ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα,

6 Ἐνῷ λοιπὸν ἐπερίμενεν ἀπ' ἔξω, ἔρχεται καὶ ὁ Σίμων Πέτρος ὕστερα ἀπὸ αὐτὸν καὶ θαρραλέος καὶ ὁρμητικός, καθὼς ἦτο ἀπὸ χαρακτῆρος, ἐμβῆκεν εἰς τὸ μνημεῖον καὶ παρετήρησεν ἐκ τοῦ πλησίον, ὅτι οἱ νεκρικοὶ ἐπίδεσμοι ἦσαν κατὰ γῆς καὶ δὲν ἔλειπαν, ὅπως ἦτο φυσικὸν νὰ συμβῇ, ἐὰν τὸ σῶμα εἶχε κλαπῆ.

7 καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον.

7 Παρετήρησεν ἀκόμη, ὅτι τὸ φακιόλιον, μὲ τὸ ὁποῖον εἶχαν σκεπάσει τὴν κεφαλὴν τοῦ Ἰησοῦ, δὲν ἦτο ἀτάκτως ἀνακατευμένον μὲ τοὺς ἐπιδέσμους, ἀλλὰ μὲ τάξιν, ποὺ δὲν ἐπρόδιδε βίαν καὶ σπουδήν, ἦτο τυλιγμένον χωριστὰ κάπου ἐκεῖ.

8 τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε καὶ ἐπίστευσεν·

8 Τότε λοιπὸν παρακινηθεὶς ἀπὸ τὸ παράδειγμα τοῦ Πέτρου ἐμβῆκε μέσα καὶ ὁ ἄλλος μαθητής, ποὺ ἦλθε πρῶτος εἰς τὸ μνῆμα, καὶ εἶδε ταῦτα ἐκ τοῦ πλησίον καὶ αὐτὸς καὶ ἐπίστευσεν, ὅτι ὁ Ἰησοῦς ἀνέστη.

9 οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφὴν ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι.

9 Δὲν ἐπίστευσε δὲ προτήτερα, ἀλλὰ μόλις τώρα, ποὺ εἶδεν ἄδειανὸν τὸν τάφον, διότι καὶ αὐτὸς καὶ ὁ Πέτρος δὲν ἐγνώριζαν ἀκόμη τὴν ἀληθῆ ἔννοιαν τῶν προφητειῶν τῆς Γραφῆς, ὅτι σύμφωνα μὲ αὐτὰς ἔπρεπεν αὐτὸς νὰ ἀναστηθῇ ἐκ νεκρῶν.

10 ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί.

10 Ἀφοῦ λοιπὸν ἐξήτασαν τὸν τάφον καὶ ἐπείσθησαν, ὅτι πᾶσα ἄλλη ἔρευνα ἦτο περιττή, ἐπέστρεψαν πάλιν εἰς τὰ καταλύματά των οἱ μαθηταί.

11 Μαρία δὲ εἱστήκει πρὸς τῷ μνημείῳ κλαίουσα ἔξω.

11 Ἡ Μαρία ὅμως ἐν τῷ μεταξὺ ἔστεκε πλησίον τοῦ μνήματος καὶ ἔκλαιε ἔξω ἀπὸ αὐτὸ μὴ φανταζομένη ποτέ, ὅτι ὁ Ἰησοῦς ἀνέστη.

12 ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ.

12 Ἐνῷ λοιπὸν ἐξηκολούθει νὰ κλαίῃ, ἔσκυψε σὲ μιὰ στιγμὴν εἰς τὸ μνημεῖον ἀναζητοῦσα καὶ πάλιν τὸ σῶμα τοῦ Ἰησοῦ. Καὶ βλέπει τότε δύο ἀγγέλους μὲ λευκὰ ἐνδύματα, οἱ ὁποῖοι φρουροὶ τοῦ τάφου ἔνδοξοι καὶ ἀκαταγώνιστοι ἐκάθηντο ὡς ὑπηρέται τοῦ ἀναστάντος Κυρίου, ὁ ἕνας πρὸς τὸ μέρος τῆς κεφαλῆς καὶ ὁ ἄλλος πρὸς τὸ μέρος τῶν ποδῶν, ὅπου προτήτερα ἦτο τοποθετημένον κατὰ γῆς τὸ σῶμα τοῦ Ἰησοῦ.

13 καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· γύναι, τί κλαίεις; λέγει αὐτοῖς· ὅτι ἦραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν.

13 Καὶ λέγουν εἰς αὐτὴν ἐκεῖνοι· Γυναῖκα, διατί κλαίεις; Λέγει εἰς αὐτούς· Διότι ἐπῆραν τὸν Κύριόν μου ἀπὸ τὸν τάφον καὶ δὲν ἠξεύρω, ποῦ τὸν ἔβαλαν.

[a]) Λκ. κδ΄ 26. 27. 46. [10]) Λκ. κδ΄ 12. [11-12]) Μτ. κη΄ 2. 3. 5. Μρ. ις΄ 2 - 6. Λκ. κδ΄ 2. 5.

14 καὶ ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι Ἰησοῦς ἐστι.

14 Καὶ ἀφοῦ εἶπεν αὐτά, ἔστρεψεν ὀπίσω καὶ βλέπει τὸν Ἰησοῦν νὰ στέκεται ὄρθιος, ἀλλ' εἴτε διότι τὸ σῶμα τοῦ Κυρίου εἶχεν ὑποστῇ μεταβολὴν διὰ τῆς Ἀναστάσεως, εἴτε διότι ἡ Μαρία δὲν ὑπώπτευε κἂν, ὅτι ὁ Διδάσκαλος ἀνέστη, δὲν ἤξευρεν αὐτή, ὅτι αὐτὸς ποὺ τὴν ἠρώτα ἦτο ὁ Ἰησοῦς.

15 λέγει αὐτῇ ὁ Ἰησοῦς· γύναι, τί κλαίεις; τίνα ζητεῖς; ἐκείνη δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ· κύριε, εἰ σὺ ἐβάστασας αὐτόν, εἰπέ μοι ποῦ ἔθηκας αὐτόν, κἀγὼ αὐτὸν ἀρῶ.

15 Λέγει εἰς αὐτὴν ὁ Ἰησοῦς· Γυναῖκα, διατί κλαίεις; Ποῖον ζητεῖς; Ἐκείνη ἐνόμισε, πὼς ἦτο ὁ κηπουρὸς καὶ δι' αὐτὸ εἶπε πρὸς αὐτόν· Κύριε, ἐὰν τὸν ἐπῆρες σύ, πές μου ποῦ τὸν ἔβαλες, καὶ ἐγὼ θὰ τὸν πάρω ἀπὸ τὸν κῆπον σου καὶ θὰ τὸν τοποθετήσω εἰς ἄλλον τάφον.

16 λέγει αὐτῇ ὁ Ἰησοῦς· Μαρία. στραφεῖσα ἐκείνη λέγει αὐτῷ· ραββουνί, ὃ λέγεται, διδάσκαλε.

16 Τότε λέγει εἰς αὐτὴν ὁ Ἰησοῦς μὲ τὸν γνωστὸν εἰς ἐκείνην τόνον τῆς φωνῆς του· Μαρία. Ἀναγνωρίσασα δὲ ἐκείνη εὐθὺς τὴν φωνὴν τοῦ Ἰησοῦ ἔστρεψεν ὀπίσω καὶ εἶπεν εἰς αὐτόν· Ῥαββουνί, τὸ ὁποῖον εἰς τὴν Ἑλληνικὴν γλῶσσαν σημαίνει, Διδάσκαλέ μου.

17 λέγει αὐτῇ ὁ Ἰησοῦς· μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου· πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς· ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.

17 Καὶ ἐπειδὴ ἡ Μαρία ἔτρεξε νὰ περιπτυχθῇ μὲ σεβασμὸν τοὺς πόδας του, νομίσασα, ὅτι ὁ Κύριος θὰ ἐξηκολούθει καὶ τώρα νὰ ζῇ σωματικῶς, ὅπως καὶ πρὸ τοῦ παθήματος, μετὰ τῶν μαθητῶν του, λέγει εἰς αὐτὴν ὁ Ἰησοῦς· Μὴ μὲ ἐγγίζῃς καὶ μὴ συμπεριφέρεσαι πλέον πρὸς ἐμὲ σὰν νὰ πρόκειται νὰ μὲ ἔχετε πάλιν μεταξύ σας μὲ αὐτὴν τὴν μορφὴν τῆς ταπεινώσεως καὶ τῆς ἀσθενείας, ὅπως ἔζων μαζί σας καὶ πρὸ τοῦ Πάθους. Μὴ μὲ ἐγγίζῃς, διότι δὲν ἀνέβηκα ἀκόμη πρὸς τὸν Πατέρα μου καὶ συνεπῶς δὲν ἐγκαινιάσθη ἀκόμη ἡ νέα σχέσις τῆς εὐλαβοῦς καὶ λατρευτικῆς οἰκειότητος, τὴν ὁποίαν μετὰ τὴν ἀνάληψίν μου ὡς αἰώνιος καὶ οὐράνιος πλέον ἀρχιερεὺς καὶ ὡς κεφαλὴ τῆς Ἐκκλησίας ἑνωμένος μὲ αὐτὴν θὰ συνάψω πρὸς τοὺς ἀνθρώπους. Πήγαινε δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ εἰς αὐτούς· Ἀναβαίνω πρὸς τὸν Πατέρα μου, ὁ ὁποῖος δι' ἐμοῦ ἔγινε καὶ ἰδικός σας κατὰ χάριν Πατήρ, ἔγινε δὲ καὶ ἀφ' ὅτου ἐνηνθρώπησα καὶ Θεός μου, ὅπως εἶναι καὶ Θεὸς ἰδικός σας.

18 ἔρχεται Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

18 Ἔρχεται Μαρία ἡ Μαγδαληνὴ καὶ ἀναγγέλλει εἰς τοὺς μαθητάς, ὅτι εἶδε τὸν Κύριον, ὁ ὁποῖος καὶ εἶπεν εἰς αὐτὴν τοὺς λόγους αὐτούς.

19 Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν.

19 Εἰς ἐπιβεβαίωσιν λοιπὸν τῆς μαρτυρίας ταύτης τῆς Μαρίας, ὅταν ἐβράδυασε κατὰ τὴν ἡμέραν ἐκείνην, τὴν πρώτην τῆς ἑβδομάδος, καὶ ἐνῷ αἱ θύραι τοῦ σπιτιοῦ, ὅπου ἦσαν μαζευμένοι οἱ μαθηταί, ἦσαν κλεισταὶ ἕνεκα τοῦ φόβου, ποὺ εἶχαν οὗτοι διὰ τοὺς Ἰουδαίους, ἦλθεν ὁ Ἰησοῦς καὶ ἐστάθη εἰς τὸ μέσον καὶ εἶπεν εἰς αὐτούς· ἂς εἶναι εἰρήνη εἰς σᾶς.

[14]) κα΄ 4. Μτ. κη΄ 19. Μρ. ις΄ 9. Λκ. κδ΄ 16. [17]) Ψ. κα΄ 23. Μτ. κη΄ 10. [18]) Μρ. ις΄ 10. Λκ. κδ΄ 9. 10. [19]) 26. Μρ. ις΄ 14. Λκ. κδ΄ 36.

20 καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον.

20 Καὶ ἀφοῦ εἶπε τοῦτο, ἔδειξεν εἰς αὐτοὺς τὰς χεῖρας καὶ τὴν πλευράν του διὰ νὰ ἴδουν τὰ σημάδια τῶν πληγῶν καὶ πεισθοῦν, ὅτι αὐτὸς ἦτο ὁ σταυρωθεὶς Διδάσκαλός των. Κατόπιν λοιπὸν τῆς πληροφορίας, τὴν ὁποίαν διὰ τῆς ἐπιδείξεως αὐτῆς τῶν θεραπευθεισῶν πληγῶν ἐσχημάτισαν, ἐχάρησαν οἱ μαθηταί, ὅταν εἶδαν τὸν Κύριον.

21 εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· εἰρήνη ὑμῖν. καθὼς ἀπέσταλκέ με ὁ πατήρ, κἀγὼ πέμπω ὑμᾶς.

21 Ὅταν λοιπὸν ἡσύχασε κάπως ἡ πρώτη σφοδρὰ συγκίνησις, ποὺ ἐδοκίμασαν ἐξ αἰτίας τῆς μεγάλης των χαρᾶς οἱ μαθηταί, εἶπε πάλιν εἰς αὐτοὺς ὁ Ἰησοῦς ἐν σχέσει πρὸς τὴν μέλλουσαν κλῆσιν καὶ ἀποστολήν των· Ἂς εἶναι εἰρήνη εἰς σᾶς. Καθὼς μὲ ἀπέστειλεν ὁ Πατὴρ διὰ τὸ ἔργον τῆς σωτηρίας τῶν ἀνθρώπων, ἔτσι καὶ ἐγὼ σᾶς στέλλω πρὸς ἐξακολούθησιν τοῦ αὐτοῦ ἔργου.

22 καὶ τοῦτο εἰπὼν ἐνεφύσησε καὶ λέγει αὐτοῖς· λάβετε Πνεῦμα Ἅγιον·

22 Καὶ ἀφοῦ εἶπεν αὐτό, προκειμένου νὰ μεταδώσῃ εἰς αὐτοὺς τὴν πνοὴν τῆς νέας οὐρανίου ζωῆς, ἐνεφύσησεν εἰς τὰ πρόσωπά των, ὅπως ἄλλοτε ὁ Θεὸς εἰς τὸ πρόσωπον τοῦ Ἀδάμ, καὶ τοὺς εἶπε· Λάβετε Πνεῦμα Ἅγιον.

23 ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται.

23 Εἰς ὁποιους συγχωρήσετε τὰς ἁμαρτίας, τοὺς συγχωροῦνται αὐταὶ καὶ ἀπὸ τὸν Θεόν· εἰς ὁποιους δὲ τὰς κρατεῖτε ἀσυγχώρητες, θὰ μείνουν γιὰ πάντα κρατημένες.

24 Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς.

24 Ὁ Θωμᾶς ὅμως, ἕνας ἀπὸ τοὺς δώδεκα Ἀποστόλους, ποὺ ἐλέγετο ἀπὸ τοὺς ὁμιλοῦντας τὴν ἑλληνικὴν γλῶσσαν Ἑβραίους Δίδυμος, δὲν ἦτο μαζί τους, ὅταν ἦλθεν ὁ Ἰησοῦς.

25 ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· ἑωράκαμεν τὸν Κύριον. ὁ δὲ εἶπεν αὐτοῖς· ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω.

25 Ὅταν λοιπὸν ἦλθε, τοῦ ἔλεγαν οἱ ἄλλοι μαθηταί· Εἴδαμεν τὸν Κύριον. Αὐτὸς ὅμως τοὺς ἀπήντησεν· Ἐὰν δὲν ἴδω μὲ τὰ μάτια μου εἰς τὰς χεῖρας του τὸ σημάδι τῶν καρφιῶν καὶ δὲν βάλω τὸ δάκτυλό μου εἰς τὸ σημάδι τῶν καρφιῶν καὶ δὲν βάλω τὸ χέρι μου εἰς τὴν πλευράν του, ὥστε ὄχι μόνον μὲ τὰ μάτια μου, ἀλλὰ καὶ μὲ τὰ δάκτυλά μου νὰ βεβαιωθῶ, δὲν θὰ πιστεύσω.

26 Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ καὶ Θωμᾶς μετ' αὐτῶν. ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν· εἰρήνη ὑμῖν.

26 Πράγματι δὲ ὕστερα ἀπὸ ὀκτὼ ἡμέρας ἦσαν πάλιν μέσα εἰς τὸ σπίτι οἱ μαθηταὶ καὶ μαζὶ μὲ αὐτοὺς ἦτο καὶ ὁ Θωμᾶς. Ἔρχεται ὁ Ἰησοῦς, ἐνῷ ἦσαν κλεισταὶ αἱ θύραι καὶ ἐστάθη εἰς τὸ μέσον τῶν μαθητῶν καὶ εἶπεν· ἂς εἶναι εἰρήνη εἰς σᾶς.

27 εἶτα λέγει τῷ Θωμᾷ· φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ

27 Ἔπειτα λέγει εἰς τὸν Θωμᾶν· Φέρε ἐδῶ τὸν δάκτυλόν σου. Καὶ ἐνῷ μὲ τὴν ψηλάφησίν σου θὰ ἐξετάζῃς τὰ σημάδια τῶν πληγῶν μου, συγχρόνως καὶ μὲ τὰ μάτια σου ἴδε τὰς χεῖρας μου καὶ φέρε κάτω ἀπὸ τὰ ἐνδύματά μου τὴν χεῖρα σου καὶ βάλε την εἰς τὴν πλευράν μου, ποὺ ἐκτυπήθη ἀπὸ τὴν λόγχην,

[20]) 27. ιϛ΄ 22. ιθ΄ 34. 1 Ἰν. α΄ 1. [21]) ιζ΄ 18. [22-23]) Γν. β΄ 7. Μτ. ιϛ΄ 19. ιη΄ 18. [24]) ια΄ 16. ιδ΄ 5. [25]) 20. ιθ΄ 34. 35. [26]) 19. [27]) 20. 25.

μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός.

καὶ μὴ ἀφίνῃς τὸν ἑαυτόν σου νὰ κυριευθῇ ἀπὸ τὴν ἀπιστίαν, ὥστε νὰ γίνῃς μονίμως καὶ ἀνεπανορθώτως ἄπιστος, ἀλλὰ προόδευε καὶ στηρίζου εἰς τὴν πίστιν, ὥστε νὰ γίνῃς ἀμετακίνητος καὶ ἀδιάσειστος εἰς αὐτήν.

28 καὶ ἀπεκρίθη Θωμᾶς καὶ εἶπεν αὐτῷ· ὁ Κύριός μου καὶ ὁ Θεός μου.

28 Καὶ ὁ Θωμᾶς τότε ἀπεκρίθη καὶ εἶπεν εἰς αὐτόν· Πιστεύω καὶ ὁμολογῶ, ὅτι εἶσαι ὁ Κύριός μου καὶ ὁ Θεός μου.

29 λέγει αὐτῷ ὁ Ἰησοῦς· ὅτι ἑώρακάς με, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες.

29 Λέγει εἰς αὐτὸν ὁ Ἰησοῦς· Ἐπίστευσες, ἐπειδὴ μὲ εἶδες. Μακαριώτεροι καὶ περισσότερον καλότυχοι εἶναι ἐκεῖνοι, οἱ ὁποῖοι, καίτοι δὲν εἶδαν μὲ τὰ μάτια τους, ὅπως εἶδες σύ, ἐπίστευσαν. Καὶ θὰ πιστεύσουν οὕτως ὅλα τὰ μέλη τῆς Ἐκκλησίας μου κατὰ τὰς ἐπερχομένας γενεάς.

30 Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ·

30 Σύμφωνα λοιπὸν μὲ ὅσα ἐξιστορήσαμεν, ἐκτὸς ἀπὸ τὸ θαῦμα τῆς Ἀναστάσεώς του ἔκαμεν ὁ Ἰησοῦς ἐμπρὸς εἰς τὰ μάτια τῶν μαθητῶν του καὶ πολλὰ ἄλλα ἀποδεικτικὰ θαύματα, ποὺ ἐδείκνυαν τὴν θεότητά του καὶ τὰ ὁποῖα δὲν εἶναι γραμμένα εἰς τὸ βιβλίον αὐτό.

31 ταῦτα δὲ γέγραπται ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

31 Αὐτὰ δέ, ποὺ ἐξεθέσαμεν, ἐγράφησαν διὰ νὰ πιστεύσετε, ὅτι ὁ Ἰησοῦς εἶναι ὁ ὑπὸ τῶν προφητῶν προκηρυχθεὶς Χριστός, ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ἔχετε ὡς ἀναφαίρετον κτῆμα σας τὴν νέαν καὶ θείαν καὶ αἰωνίαν ζωήν, ἡ ὁποία μεταδίδεται εἰς τὰς ψυχὰς τῶν ἀνθρώπων διὰ μέσου αὐτοῦ καὶ τῆς ἐπικλήσεως τοῦ ὀνόματός του.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

Στίχ. 1-23. Ἐμφάνισις εἰς ἑπτὰ μαθητὰς εἰς τὴν Τιβεριάδα. Ἀποκατάστασις τοῦ Πέτρου εἰς τὸ ἀποστολικὸν ἀξίωμα.

Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· ἐφανέρωσε δὲ οὕτως.

Μετὰ ταῦτα ἐφανέρωσε τὸν ἑαυτόν του πάλιν ὁ Ἰησοῦς εἰς τοὺς μαθητάς του εἰς τὴν λίμνην τῆς Τιβεριάδος. Τὸν ἐφανέρωσε δὲ κατὰ τὸν ἑξῆς τρόπον.

2 ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο.

2 Ἦσαν μαζὶ ὁ Σίμων Πέτρος, καὶ ὁ Θωμᾶς, ποὺ ἐλέγετο Δίδυμος, καὶ ὁ Ναθαναήλ, ποὺ κατήγετο ἀπὸ τὴν Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ υἱοὶ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι δύο ἀπὸ τοὺς μαθητάς του.

[28]) α΄ 1. ια΄ 16. [29]) 1 Πτ. α΄ 8. 2 Κρ. ε΄ 7. (16). [30]) κα΄ 25. [31]) γ΄ 15. 1 Ἰν. α΄ 4. β΄ 1. 26. ε΄ 13.
ΚΑ΄. [1]) ϛ΄ 1. Μτ. κϛ΄ 32. κη΄ 7. [2]) α΄ 46. ια΄ 16.

*3 λέγει αὐτοῖς Σίμων Πέ-
τρος· ὑπάγω ἁλιεύειν. λέ-
γουσιν αὐτῷ· ἐρχόμεθα καὶ
ἡμεῖς σὺν σοί. ἐξῆλθον καὶ
ἐνέβησαν εἰς τὸ πλοῖον εὐ-
θύς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ
ἐπίασαν οὐδέν.
4 πρωΐας δὲ ἤδη γενομένης
ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰ-
γιαλόν· οὐ μέντοι ᾔδεισαν
οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστι.
5 λέγει οὖν αὐτοῖς ὁ Ἰη-
σοῦς· παιδία, μή τι προσφά-
γιον ἔχετε; ἀπεκρίθησαν
αὐτῷ· οὔ.
6 ὁ δὲ εἶπεν αὐτοῖς· βάλετε
εἰς τὰ δεξιὰ μέρη τοῦ
πλοίου τὸ δίκτυον, καὶ εὑ-
ρήσετε. ἔβαλον οὖν, καὶ
οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυ-
σαν ἀπὸ τοῦ πλήθους τῶν ἰ-
χθύων.
7 λέγει οὖν ὁ μαθητὴς ἐκεῖ-
νος, ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ
Πέτρῳ· ὁ Κύριός ἐστι. Σί-
μων οὖν Πέτρος ἀκούσας
ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπεν-
δύτην διεζώσατο· ἦν γὰρ
γυμνός· καὶ ἔβαλεν ἑαυτὸν
εἰς τὴν θάλασσαν·
8 οἱ δὲ ἄλλοι μαθηταὶ τῷ
πλοιαρίῳ ἦλθον· οὐ γὰρ ἦ-
σαν μακρὰν ἀπὸ τῆς γῆς,
ἀλλ' ὡς ἀπὸ πηχῶν διακο-
σίων· σύροντες τὸ δίκτυον
τῶν ἰχθύων.
9 ὡς οὖν ἀπέβησαν εἰς τὴν
γῆν, βλέπουσιν ἀνθρακιὰν
κειμένην καὶ ὀψάριον ἐπι-
κείμενον καὶ ἄρτον.
10 λέγει αὐτοῖς ὁ Ἰησοῦς·
ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων
ὧν ἐπιάσατε νῦν.
11 ἀνέβη Σίμων Πέτρος
καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ*

3 Λέγει εἰς αὐτοὺς ὁ Σίμων Πέτρος· Πηγαίνω νὰ ψαρέψω. Λέ-
γουν εἰς αὐτὸν ἐκεῖνοι· Ἐρχόμεθα καὶ μεῖς μαζί σου. Ἐβγῆκαν
λοιπὸν ἀπὸ τὸ κατάλυμά των πρὸς τὴν θάλασσαν καὶ ἐμβῆκαν
ἀμέσως εἰς τὸ πλοῖον καὶ ἤρχισαν νὰ ψαρεύουν. Καὶ κατ' ἐκεί-
νην τὴν νύκτα δὲν ἔπιασαν τίποτε.

4 Ὅταν δὲ πλέον ἔγινε πρωΐ, ἐστάθη ὁ Ἰησοῦς στὴν ἀκρογια-
λιά. Οἱ μαθηταὶ ὅμως δὲν ἀντελήφθησαν, ὅτι αὐτός, ποὺ ἐστέ-
κετο ἐκεῖ, ἦτο ὁ Ἰησοῦς.

5 Σὰν νὰ ἦτο λοιπὸν ξένος καὶ ἄγνωστος διαβάτης, λέγει πρὸς
αὐτοὺς ὁ Ἰησοῦς· Παιδιά, μήπως ἔχετε κανένα ψάρι γιὰ προσ-
φάγι; Ἀπεκρίθησαν εἰς αὐτόν· Ὄχι.

6 Ἐκεῖνος δὲ τότε εἶπε πρὸς αὐτούς· Ρίψατε τὸ δίκτυον εἰς τὰ
δεξιὰ τοῦ πλοίου καὶ θὰ εὕρετε. Ἔρριψαν λοιπὸν σύμφωνα μὲ
τὴν σύστασιν αὐτὴν καὶ δὲν ἠμπόρεσαν νὰ τραβήξουν ἐπάνω
τὸ δίκτυον ἀπὸ τὸ πλῆθος τῶν ψαριῶν, ποὺ εἶχε πιάσει.

7 Κατόπιν λοιπὸν ἀπὸ τὴν πρωτοφανῆ αὐτὴν ἐπιτυχίαν, λέγει
ὁ μαθητὴς ἐκεῖνος, τὸν ὁποῖον ἠγάπα ὁ Ἰησοῦς, εἰς τὸν Πέ-
τρον· Αὐτός, ποὺ τὸν ἐνομίσαμεν ὡς ξένον, εἶναι ὁ Κύριος. Ὁ
Σίμων Πέτρος λοιπόν, ὅταν ἤκουσεν, ὅτι ἐκεῖ ἦτο ὁ Κύριος, ἐ-
φόρεσε βιαστικὰ καὶ ἐζώσθη τὸν ἐργατικὸν σάκκον του, διότι
μέχρι τῆς στιγμῆς ἐκείνης ἦτο σχεδὸν γυμνός· καὶ ὁρμητικός,
καθὼς ἦτο, ἐρρίφθη εἰς τὴν θάλασσαν, διὰ νὰ συναντήσῃ τὸ
συντομώτερον τὸν Διδάσκαλον.
8 Οἱ ἄλλοι μαθηταὶ ὅμως ἦλθαν πρὸς τὸν Ἰησοῦν μὲ τὸ πλοιά-
ριον· διότι δὲν ἦσαν μακρὰν ἀπὸ τὴν ξηράν, ἀλλ' ἀπεῖχον πε-
ρίπου διακόσιες πήχεις. Καὶ ἦλθαν σύροντες τὸ γεμᾶτον ἀπὸ
τὰ συλληφθέντα ψάρια δίκτυον.

9 Εὐθὺς λοιπὸν ὡς ἀπεβιβάσθησαν εἰς τὴν ξηράν, κάθυγροι
καὶ κατάκοποι καὶ πεινασμένοι, βλέπουν ἕτοιμον κατὰ γῆς σω-
ρὸν ἀπὸ κάρβουνα ἀναμμένα καὶ ἐπάνω εἰς αὐτὸν ἕνα ψάρι καὶ
χωριστὰ εἰς μικρὰν ἀπόστασιν ἕνα ἄρτον. Ηὗραν δηλαδὴ φω-
τιά, διὰ νὰ θερμανθοῦν καὶ ξηρανθοῦν τὰ ἐνδύματά των, καὶ
φαγητὸν διὰ τὸ πρωϊνόν τους.
10 Καὶ διὰ νὰ συμπληρωθῇ τὸ πρωϊνὸν αὐτὸ καὶ ἀπὸ τὸ
προϊὸν τοῦ κόπου των, λέγει εἰς αὐτοὺς ὁ Ἰησοῦς· Φέρετε καὶ
ἀπὸ τὰ ψάρια, ποὺ ἐπιάσατε τώρα.
11 Ἐπειδὴ δὲ τὸ δίκτυον ἦτο ἀκόμη μέσα εἰς τὴν λίμνην καὶ ἕ-
νεκα τοῦ βάρους του ἦτο δύσκολον νὰ τραβηχθῇ, ἀνέβη ὁ Σί-

[3]) Λκ. ε΄ 5. [4]) κ΄ 14. 19. 26. [5]) Λκ. κδ΄ 41. [6]) 11. Λκ. ε΄ 4 - 6. [7]) ιγ΄ 23. [8]) Λκ. ε΄ 7. [11]) 6.

*τῆς γῆς, μεστὸν ἰχθύων με-
γάλων ἑκατὸν πεντήκοντα
τριῶν· καὶ τοσούτων ὄντων
οὐκ ἐσχίσθη τὸ δίκτυον.
12 λέγει αὐτοῖς ὁ Ἰησοῦς·
δεῦτε ἀριστήσατε. οὐδεὶς
δὲ ἐτόλμα τῶν μαθητῶν ἐξ-
ετάσαι αὐτὸν σὺ τίς εἶ, εἰδό-
τες ὅτι ὁ Κύριός ἐστιν.
13 ἔρχεται οὖν ὁ Ἰησοῦς
καὶ λαμβάνει τὸν ἄρτον καὶ
δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψά-
ριον ὁμοίως.
14 Τοῦτο ἤδη τρίτον ἐφανε-
ρώθη ὁ Ἰησοῦς τοῖς μαθη-
ταῖς αὐτοῦ ἐγερθεὶς ἐκ νε-
κρῶν.
15 Ὅτε οὖν ἠρίστησαν,
λέγει τῷ Σίμωνι Πέτρῳ ὁ
Ἰησοῦς· Σίμων Ἰωνᾶ, ἀγα-
πᾷς με πλεῖον τούτων; λέγει
αὐτῷ· ναί, Κύριε, σὺ οἶδας
ὅτι φιλῶ σε. λέγει αὐτῷ·
βόσκε τὰ ἀρνία μου.
16 λέγει αὐτῷ πάλιν δεύτε-
ρον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς
με; λέγει αὐτῷ· ναί, Κύριε,
σὺ οἶδας ὅτι φιλῶ σε. λέγει
αὐτῷ· ποίμαινε τὰ πρόβατά
μου.
17 λέγει αὐτῷ τὸ τρίτον·
Σίμων Ἰωνᾶ, φιλεῖς με; ἐ-
λυπήθη ὁ Πέτρος ὅτι εἶπεν
αὐτῷ τὸ τρίτον, φιλεῖς με,
καὶ εἶπεν αὐτῷ· Κύριε, σὺ
πάντα οἶδας, σὺ γινώσκεις
ὅτι φιλῶ σε. λέγει αὐτῷ ὁ
Ἰησοῦς· βόσκε τὰ πρόβατά
μου.*

μων Πέτρος ὡς ἐμπειρότερος ἀπὸ τοὺς ἄλλους εἰς τὸ πλοιά-
ριον καὶ ἐτράβηξε τὸ δίκτυον εἰς τὴν ξηράν, γεμᾶτον ἀπὸ ψά-
ρια μεγάλα ἑκατὸν πεντήκοντα τρία. Καίτοι δὲ ἦσαν τόσον
πολλὰ τὰ ψάρια, δὲν ἐσχίσθη τὸ δίκτυον.
12 Λέγει εἰς αὐτοὺς ὁ Ἰησοῦς· Ἔλθετε τώρα νὰ πάρετε τὸ
πρωϊνόν σας. Ἐν τῷ μεταξὺ δὲ κανεὶς ἀπὸ τοὺς μαθητὰς δὲν ἐ-
τόλμα νὰ τὸν ἐξετάσῃ καὶ νὰ τὸν ἐρωτήσῃ· Ποῖος εἶσαι σύ;
Διότι ἤξευραν, ὅτι εἶναι ὁ Κύριος. Καὶ συνεπῶς ᾐσθάνοντο ἀ-
πέναντί του φόβον καὶ βαθὺν σεβασμόν.
13 Ἀφοῦ λοιπὸν κατόπιν τῆς προσκλήσεως τοῦ Ἰησοῦ ἦλθαν
οἱ μαθηταὶ νὰ φάγουν, ἔρχεται ὁ Ἰησοῦς καὶ παίρνει εἰς τὰς
χεῖρας του τὸν ἄρτον καὶ ἐμοίρασε τοῦτον εἰς αὐτούς, ὁμοίως
δὲ καὶ τὸ ὀψάριον.
14 Αὐτὴ ἦτο ἡ τρίτη φορὰ ἕως τότε, ποὺ ἐφανερώθη ὁ Ἰησοῦς
εἰς συναθροισμένους τοὺς μαθητάς του, ἀφ' ὅτου ἀνεστήθη ἐκ
νεκρῶν.

15 Ὅταν λοιπὸν ἐπῆραν τὸ πρωϊνό τους, εἶπεν ὁ Ἰησοῦς εἰς
τὸν Σίμωνα Πέτρον· Σίμων, υἱὲ τοῦ Ἰωνᾶ, μὲ ἀγαπᾷς περισσό-
τερον ἀπὸ αὐτούς, τοὺς ἄλλους συμμαθητάς σου, ὅπως μοῦ ἔ-
λεγες καυχώμενος κατὰ τὴν νύκτα τῆς συλλήψεώς μου; Ὁ
Πέτρος τώρα διδαγμένος ἀπὸ τὸ πάθημά του ἐκφράζεται μὲ
γλῶσσαν ταπεινοφροσύνης καὶ λέγει εἰς αὐτόν· Ναί, Κύριε, σὺ
γνωρίζεις, ὅτι σὲ ἀγαπῶ. Λέγει εἰς αὐτὸν ὁ Ἰησοῦς· Βόσκε τὰ
λογικὰ ἀρνία τῆς πνευματικῆς μου ποίμνης καὶ φρόντιζε νὰ
τρέφωνται καὶ νὰ οἰκοδομοῦνται ταῦτα μὲ τὴν διδασκαλίαν
τῆς ἀληθείας καὶ μὲ κάθε μέσον πνευματικῆς παιδαγωγίας.
16 Λέγει εἰς αὐτὸν ὁ Ἰησοῦς πάλιν διὰ δευτέραν φοράν· Σί-
μων, υἱὲ τοῦ Ἰωνᾶ, μὲ ἀγαπᾷς; Λέγει εἰς αὐτόν· Ναί, Κύριε, σὺ
γνωρίζεις, ὅτι σὲ ἀγαπῶ. Λέγει εἰς αὐτὸν ὁ Ἰησοῦς· Ποίμαινε
τὰ λογικὰ πρόβατά μου, ἐπιστατῶν καὶ ἀγρυπνῶν διὰ τὴν ἀ-
σφάλειαν καὶ σωτηρίαν των.

17 Λέγει εἰς αὐτὸν ὁ Ἰησοῦς διὰ τρίτην φοράν· Σίμων, υἱὲ τοῦ
Ἰωνᾶ, μὲ ἀγαπᾷς; Ἐπειδὴ δὲ ἐφαίνετο διὰ τῆς νέας αὐτῆς ἐρω-
τήσεως, ὅτι ὁ Διδάσκαλος ἀμφέβαλλεν ἀκόμη διὰ τὴν ἀγάπην
τοῦ Πέτρου, ἐλυπήθη ὁ Πέτρος, διότι εἶπεν εἰς αὐτὸν ὁ Κύριος
διὰ τρίτην φοράν· Μὲ ἀγαπᾷς; Καὶ ἐπειδὴ ἡ τριπλῆ ἄρνησις
τὸν εἶχε διδάξει νὰ μὴ ἔχῃ πλέον ἐμπιστοσύνην εἰς τὸν ἑαυτόν
του, εἶπεν εἰς αὐτόν· Κύριε, σὺ τὰ γνωρίζεις ὅλα, σὺ ἠξεύρεις,
ὅτι σὲ ἀγαπῶ. Λέγει εἰς αὐτὸν ὁ Ἰησοῦς· Βόσκε τὰ πρόβατά
μου. Καὶ ἀφοῦ μὲ τὴν τριπλῆν αὐτὴν βεβαίωσίν του ὁ Πέτρος
ἐπανώρθωσε τὸ ἁμάρτημα τῆς τριπλῆς ἀρνήσεώς του, καὶ ἀπο-
κατεστάθη εἰς τὸ ἀποστολικὸν ἀξίωμα, ὁ Κύριος πληροφορῶν
αὐτόν, ὅτι δὲν θὰ τὸν ἠρνεῖτο πλέον, τοῦ προσθέτει:

[11]) δ΄ 27. [13]) ς΄ 11. Λκ. κδ΄ 30. 43. [14]) κ΄ 19. 26. [15-17]) α΄ 43. 49. β΄ 24. 25. ιγ΄ 37. ις΄ 30. Μτ. θ΄ 36. κς΄ 33. Μρ. β΄ 8. Πρ. κ΄ 28. 1 Πτ. ε΄ 2. 3. Ἀπ. ζ΄ 17.

18 ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις.

18 Ἀληθῶς, ἀληθῶς σοῦ λέγω, ὅταν ἦσουν νεώτερος ἔζωνες μόνος σου τὸν ἑαυτόν σου καὶ ἐβάδιζες, ὅπου ἤθελες. Ὅταν δὲ θὰ γηράσῃς, θὰ ἐξαπλώσῃς τὰς χεῖρας σου καὶ ἄλλος θὰ σὲ ζώσῃ καὶ θὰ σὲ φέρῃ ἐκεῖνος εἰς μέρος, ὅπου δὲν θέλεις. Δηλαδὴ θὰ σὲ ὁδηγήσῃ εἰς τὸ μαρτύριον, τὸ ὁποῖον ἂν καὶ μὲ τὴν προαίρεσίν σου θὰ τὸ ἀσπάζεσαι, λόγῳ ὅμως τῆς φυσικῆς ἀποστροφῆς τῶν ἀνθρώπων πρὸς τὸν θάνατον, φυσικὰ καὶ σὺ θὰ τὸ ἀποστέργῃς.

19 τοῦτο δὲ εἶπε σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. καὶ τοῦτο εἰπὼν λέγει αὐτῷ· ἀκολούθει μοι.

19 Ὁ Κύριος λοιπὸν εἶπε τοῦτο σημαίνων μὲ ποῖον εἶδος θανάτου θὰ δοξάσῃ ὁ Πέτρος τὸν Θεόν. Καὶ ἀφοῦ εἶπε τοῦτο, λέγει εἰς αὐτόν· Ἀκολούθει με.

20 ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ εἶπε· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε;

20 Ἐνῷ δὲ ἐβάδιζαν, ἐστρεψεν ὀπίσω ὁ Πέτρος καὶ εἶδε τὸν μαθητήν, ποὺ ἠγάπα ὁ Ἰησοῦς, νὰ ἀκολουθῇ καὶ αὐτός. Ὁ μαθητὴς αὐτὸς ἔπεσε καὶ κατὰ τὸ δεῖπνον ἐπὶ τοῦ στήθους τοῦ Ἰησοῦ καὶ εἶπε· Κύριε, ποῖος εἶναι αὐτός, ποὺ πρόκειται νὰ σὲ παραδώσῃ;

21 τοῦτον ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί;

21 Αὐτὸν τὸν μαθητὴν ὅταν τὸν εἶδεν ὁ Πέτρος, λέγει εἰς τὸν Ἰησοῦν· Κύριε, αὐτὸς δὲ τί θὰ γίνῃ καὶ τί τοῦ ἐπιφυλάσσεται;

22 λέγει αὐτῷ ὁ Ἰησοῦς· ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; σὺ ἀκολούθει μοι.

22 Τότε ὁ Ἰησοῦς εἶπεν εἰς τὸν Πέτρον· Ὑπόθεσε, ὅτι θέλω αὐτὸς νὰ μείνῃ εἰς τὴν ζωὴν αὐτὴν μέχρις ὅτου ἔλθω κατὰ τὴν δευτέραν μου παρουσίαν. Τί σὲ ἐνδιαφέρει αὐτὸ καὶ τί ἔχεις νὰ κερδίσῃς σύ, ἐὰν μάθῃς, τί θὰ ἀπογίνῃ αὐτός; Σὺ ἀκολούθει με καὶ φρόντιζε διὰ τὴν ἰδικήν σου σωτηρίαν.

23 ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφοὺς ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνήσκει, ἀλλ' ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ;

23 Ἐκ παρεξηγήσεως λοιπὸν τῶν λόγων τούτων τοῦ Ἰησοῦ διεδόθη μεταξὺ τῶν ἀδελφῶν Χριστιανῶν ἡ φήμη αὐτή, ὅτι δηλαδὴ ὁ μαθητὴς ἐκεῖνος δὲν πεθαίνει. Καὶ δὲν εἶπεν ὁ Ἰησοῦς εἰς τὸν Πέτρον, ὅτι ὁ μαθητὴς αὐτὸς δὲν θὰ ἀποθάνῃ. Ἀλλ' εἶπεν ὑποθετικῶς· Ἐὰν αὐτὸς θέλω νὰ μένῃ μέχρις ὅτου ἔλθω, τί νοιάζεσαι σύ;

24 Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων καὶ γράψας ταῦτα, καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ.

24 Ὁ μαθητὴς δὲ ἐκεῖνος εἶναι αὐτός, ποὺ ἐξακολουθεῖ καὶ τώρα νὰ δίδῃ μαρτυρίαν δι' αὐτά, ποὺ ἱστοροῦνται εἰς τὸ Εὐαγγέλιον τοῦτο, καὶ ὁ ὁποῖος κατέγραψε ταῦτα. Καὶ γνωρίζομεν, ὅτι ἡ μαρτυρία του εἶναι ἀληθής.

25 ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. ἀμήν.

25 Ὑπάρχουν δὲ καὶ πολλὰ ἄλλα, ὅσα ἔκαμεν ὁ Ἰησοῦς, τὰ ὁποῖα, ἐὰν γράφωνται λεπτομερῶς ἕνα - ἕνα, νομίζω ὅτι καὶ αὐτὸς ὁ κόσμος μὲ ὅλας τὰς βιβλιοθήκας του δὲν θὰ χωρέσῃ τὰ βιβλία ποὺ θὰ γράφωνται. Ἀληθῶς.

18-19) ιβ΄ 33. ιγ΄ 36. ιη΄ 32. Πρ. κα΄ 11. 2 Πτ. α΄ 14. 20) 7. ιγ΄ 23. 23) Μτ. ι΄ 23. ις΄ 28. 1 Κρ. ιε΄ 51. 52. 24) ιθ΄ 35. 3 Ἰν. 12. 25) κ΄ 30.

ΑΙ ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

«Αἱ Πράξεις τῶν Ἀποστόλων», ἢ καὶ ἁπλῶς «Πράξεις τῶν Ἀποστόλων», εἶναι τὸ βιβλίον, εἰς τὸ ὁποῖον ἀναφέρονται πολλὰ ἀπὸ ὅσα ἔκαμαν οἱ ἅγιοι Ἀπόστολοι διὰ τὴν ἵδρυσιν καὶ ἐπέκτασιν τῆς Ἐκκλησίας. Αἱ Πράξεις δὲν εἶναι ἱστορία τοῦ ἔργου ὅλων τῶν Ἀποστόλων. Ἁπλῶς καὶ μόνον ἀναφέρεται εἰς γενικὰς γραμμὰς ἡ δρᾶσις τῶν δύο κορυφαίων Ἀποστόλων, Πέτρου καὶ Παύλου, μάλιστα δὲ τοῦ δευτέρου.

Συγγραφεὺς τῶν Πράξεων τῶν Ἀποστόλων εἶναι ὁ εὐαγγελιστὴς Λουκᾶς, ὅπως δὲ τὸ Εὐαγγέλιον, τὸν «πρῶτον λόγον», ὅπως τὸν ὀνομάζει, τὸ ἔγραψε χάριν ἑνὸς ἐπισήμου προσώπου, τοῦ Θεοφίλου, τὸν ὁποῖον δι' αὐτὸ τὸν ὀνομάζει «κράτιστον Θεόφιλον», οὕτω πως καὶ τὰς Πράξεις τῶν Ἀποστόλων συνέγραψε χάριν τοῦ ἰδίου προσώπου, τοῦ Θεοφίλου δηλαδή. Ἀποτελοῦν δὲ αἱ Πράξεις συνέχειαν τοῦ τρίτου Εὐαγγελίου.

Ἀφοῦ λοιπὸν εἰς τὸ Εὐαγγέλιον ἐξιστόρησε τὴν ζωήν, τὸν θάνατον καὶ τὴν Ἀνάστασιν τοῦ Κυρίου, εἰς τὰς Πράξεις τῶν Ἀποστόλων ἐξιστορεῖ τὸ πῶς ἱδρύθη ἡ Ἐκκλησία κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς εἰς τὰ Ἱεροσόλυμα καὶ πῶς κατόπιν ἐξηπλώθη εἰς τὴν Παλαιστίνην καὶ τὰ ἄλλα εἰδωλολατρικὰ ἔθνη, μέχρι καὶ τῆς Ρώμης.

«Αἱ Πράξεις τῶν Ἀποστόλων» συνεγράφησαν μετὰ τὸ Εὐαγγέλιον, πιθανῶς δὲ καὶ πρὸ τοῦ 70 μ. Χ., διότι εἰς αὐτὰς δὲν ἀναφέρεται τίποτε ἀπολύτως περὶ τοῦ μαρτυρικοῦ θανάτου τῶν δύο κορυφαίων Ἀποστόλων, Πέτρου καὶ Παύλου, ὁ ὁποῖος συνέβη κατὰ τὸ ἔτος 64 μ. Χ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Στίχ. 1-12. Τελευταῖοι λόγοι τοῦ Κυρίου πρὸς τοὺς Ἀποστόλους καὶ Ἀνάληψις αὐτοῦ.

Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν

Τὸ πρῶτον βιβλίον, τὸ ὁποῖον καλεῖται Εὐαγγέλιον, συνέγραψα, ὦ Θεόφιλε, διὰ νὰ ἐξιστορήσω εἰς αὐτὸ περιληπτικῶς ὅλα, ὅσα ἔκαμε καὶ ἐδίδαξεν ὁ Ἰησοῦς ἀπὸ τὴν ἀρχὴν τῆς δημοσίας δράσεώς του

2 ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ Πνεύματος Ἁγίου οὓς ἐξελέξατο ἀνελήφθη·

2 μέχρι τῆς ἡμέρας, κατὰ τὴν ὁποίαν ἀνελήφθη εἰς τοὺς οὐρανούς, ἀφοῦ προηγουμένως μὲ συνεργὸν καὶ τὸ Ἅγιον Πνεῦμα ἔδωκεν ἐντολὰς εἰς τοὺς ἀποστόλους, τοὺς ὁποίους ὁ ἴδιος ἐξέλεξεν.

3 οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

3 Εἰς αὐτοὺς δὲ τοὺς ἰδίους παρουσίασε τὸν ἑαυτόν του ζωντανὸν μετὰ τὸ πάθημά του. Καὶ διὰ μέσου πολλῶν ἀποδείξεων τοὺς ἐβεβαίωσεν, ὅτι πράγματι ἦτο ζωντανός. Παρουσιάζετο δὲ κατὰ διαλείμματα ἐπὶ τεσσαράκοντα ἡμέρας, κατὰ τὰς ὁποίας ἐνεφανίζετο εἰς αὐτοὺς καὶ ὡμίλει περὶ τῶν ἀληθειῶν καὶ μυστηρίων τῶν ἀναφερομένων εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

Α΄. 1-2) Λκ. α΄ 1 - 3. κδ΄ 50. 51. Μτ. κη΄ 19. Μρ. ις΄ 15. 19. Ἰν. κ΄ 21. 22. 3) Λκ. κδ΄ 36 - 40. Μτ. κη΄ 9. 16 - 18. Μρ. ις΄ 14. Ἰν. κ΄ 19. 26. κα΄ 1.

4 καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς ἣν ἠκούσατέ μου·

4 Καὶ ἐνῷ ἔτρωγε μαζί τους τὴν αὐτὴν μὲ ἐκείνους τροφήν, τοὺς ἔδωκε τὴν παραγγελίαν νὰ μὴ ἀπομακρύνωνται ἀπὸ τὰ Ἱεροσόλυμα, ἀλλὰ νὰ περιμένουν τὴν πραγματοποίησιν τῆς ὑποσχέσεως περὶ τοῦ Ἁγίου Πνεύματος, τὸ ὁποῖον θὰ ἔστελλεν ὁ Πατὴρ καὶ τὴν ὁποίαν ὑπόσχεσιν, ἔλεγεν εἰς αὐτοὺς ὁ ἀναστὰς Κύριος, ἠκούσατε ἀπὸ τὸ στόμα μου.

5 ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας.

5 Εἶναι δὲ ἀνάγκη νὰ περιμένετε, διότι ὁ Ἰωάννης μὲν ἐβάπτισε μὲ ἁπλοῦν νερὸν καὶ τὸ βάπτισμά του συνεπῶς δὲν εἶχε τὴν δύναμιν νὰ ἀναγεννήσῃ ἐκείνους, ποὺ τὸ ἐλάμβανον. Σεῖς ὅμως θὰ βαπτισθῆτε μὲ τὸ Ἅγιον Πνεῦμα ὄχι πολλὰς ἡμέρας ὕστερον ἀπὸ αὐτάς, ποὺ διερχόμεθα.

6 οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;

6 Ὕστερον λοιπὸν ἀπὸ τὰς ἐλπίδας αὐτάς, ποὺ ἔδωκεν ὁ Χριστὸς εἰς τοὺς μαθητάς του, ἦλθαν ὅλοι μαζὶ καὶ τὸν ἠρώτων λέγοντες· Κύριε, εἰπέ μας, ἐὰν κατὰ τὸ χρονικὸν διάστημα τῶν ἡμερῶν αὐτῶν πρόκειται νὰ ἀποκαταστήσῃς εἰς τὴν παλαιάν της δύναμιν καὶ δόξαν τὴν βασιλείαν διὰ τὸν Ἰσραήλ;

7 εἶπε δὲ πρὸς αὐτούς· οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ,

7 Ὁ Ἰησοῦς ὅμως εἶπε πρὸς αὐτούς· Δὲν ἀνήκει εἰς σᾶς καὶ δὲν εἶναι ἰδικόν σας δικαίωμα νὰ γνωρίσετε τὰ χρόνια ἢ τοὺς ὡρισμένους μῆνας καὶ ἡμέρας, τὰ ὁποῖα ὁ Πατὴρ ἐκράτησεν εἰς τὴν ἀποκλειστικὴν ἐξουσίαν του, ὥστε αὐτὸς μόνος νὰ τὰ γνωρίζῃ καὶ αὐτὸς μόνος νὰ φέρῃ εἰς πέρας ὅσα κατὰ τὴν διάρκειαν αὐτῶν θὰ συντελεσθοῦν.

8 ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς.

8 Θὰ λάβετε ὅμως ἐνίσχυσιν καὶ δύναμιν, ὅταν ἔλθῃ ἐπάνω σας τὸ Ἅγιον Πνεῦμα καὶ θὰ εἶσθε μάρτυρες τοῦ βίου μου καὶ τῆς διδασκαλίας μου καὶ εἰς τὴν Ἱερουσαλὴμ καὶ εἰς ὅλην τὴν Ἰουδαίαν καὶ εἰς τὴν Σαμάρειαν καὶ ἕως τὸ ἔσχατον καὶ τὸ πλέον μακρυνὸν σημεῖον τῆς γῆς.

9 καὶ ταῦτα εἰπὼν βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

9 Καὶ ἀφοῦ εἶπεν αὐτά, ἐνῷ ἐκεῖνοι τὸν ἔβλεπαν, ὑψώθη πρὸς τὰ ἐπάνω καὶ σύννεφον παρουσιάσθη σὰν ἄλλο ὄχημα ὑποκάτω του καὶ τὸν ἐπῆρεν ἀπὸ τὰ μάτια τους.

10 καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ,

10 Καὶ ἐνῷ εἶχαν καρφωμένα τὰ βλέμματά τους εἰς τὸν οὐρανόν, τότε ἀκριβῶς, ποὺ ἀνέβαινεν ἐκεῖ ὁ Κύριος, ἰδοὺ δύο ἄγγελοι, ποὺ ἐνεφανίσθησαν ὡς ἄνδρες, ἐστάθησαν κοντά τους μὲ φορέματα λευκά.

11 οἳ καὶ εἶπον· ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.

11 Καὶ εἶπαν οὗτοι πρὸς αὐτούς· Ἄνδρες Γαλιλαῖοι, διατί στέκεσθε καὶ παρατηρεῖτε μὲ βλέμμα ἀκίνητον εἰς τὸν οὐρανόν; Ὁ Ἰησοῦς αὐτός, ὁ ὁποῖος ἀνελήφθη ἀπὸ σᾶς εἰς τὸν οὐρανόν, θὰ ἔλθῃ κατὰ τὸν ἴδιον τρόπον, μὲ τὸ σῶμα του δηλαδὴ καὶ καθήμενος ἐπάνω εἰς σύννεφον, ὅπως καὶ τώρα γεμᾶτοι θαυμασμὸν καὶ κατάπληξιν τὸν εἴδατε νὰ πηγαίνῃ εἰς τὸν οὐρανόν.

---

[4]) ι΄ 41. Λκ. κδ΄ 41 - 49. Ἰν. ιδ΄ 26. ιε΄ 26. ις΄ 7. [5]) 8. β΄ 4. ια΄ 15. 16. ιθ΄ 4. Λκ. γ΄ 16. Μτ. γ΄ 11. [6]) Ἀμ. θ΄ 11. Πρ. γ΄ 21. Λκ. ιθ΄ 11. κδ΄ 21. Μτ. ι΄ 23. ιζ΄ 11. [7]) Μτ. κδ΄ 36. Μρ. ιγ΄ 32. [8]) 5. η΄ 1 - 25. θ΄ 31. ι΄ 39. ια΄ 26. κη΄ 30. 31. Λκ. κδ΄ 48. 49. Μτ. ι΄ 5. 6. κη΄ 19. Ἰν. ζ΄ 39. ιε΄ 26. [9]) 2. Λκ. κδ΄ 51. Μρ. ις΄ 19. Ἰν. ς΄ 62. [10]) Λκ. κδ΄ 4. Ἰν. α΄ 52. [11]) Λκ. κα΄ 27. Μτ. ις΄ 27. κδ΄ 30. 31. κς΄ 64. 1 Τμ. γ΄ 16.

12 Τότε ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλήμ, σαββάτου ἔχον ὁδόν.

12 Τότε οἱ Ἀπόστολοι ἐπέστρεψαν εἰς τὴν Ἱερουσαλὴμ ἀπὸ τὸ ὄρος, ποὺ ἐλέγετο Ἐλαιών, καὶ εἶναι πλησίον τῆς Ἱερουσαλὴμ εἰς ἀπόστασιν τόσην, ὅση ἐπετρέπετο νὰ βαδίσουν οἱ Ἰουδαῖοι κατὰ τὸ Σάββατον.

Στίχ. 13-26. Ἡ ἐκλογὴ τοῦ Ματθίου ὡς ἀποστόλου.

13 καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον οὗ ἦσαν καταμένοντες, ὅ τε Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου καὶ Σίμων ὁ Ζηλωτὴς καὶ Ἰούδας Ἰακώβου.

13 Καὶ ὅταν ἐμβῆκαν εἰς τὴν πόλιν, ἀνέβησαν εἰς τὸ ὑπερῷον, εἰς τὸ ἐπάνω δηλαδὴ πάτωμα τοῦ σπιτιοῦ, ὅπου τακτικὰ συνηθροίζοντο ὅλοι οἱ πιστοὶ καὶ ὅπου συνηντῶντο καὶ ὁ Πέτρος καὶ ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης καὶ ὁ Ἀνδρέας, ὁ Φίλιππος καὶ ὁ Θωμᾶς, ὁ Βαρθολομαῖος καὶ ὁ Ματθαῖος, ὁ Ἰάκωβος ὁ υἱὸς τοῦ Ἀλφαίου καὶ ὁ Σίμων ὁ Ζηλωτὴς καὶ ὁ Ἰούδας ὁ υἱὸς τοῦ Ἰακώβου.

14 οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει σὺν γυναιξὶ καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ.

14 Αὐτοὶ ὅλοι μὲ μίαν ψυχὴν καὶ καρδίαν καὶ μὲ τὰ αὐτὰ αἰσθήματα καὶ διαθέσεις παρέμεναν ἀκούραστοι καὶ καρτερικοὶ εἰς τὴν προσευχὴν καὶ εἰς τὴν δέησιν μαζὶ μὲ τὰς εὐσεβεῖς γυναῖκας, ποὺ ἠκολούθησαν τὸν Κύριον ἀπὸ τὴν Γαλιλαίαν, καὶ μὲ τὴν Μαρίαν τὴν μητέρα τοῦ Ἰησοῦ καὶ μαζὶ μὲ τοὺς νομιζομένους ἀδελφούς του.

15 Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν εἶπεν· ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν εἴκοσιν·

15 Καὶ κατὰ τὰς ἡμέρας αὐτάς, ποὺ ἐπηκολούθησαν εἰς τὴν Ἀνάληψιν τοῦ Κυρίου, ἐσηκώθη ὁ Πέτρος ἐν μέσῳ τῶν μαθητῶν καὶ εἶπεν· (Ἦσαν δὲ συνηθροισμένοι εἰς τὸ αὐτὸ μέρος περίπου ἑκατὸν εἴκοσι πρόσωπα).

16 ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην ἣν προεῖπε τὸ Πνεῦμα τὸ Ἅγιον διὰ στόματος Δαυῒδ περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσι τὸν Ἰησοῦν,

16 Ἄνδρες ἀδελφοί· Ἀφοῦ ἦτο θεόπνευστος, ἔπρεπε νὰ πραγματοποιηθῇ ἐπακριβῶς καὶ ἐξ ὁλοκλήρου ὁ λόγος τῆς Γραφῆς, τὸν ὁποῖον προεῖπε τὸ Ἅγιον Πνεῦμα διὰ τοῦ στόματος τοῦ Δαβὶδ περὶ τοῦ Ἰούδα, ὁ ὁποῖος κατήντησε νὰ γίνῃ ὁδηγὸς ἐκείνων, οἱ ὁποῖοι συνέλαβον τὸν Ἰησοῦν.

17 ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης.

17 Ἡ προφητεία αὐτὴ ὁμιλεῖ περὶ ἀξιώματος, ἀπὸ τὸ ὁποῖον ἐξέπεσεν ὁ Ἰούδας. Διότι εἶχε συγκαταριθμηθῇ μαζὶ μὲ ἡμᾶς καὶ ἔλαβεν ὄχι ἀπὸ ἰδικήν του ἀξιομισθίαν, ἀλλὰ σὰν λαχεῖον κατὰ θείαν χάριν, τὴν ὁποίαν δὲν ἐξετίμησε, τὸ μερίδιόν του εἰς τὴν διακονίαν αὐτὴν τὴν ἀποστολικήν.

18 οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας, καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ·

18 Αὐτὸς λοιπὸν ἀπέκτησε κάποιο χωράφιον ἀπὸ τὸν μισθὸν καὶ τὴν ἀμοιβήν, μὲ τὴν ὁποίαν ἐπληρώθη ἡ ἀδικία καὶ τὸ ἔγκλημα τῆς προδοσίας του. Καὶ ὅταν ηὐτοκτόνησεν, ἔπεσεν ἀπ' ἐκεῖ, ποὺ ἐκρεμάσθη, μὲ τὸ πρόσωπον κατὰ γῆς καὶ ἔπαθε διάρρηξιν εἰς τὸ μέσον τοῦ σώματος καὶ ἐχύθησαν ἔξω ὅλα τὰ σπλάγχνα του.

---

[12]) Λκ. ιθ΄ 29. κα΄ 37. κδ΄ 50. 52. Μτ. κδ΄ 20. [13]) β΄ 2. Λκ. ς΄ 14 - 16. Μτ. ι΄ 2 - 4. [14]) β΄ 1. 42. 46. Μτ. ιγ΄ 55. Ἰν. β΄ 12. ζ΄ 5. Ῥμ. ιβ΄ 12. Κλ. δ΄ 2. [15]) β΄ 14. [16-17]) 20. 25. β΄ 29. ζ΄ 2. Μτ. κς΄ 24. 47. Ἰν. ιγ΄ 18. [18-19]) Μτ. κζ΄ 3 - 8.

19 καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλήμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν Ἀκελδαμά, τουτέστι χωρίον αἵματος.

20 γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν· ***γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ·*** *καί·* ***τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος.***

21 δεῖ οὖν τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς,

22 ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου ἕως τῆς ἡμέρας ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν ἡμῖν ἕνα τούτων.

23 Καὶ ἔστησαν δύο, Ἰωσὴφ τὸν καλούμενον Βαρσαββᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν,

24 καὶ προσευξάμενοι εἶπον· σὺ Κύριε, καρδιογνῶστα πάντων, ἀνάδειξον ὃν ἐξελέξω ἐκ τούτων τῶν δύο ἕνα,

25 λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἐξ ἧς παρέβη Ἰούδας πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον.

26 καὶ ἔδωκαν κλήρους αὐτῶν, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων.

19 Καὶ τὸ ἄθλιον αὐτὸ τέλος τοῦ Ἰούδα, καθὼς καὶ τὸ ὅτι ἠγοράσθη ὁ ἀγρὸς μὲ τὴν ἀμοιβὴν τῆς προδοσίας του, ἔγιναν γνωστὰ εἰς ὅλους τοὺς κατοικοῦντας ἐν Ἱερουσαλήμ, ὥστε νὰ ὀνομασθῇ τὸ χωράφι ἐκεῖνο εἰς τὴν ἰδικήν τους Ἀραμαϊκὴν γλῶσσαν Ἀκελδαμά, τουτέστι χωράφιον αἵματος, ἐπειδὴ μὲ τὸ τίμημα τοῦ αἵματος τοῦ Ἰησοῦ εἶχεν ἀγορασθῆ.

20 Καὶ αὐτὰ ὅλα συνέβησαν ἀκριβῶς, ὅπως εἶχαν προφητευθῆ. Διότι εἶχε γραφῆ εἰς τὸ βιβλίον τῶν Ψαλμῶν· ἂς γίνῃ τὸ ἀγρόκτημά του ἔρημον καὶ ἂς μὴ κατοικῇ κανένας εἰς αὐτό· καὶ ἂς λάβῃ ἄλλος τὸ ἀποστολικὸν ἀξίωμά του.

21 Ἀφοῦ λοιπὸν μὲ τὸν θάνατον τοῦ Ἰούδα καὶ τὴν ἐρήμωσιν τοῦ χωραφιοῦ του ἐπληρώθη ἡ πρώτη προφητεία, πρέπει διὰ νὰ πληρωθῇ καὶ ἡ τελευταία αὐτὴ προφητεία νὰ γίνῃ ἀντικατάστασις τοῦ Ἰούδα. Ἀπὸ τοὺς ἄνδρας δηλαδὴ ἐκείνους, ποὺ ἦσαν μαζί μας καὶ παρηκολούθησαν καθ' ὅλον τὸν χρόνον τῆς δράσεως τοῦ Κυρίου, κατὰ τὸν ὁποῖον ἔμπαινε καὶ ἔβγαινε μεταξύ μας ὁ Κύριος Ἰησοῦς,

22 ἀπὸ τὸν καιρὸν ποὺ ἔκαμε τὴν ἀρχὴν τῆς δημοσίας δράσεώς του, δηλαδὴ ἀπὸ τῆς βαπτίσεώς του ὑπὸ τοῦ Ἰωάννου μέχρι τῆς ἡμέρας κατὰ τὴν ὁποίαν ἀνελήφθη καὶ μᾶς ἔφυγε, ἀπὸ τοὺς ἀνθρώπους αὐτοὺς λοιπὸν ἕνας πρέπει νὰ ἐκλεγῇ καὶ νὰ γίνῃ μαζί μὲ ἡμᾶς μάρτυς τῆς Ἀναστάσεώς του.

23 Καὶ ἐπρότειναν ὡς ὑποψηφίους δύο, τὸν Ἰωσήφ, ποὺ ἐκαλεῖτο Βαρσαββᾶς, ὁ ὁποῖος ἔλαβε καὶ τὸ ἐπώνυμον Ἰοῦστος, καὶ τὸν Ματθίαν.

24 Καὶ προσευχήθησαν καὶ εἶπαν· Σύ, Κύριε, ποὺ γνωρίζεις τὰς καρδίας ὅλων, φανέρωσε καθαρὰ ἐκεῖνον, ποὺ ἐξέλεξες, ἕνα ἀπὸ αὐτοὺς τοὺς δύο,

25 διὰ νὰ πάρῃ τὸ κατὰ θείαν βουλὴν καὶ χάριν καὶ σὰν ἄλλον λαχνὸν παρεχόμενον ἀξίωμα τῆς διακονίας ταύτης, τουτέστι τὸ ἀποστολικόν, ἀπὸ τὸ ὁποῖον ἐξέπεσεν ὁ Ἰούδας διὰ νὰ ὑπάγῃ εἰς τὸν τόπον τῆς αἰωνίας καταδίκης, ποὺ τοῦ ἥξιζε καὶ τὸν ὁποῖον μόνος του ἐδιάλεξε.

26 Καὶ ἔρριψαν κλήρους μὲ τὰ ὀνόματά των καὶ ἔπεσεν ὁ κλῆρος εἰς τὸν Ματθίαν καὶ κατετάχθη οὗτος μὲ τοὺς ἕνδεκα ἀποστόλους.

---

20) Ψ. ξη΄ 26. ρη΄ 8. Πρ. α΄ 16. 17. 1 Τμ. γ΄ 1. 21-22) β΄ 32. γ΄ 15. δ΄ 33. ε΄ 32. θ΄ 28. ι΄ 37. 39. Λκ. α΄ 2. Ἰν. ι΄ 9. ιε΄ 27. 24-25) 17. Λκ. ις΄ 15. (Ἰν. α΄ 49. β΄ 24. 25). 26) Ἀρ. κς΄ 55. 56. 1 Βσ. ι΄ 20. 1 Πρ. κε΄ 8. 9. Ἰων. α΄ 7.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Στίχ. 1-13. Ἡ κάθοδος τοῦ Ἁγίου Πνεύματος.

Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς ἦσαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό.

2 καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ ἦσαν καθήμενοι·

3 καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν,

4 καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι.

5 Ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν·

6 γενομένης δὲ τῆς φωνῆς ταύτης συνῆλθε τὸ πλῆθος καὶ συνεχύθη, ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν.

7 ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον λέγοντες πρὸς ἀλλήλους· οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι;

8 καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν,

9 Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν,

Καὶ ὅταν ἀπὸ τὴν ἑσπέραν τῆς παραμονῆς της ἤρχισεν ἡ ἡμέρα τῆς Πεντηκοστῆς, καὶ ἐπρόκειτο αὕτη νὰ συμπληρωθῇ, ἦσαν ὅλοι οἱ πιστοὶ μὲ μιὰ καρδιὰ συναγμένοι εἰς τὸ αὐτὸ μέρος.

2 Καὶ ἔξαφνα χωρὶς νὰ τὸ περιμένῃ κανείς, ἦλθε βοὴ ἀπὸ τὸν οὐρανὸν σὰν βοὴ σφοδροῦ ἀνέμου, ὁ ὁποῖος κινεῖται μὲ ὁρμὴν καὶ βιαιότητα. Καὶ ἡ βοὴ αὐτὴ ἐγέμισεν ὅλο τὸ σπίτι, ὅπου ἐκάθηντο οἱ ἀπόστολοι καὶ ὅλοι οἱ μαθηταί.

3 Καὶ εἶδαν μὲ τὰ μάτια των νὰ διαμοιράζωνται εἰς αὐτοὺς γλῶσσαι παρόμοιαι πρὸς τὰς φλόγας τοῦ πυρὸς καὶ εἰς τὸν καθένα ἀπὸ αὐτοὺς ἐκάθησεν ἀπὸ μία γλῶσσα.

4 Καὶ ἐγέμισε τὸ ἐσωτερικὸν ὅλων μὲ Πνεῦμα Ἅγιον, καὶ ἤρχισαν νὰ ὁμιλοῦν ξένας γλώσσας, ὅπως τὸ Πνεῦμα, ποὺ τοὺς ἐνέπνεεν, ἔδιδεν εἰς αὐτοὺς νὰ ὁμιλοῦν καὶ νὰ λέγουν θείους καὶ οὐρανίους λόγους καὶ διδασκαλίας ὑψηλὰς καὶ θεοπνεύστους.

5 Ἦσαν δὲ ἐγκατεστημένοι ἐν Ἱερουσαλὴμ ὡς μόνιμοι κάτοικοί της Ἰουδαῖοι, ἄνδρες ποὺ ηὐλαβοῦντο καὶ ἐφοβοῦντο τὸν Θεὸν ἀπὸ ὅλα τὰ ἔθνη, ὅσα ὑπάρχουν εἰς τὴν ὑποκάτω τοῦ οὐρανοῦ γῆν.

6 Ὅταν δὲ ἔγινεν ἡ βοὴ αὐτὴ τοῦ ἀνέμου, ἐσυνάχθη τὸ πλῆθος καὶ ὅλοι ἐκυριεύθησαν ἀπὸ σύγχυσιν καὶ κατάπληξιν, διότι ὁ καθένας των ἤκουε τοὺς μαθητὰς αὐτοὺς τοῦ Ἰησοῦ νὰ ὁμιλοῦν μὲ τὴν ἰδικήν του γλῶσσαν.

7 Ἔμειναν δὲ ἐκστατικοὶ ὅλοι καὶ ἐθαύμαζαν καὶ ἔλεγαν ὁ ἕνας εἰς τὸν ἄλλον· Νά, ὅλοι αὐτοί, ποὺ ὁμιλοῦν, δὲν εἶναι Γαλιλαῖοι;

8 Καὶ πῶς ἡμεῖς ἀκούομεν ὁ καθένας μας τὴν ἰδικήν μας γλῶσσαν, τὴν ὁποίαν ἐμάθαμεν καὶ ὁμιλοῦμεν ἀπὸ τὴν ἐποχὴν τῆς γεννήσεώς μας;

9 Ὅσοι εἴμεθα Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται καὶ ὅσοι κατοικοῦμεν τὴν Μεσοποταμίαν καὶ τὴν Ἰουδαίαν καὶ τὴν Καππαδοκίαν, τὸν Πόντον καὶ τὴν Ἀσίαν,

---

Β΄. 1) Λτ. κγ΄ 15 - 21. Δτ. ις΄ 9. 10. Τβ. β΄ 1. 2 Μκ. ιβ΄ 31. 32. Πρ. α΄ 14. θ΄ 23. κ΄ 16. Λκ. θ΄ 51. 1 Κρ. ις΄ 8. 2) 6. 3) [illegible] γ΄ 2. Μτ. γ΄ 11. 4) 6. 8. 11. ι΄ 44 - 46. ια΄ 15. ιθ΄ 6. Μρ. ις΄ 17. 1 Κρ. ιβ΄ 28 - ιδ΄ 28. 5) 8 - 11. 14. η΄ 2. ι΄ 35. ιγ΄ 26. 6) 2. [illegible] 7) 12. 8-11) 5.

10 Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι,

10 καὶ τὴν Φρυγίαν καὶ τὴν Παμφυλίαν, τὴν Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης, ποὺ εἶναι πλησίον τῆς Κυρήνης, καὶ οἱ Ρωμαῖοι, ποὺ διαμένουν ἐδῶ, τόσον αὐτοί, ποὺ λόγῳ τῆς καταγωγῆς των εἶναι Ἰουδαῖοι, ὅσον καὶ οἱ ἐθνικοί, ποὺ προσειλκύσθησαν εἰς τὴν Ἰουδαϊκὴν πίστιν καὶ ἔγιναν προσήλυτοι,

11 Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ;

11 καθὼς καὶ οἱ ἐκ Κρήτης καταγόμενοι καὶ οἱ Ἄραβες, ὅλοι ἡμεῖς, ποὺ καταγόμεθα ἀπὸ τὰ διάφορα αὐτὰ μέρη, πῶς συμβαίνει νὰ ἀκούωμεν αὐτοὺς νὰ ὁμιλοῦν καὶ νὰ διακηρύττουν εἰς τὰς γλώσσας μας τὰ μεγάλα καὶ θαυμαστὰ ἔργα τοῦ Θεοῦ;

12 ἐξίσταντο δὲ πάντες καὶ διηπόρουν, ἄλλος πρὸς ἄλλον λέγοντες· τί ἂν θέλοι τοῦτο εἶναι;

12 Ἔμεναν δὲ ἐκστατικοὶ ὅλοι καὶ ἔμβαιναν εἰς ἀπορίαν καὶ ἔλεγαν ὁ ἕνας εἰς τὸν ἄλλον· Σὰν τί νὰ σημαίνῃ τὸ ἔκτακτον αὐτὸ γεγονὸς καὶ σὰν ποίαν ἐξήγησιν μπορεῖ κανεὶς νὰ τοῦ δώσῃ;

13 ἕτεροι δὲ χλευάζοντες ἔλεγον ὅτι γλεύκους μεμεστωμένοι εἰσί.

13 Ἄλλοι ὅμως ἐπεριγελοῦσαν καὶ ἔλεγαν, ὅτι οἱ ἄνθρωποι αὐτοὶ εἶναι γεμᾶτοι ἀπὸ γλυκὸ καὶ δυνατὸ κρασὶ καὶ δὲν ξεύρουν τί λέγουν.

Στίχ. 14-36. Ἡ πρώτη ὁμιλία τοῦ Πέτρου πρὸς τὰ πλήθη.

14 Σταθεὶς δὲ Πέτρος σὺν τοῖς ἕνδεκα ἐπῆρε τὴν φωνὴν αὐτοῦ καὶ ἀπεφθέγξατο αὐτοῖς· ἄνδρες Ἰουδαῖοι καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω καὶ ἐνωτίσασθε τὰ ῥήματά μου.

14 Ἐστάθη δὲ τότε εἰς τόπον κατάλληλον ὁ Πέτρος μαζὶ μὲ τοὺς ἄλλους ἕνδεκα Ἀποστόλους καὶ ὕψωσε τὴν φωνήν του, ὥστε νὰ ἀκούεται καλὰ ἀπὸ ὅλον τὸ πλῆθος ἐκεῖνο, καὶ ἐμπνεόμενος ἀπὸ τὸ Ἅγιον Πνεῦμα εἶπεν εἰς αὐτούς· Ἄνδρες Ἰουδαῖοι καὶ σεῖς ὅλοι, ὅσοι κατοικεῖτε εἰς τὴν Ἱερουσαλήμ, ἂς γίνῃ γνωστὸν εἰς σᾶς αὐτό, ποὺ θὰ σᾶς εἴπω, καὶ ἀκούσατε προσεκτικὰ τοὺς λόγους μου αὐτούς, μὲ τοὺς ὁποίους θὰ σᾶς δώσω τὴν ἀληθινὴν ἐξήγησιν αὐτῶν ποὺ βλέπετε.

15 οὐ γάρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν· ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας·

15 Ἡ ἀντίληψις, ποὺ ἐσχηματίσατε δι' αὐτούς, εἶναι πλανημένη. Διότι δὲν εἶναι μεθυσμένοι οἱ ἄνθρωποι αὐτοί, καθὼς νομίζετε σεῖς. Καὶ δὲν εἶναι μεθυσμένοι, διότι εἶναι ἡ τρίτη ὥρα ἀπὸ τῆς ἀνατολῆς τοῦ ἡλίου, ἤτοι ἡ ἐνάτη πρωϊνή, καὶ λόγῳ τῆς ἑορτῆς, ἀλλὰ καὶ σύμφωνα πρὸς τὰς παραδόσεις τῶν μεγάλων ραββίνων μας δὲν ἐπιτρέπεται προτοῦ ἔλθῃ μεσημέρι ἢ τοὐλάχιστον προτήτερα ἀπὸ τὰς δέκα τὸ πρωῒ νὰ βάλωμεν εἰς τὸ στόμα μας τίποτε.

16 ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ·

16 Ἀλλ' αὐτό, τὸ ὁποῖον βλέπετε, εἶναι ἐπαλήθευσις καὶ πραγματοποίησις ἐκείνου, ποὺ ἔχει λεχθῆ ἀπὸ τὸν Θεὸν διὰ τοῦ προφήτου Ἰωήλ, ὁ ὁποῖος ἐπροφήτευσε τὰ ἑξῆς:

*17 **καὶ ἔσται** ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ Θεός, **ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται·***

17 Καὶ κατὰ τὴν τελευταίαν χρονικὴν περίοδον, ποὺ θὰ ἀρχίσῃ ὅταν θὰ ἔλθῃ ὁ Μεσσίας, λέγει ὁ Θεὸς ὅτι θὰ συμβῇ τοῦτο· θὰ ἐκχύσω ἀπὸ τὰ χαρίσματα τοῦ Πνεύματός μου καὶ θὰ διαμοιράσω ταῦτα εἰς ὅλους τοὺς ἀνθρώπους· καὶ θὰ προφητεύσουν οἱ υἱοί σας καὶ αἱ θυγατέρες σας· καὶ οἱ νέοι σας θὰ ἴδουν ὀπτασίας ὑπερφυσικὰς καὶ οἱ γέροντές σας θὰ ἐνυπνιασθοῦν θεῖα καὶ ἀποκαλυπτικὰ ὄνειρα.

*18 **καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ προφητεύσουσι.***

18 Ἀκόμη καὶ εἰς τοὺς δούλους καὶ εἰς τὰς δούλας μου, ποὺ οἱ ἄνθρωποι τοὺς κατατάσσουν εἰς τὴν κατωτέραν κοινωνικὴν τάξιν, θὰ τοὺς μεταδώσω κατὰ τὰς ἡμέρας ἐκείνας ἄφθονα χαρίσματα ἀπὸ τὸ Πνεῦμα μου καὶ θὰ προφητεύσουν.

*19 **καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ·***

19 Καὶ θὰ δώσω καταπληκτικὰ θαύματα εἰς τὸν οὐρανὸν ἐπάνω καὶ φαινόμενα ἀποδεικτικὰ τῆς θείας δυνάμεως ἐπὶ τῆς γῆς κάτω· καταστροφὰς μεγάλας καὶ ἐρημώσεις· αἱματοχυσίας καὶ πυρκαϊὰς καὶ σύννεφον καπνοῦ, ποὺ θὰ ἀνεβαίνῃ ἀπὸ τὰς καιομένας πόλεις καὶ χωρία.

*20 **ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.***

20 Ὁ ἥλιος θὰ ὑποστῇ ἔκλειψιν καὶ θὰ μεταστραφῇ εἰς σκότος καὶ ἡ σελήνη θὰ πάρῃ τὸ χρῶμα αἵματος, προτοῦ νὰ ἔλθῃ ἡ ἡμέρα τοῦ Κυρίου ἡ μεγάλη καὶ περίβλεπτος, κατὰ τὴν ὁποίαν ὁ Κύριος θὰ ἔλθῃ ἐνδόξως διὰ νὰ κρίνῃ τοὺς ἐχθρούς του. Τέτοιαι καταστροφαὶ καὶ θεομηνίαι πρόκειται νὰ γίνουν καὶ τώρα, ὁπότε ὁ Κύριος ἐν δικαιοσύνῃ θὰ πατάξῃ ὅσους ἐκ τῶν Ἰουδαίων θὰ ἐπιμείνουν εἰς τὴν ἀπιστίαν· πρόκειται νὰ επαναληφθοῦν καὶ ἐν τῷ μεταξύ, ὁσάκις διὰ μέσου τῶν αἰώνων θὰ ἐκσπᾷ ἡ ὀργὴ τοῦ Θεοῦ κατὰ τῶν ἀποστατῶν, ἀλλὰ θὰ πραγματοποιηθοῦν καὶ τελικῶς καὶ κατὰ τὴν δευτέραν τοῦ Κυρίου παρουσίαν.

*21 **καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται.***

21 Καὶ θὰ συμβῇ ὥστε καθένας, ποὺ θὰ ἐπικαλεσθῇ μὲ πίστιν καὶ εὐλάβειαν τὸ ὄνομα τοῦ Κυρίου, θὰ σωθῇ καὶ θὰ ἀπολαύσῃ τὰ ἀγαθὰ τῆς βασιλείας τοῦ Μεσσίου.

22 Ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους. Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε,

22 Ἄνδρες, ἀπόγονοι τοῦ εὐλογημένου Ἰσραήλ, ἀκούσατε τοὺς λόγους αὐτούς, ποὺ θὰ σᾶς εἴπω· τὸν Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα, ὁ ὁποῖος ἀπεδείχθη μεταξύ σας ποῖος ἦτο ὄχι ἀπὸ ἄνθρωπον, ἀλλ' ἀπὸ αὐτὸν τὸν Θεόν· καὶ ἀπεδείχθη μὲ δυνάμεις καὶ καταπληκτικὰ ἔργα καὶ ἀποδεικτικὰ θαύματα, ποὺ ἔκαμε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ σεῖς οἱ ἴδιοι γνωρίζετε·

23 τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, διὰ χει-

23 αὐτὸν τὸν Ἰησοῦν, ποὺ σᾶς παρεδόθη ἀπὸ τὸν προδότην σύμφωνα μὲ τὴν ὡρισμένην ἀπόφασιν καὶ πρόγνωσιν τοῦ Θεοῦ, ἀφοῦ τὸν ἐπιάσατε, τὸν ἐκαρφώσατε εἰς τὸν σταυρὸν καὶ

---

12) 7. 13) 15. ιζ' 32. 1 Κρ. ιδ' 23. 14) α' 15. ιζ' 22. 15) 13. (1 Θσ. ε' 7). 16-17) Ἰωλ. γ' 1. 2. Ζχ. ιβ' 10. Ἠσ. β' 2. 3. μδ' 3. Πρ. β' 20. κα' 9. Ἰν. ς' 45. ζ' 39. Ῥμ. ε' 5. Ττ. γ' 6.

19-20) Ἰωλ. β' 30. 31. γ' 15. Μτ. κδ' 6. 7. 29. 30. 1 Θσ. ε' 2. Ἀπ. ις' 14. 21) Ἰωλ. β' 32. Πρ. ζ' 59. Ῥμ. ι' 12. 13. 1 Κρ. α' 2. Φλ. β' 10. 22) ι' 38. Ἰν. γ' 2. 23) γ' 18. δ' 28. ι' 39. Λκ. κβ' 22. Ἰν. ιθ' 11. 16. 1 Πτ. α' 20.

ρῶν ἀνόμων προσπήξαντες ἀνείλετε·
24 ὃν ὁ Θεὸς ἀνέστησε λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ.
25 Δαυῒδ γὰρ λέγει εἰς αὐτόν· ***προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ.***
26 διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι,
27 ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.
28 ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.
29 Ἄνδρες ἀδελφοί, ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαυῒδ ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης.
30 προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστὸν καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ,
31 προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ ὅτι οὐ κατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν.

τὸν ἐφονεύσατε διὰ τῶν Ρωμαίων στρατιωτῶν, οἱ ὁποῖοι ἦσαν ἐθνικοὶ καὶ ξένοι πρὸς τὸν Νόμον.
24 Τοῦτον ὁ Θεὸς ἀνέστησε καὶ ἔλυσε τὰς λύπας, ποὺ τοῦ ἐπροξένησεν ὁ θάνατος, διότι σύμφωνα μὲ τὰς προφητείας δὲν ἦτο δυνατὸν νὰ κρατῆται αὐτὸς ὑπὸ τοῦ θανάτου.
25 Δὲν ἦτο δυνατὸν δὲ νὰ μένῃ αὐτὸς πεθαμένος, διότι ὁ Δαβὶδ λέγει ἀναφερόμενος εἰς αὐτόν· Ἔβλεπα ἐγὼ ὁ Μεσσίας ἐμπρός μου τὸν Κύριον πάντοτε· τὸν ἔβλεπα, ὅτι εἶναι εἰς τὰ δεξιά μου ἕτοιμος νὰ μὲ προστατεύσῃ διὰ νὰ μὴ ἀνησυχῶ καὶ κλονισθῶ ἀπὸ φόβον ἢ κίνδυνον ὁποιονδήποτε.
26 Διότι δὲ αἰσθάνομαι τὸν Θεὸν εἰς τὰ δεξιά μου ἕτοιμον νὰ μὲ προστατεύσῃ, δι' αὐτὸ εὐφράνθη ἡ καρδία μου καὶ ἐξεδήλωσα μεγάλην χαρὰν μὲ τὴν γλῶσσαν μου, ἀκόμη δὲ καὶ τὸ σῶμα μου κατὰ τὴν ὥραν τοῦ θανάτου θὰ ἀναπαυθῇ καὶ θὰ ἡσυχάσῃ εἰς τὸν τάφον μὲ ἐλπίδα, ὅτι γρήγορα θὰ ἀναστηθῇ.
27 Διότι δὲν θὰ ἐγκαταλείψῃς τὴν ψυχήν μου νὰ μείνῃ ἐπὶ πολὺν χρόνον εἰς τὸν τόπον τοῦ Ἅδου, οὔτε θὰ ἐπιτρέψῃς ὁ κατ' ἐξοχὴν ἀφωσιωμένος εἰς σὲ ἅγιός σου νὰ πάθῃ εἰς τὸ σῶμα του τὴν φθορὰν καὶ ἀποσύνθεσιν τοῦ τάφου.
28 Μοῦ ἔδειξες καὶ μοῦ ἐγνωστοποίησες δρόμους, οἱ ὁποῖοι ἀπὸ τὸν τάφον, ὅπου δι' ὀλίγον καιρὸν θὰ παραμείνω, ὁδηγοῦν εἰς τὴν ἀληθινὴν καὶ μακαρίαν ζωήν· θὰ μὲ γεμίσῃς εὐφροσύνην, ὅταν θὰ μὲ ἀνυψώσῃς καὶ θὰ μὲ πάρῃς μαζί σου εἰς τοὺς οὐρανοὺς διὰ νὰ ἀπολαμβάνω καὶ ὡς ἄνθρωπος τὴν δόξαν τοῦ προσώπου σου.
29 Ἄνδρες ἀδελφοί, ἂς μοῦ ἐπιτραπῇ νὰ σᾶς εἴπω ἐλεύθερα διὰ τὸν πατριάρχην Δαβίδ, διὰ στόματος τοῦ ὁποίου ἐλέχθη ἡ προφητεία αὐτή, ὅτι αὐτὸς καὶ ἀπέθανε καὶ ἐτάφη καὶ τὸ μνημεῖον του εἶναι μεταξύ μας ἐδῶ εἰς τὰ Ἱεροσόλυμα μέχρι τῆς σημερινῆς ἡμέρας. Δὲν ἐφαρμόζεται λοιπὸν ἡ προφητεία αὐτὴ εἰς τὸν Δαβίδ, ποὺ παραμένει πεθαμένος καὶ θαμμένος ἕως σήμερον.
30 Ἀλλ' ὁ Δαβὶδ προικισμένος μὲ μόνιμον χάρισμα προφητείας καὶ γνωρίζων, ὅτι ὁ Θεὸς τοῦ ὑπεσχέθη μὲ ὅρκον, ὅτι ἀπὸ ἀπόγονον τῶν σπλάγχνων του, τὴν Μαρίαν δηλαδή, ἔμελλε νὰ ἀναστήσῃ κατὰ τὴν ἀνθρωπίνην φύσιν τὸν Χριστὸν διὰ νὰ καθίσῃ ἐπὶ τοῦ θρόνου του ὡς πνευματικὸς καὶ αἰώνιος βασιλεύς,
31 προεῖδε τὰ μέλλοντα καὶ ὡμίλησε διὰ τὴν Ἀνάστασιν τοῦ Χριστοῦ, ὅτι δὲν ἐγκατελείφθη ἡ ψυχὴ τοῦ Χριστοῦ εἰς τὸν τόπον τοῦ Ἅδου, οὔτε τὸ σῶμα του εἶδε τὴν φθορὰν καὶ ἀποσύνθεσιν τοῦ τάφου.

24) Ψ. ιϛ' 5. 6. ριδ' 3. Πρ. β' 32. γ' 15. δ' 10. ι' 40. 41. ιγ' 30. ιϛ' 31. Ῥμ. δ' 24. ϛ' 4. 1 Κρ. ιε' 15. 25-28) Ψ. ιε' 8 - 11. Πρ. ιγ' 34 - 37. 29) 3 Βσ. β' 10. Νεμ. γ' 16. Πρ. ιγ' 36. 30-31) 2 Βσ. ζ' 12. 13. Ψ. πη' 4. 5. ρλα' 11. Λκ. α' 32. 33. 69. Ἑβ. ζ' 3. 24.

32 τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεός, οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες.
33 τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθείς, τήν τε ἐπαγγελίαν τοῦ Ἁγίου Πνεύματος λαβὼν παρὰ τοῦ πατρός, ἐξέχεε τοῦτο ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε.
34 οὐ γὰρ Δαυῒδ ἀνέβη εἰς τοὺς οὐρανούς, λέγει δὲ αὐτός· ***εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου***
35 ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.
36 ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι καὶ Κύριον καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποίησε, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε.

32 Τοῦτον τὸν Ἰησοῦν, περὶ τοῦ ὁποίου σᾶς ὡμίλησα, τὸν ἀνέστησεν ὁ Θεὸς ἐκ νεκρῶν, καὶ μάρτυρες τοῦ γεγονότος αὐτοῦ τῆς Ἀναστάσεως εἴμεθα ὅλοι ἡμεῖς.
33 Ἀφοῦ λοιπὸν ὁ Ἰησοῦς μετὰ τὴν Ἀνάστασίν του ἀνυψώθη μὲ τὴν δύναμιν τοῦ Θεοῦ εἰς τὸν οὐρανὸν καὶ ἔλαβεν ἀπὸ τὸν Πατέρα του τὸ Ἅγιον Πνεῦμα, ποὺ ὑπεσχέθη εἰς ἡμᾶς τοὺς Ἀποστόλους ὅτι θὰ μᾶς ἔστελλεν, ἔχυσεν ἀφθόνους τὰς δωρεὰς καὶ τὰς ὑπερφυσικὰς αὐτὰς ἐνεργείας, τὰς ὁποίας σεῖς βλέπετε τώρα καὶ ἀκούετε.
34 Ἀλλὰ καὶ περὶ τῆς ἀνυψώσεως αὐτῆς τοῦ Ἰησοῦ εἰς τὸν οὐρανὸν ὡμίλησε προφητικῶς ὁ Δαβὶδ καὶ δὲν εἶναι δυνατόν, παρὰ εἰς τὸν Ἰησοῦν καὶ ὄχι εἰς τὸν Δαβὶδ νὰ ἀναφέρωνται οἱ προφητικοὶ αὐτοὶ λόγοι. Διότι ὁ Δαβὶδ δὲν ἀνέβη εἰς τοὺς οὐρανούς, λέγει ὅμως ὁ ἴδιος· Εἶπεν ὁ Κύριος καὶ Θεὸς εἰς τὸν Μεσσίαν, ὁ ὁποῖος εἶναι μὲν ἀπόγονός μου ὡς ἄνθρωπος, ἀλλὰ συγχρόνως εἶναι καὶ Κύριός μου ὡς Θεός: Κάθησε εἰς τὰ δεξιά μου διὰ νὰ ἀπολαμβάνῃς καὶ ὡς ἄνθρωπος θείας καὶ μοναδικὰς τιμάς,
35 ἕως ὅτου ὑποτάξω τελείως εἰς σὲ τοὺς ἐχθρούς σου καὶ τοὺς κάμω στήριγμα, ἐπάνω εἰς τὸ ὁποῖον θὰ πατοῦν τὰ πόδια σου.
36 Ἂς γνωρίζῃ λοιπὸν ἀσφαλῶς καὶ μὲ βεβαιότητα ὁλόκληρον τὸ γένος τῶν Ἰσραηλιτῶν, ὅτι αὐτὸν ἀκριβῶς τὸν Ἰησοῦν, τὸν ὁποῖον σεῖς ἐσταυρώσατε, τὸν ἀνέδειξε καὶ τὸν ἐγκατέστησεν ὁ Θεὸς Κύριον καὶ Χριστόν, διότι ἔδωκε καὶ εἰς τὴν ἀνθρωπίνην φύσιν του πᾶσαν ἐξουσίαν καὶ βασιλικὴν δόξαν.

Στίχ. 37-41. Τὰ ἀποτελέσματα τῆς ὁμιλίας τοῦ Πέτρου.

37 Ἀκούσαντες δὲ κατενύγησαν τῇ καρδίᾳ, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους· τί ποιήσομεν, ἄνδρες ἀδελφοί;
38 Πέτρος δὲ ἔφη πρὸς αὐτούς· μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος.
39 ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν καὶ πᾶσι τοῖς εἰς μακράν, ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν.

30 Ὅταν δὲ ἐπληροφορήθησαν τοῦτο οἱ ἀδελφοί, τὸν κατέβασαν μὲ πᾶσαν ἀσφάλειαν ἀπὸ τὰ Ἱεροσόλυμα εἰς τὴν Καισάρειαν καὶ ἀπ' ἐκεῖ τὸν ἐξαπέστειλαν εἰς τὴν πατρίδα του τὴν Ταρσόν.

Στίχ. 31-43. Ὁ Πέτρος θεραπεύει τὸν Αἰνέαν καὶ ἀνιστᾷ τὴν Ταβιθά.

31 Αἱ μὲν οὖν ἐκκλησίαι καθ' ὅλης τῆς Ἰουδαίας καὶ Γαλιλαίας καὶ Σαμαρείας εἶχον εἰρήνην οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ τοῦ Κυρίου, καὶ τῇ παρακλήσει τοῦ Ἁγίου Πνεύματος ἐπληθύνοντο.

31 Ἔτσι λοιπὸν αἱ μὲν Ἐκκλησίαι, ποὺ ἦσαν καθ' ὅλην τὴν Ἰουδαίαν καὶ Γαλιλαίαν καὶ Σαμάρειαν, ἀπελάμβαναν εἰρήνην καὶ προώδευαν εἰς τὴν χριστιανικὴν γνῶσιν καὶ εὐσέβειαν, καὶ ἔζων οἱ Χριστιανοί των μὲ τὸν φόβον τοῦ Κυρίου, καὶ ἐπληθύνοντο διὰ τῆς ἐνισχύσεως καὶ παρηγορίας, ποὺ τοὺς μετέδιδε τὸ Ἅγιον Πνεῦμα.

32 Ἐγένετο δὲ Πέτρον διερχόμενον διὰ πάντων κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν.

32 Ἐνῷ δὲ ὁ Πέτρος περιώδευεν εἰς ὅλα αὐτὰ τὰ μέρη, συνέβη νὰ κατεβῇ καὶ πρὸς τοὺς Χριστιανούς, ποὺ κατῴκουν εἰς τὴν Λύδδαν.

33 εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραβάττῳ, ὃς ἦν παραλελυμένος.

33 Συνήντησε δὲ ἐκεῖ κάποιον ἄνθρωπον, ποὺ ἐλέγετο Αἰνέας καὶ κατέκειτο ἐπὶ κραββάτου πρὸ ὀκτὼ ἐτῶν, διότι ἦτο παράλυτος.

34 καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός· ἀνάστηθι καὶ στρῶσον σεαυτῷ. καὶ εὐθέως ἀνέστη.

34 Καὶ εἶπεν εἰς αὐτὸν ὁ Πέτρος· Αἰνέα, ὁ Ἰησοῦς, ποὺ εἶναι χρισμένος ἀπὸ τὸν Θεὸν Μεσσίας, σὲ ἰατρεύει ἀπὸ τὸ νόσημά σου. Σήκω καὶ στρῶσε μόνος σου τὸ κρεββάτι σου. Καὶ ἀμέσως ἐσηκώθη.

35 καὶ εἶδον αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Σάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον.

35 Καὶ τὸν εἶδαν ὅλοι, ὅσοι κατοικοῦσαν εἰς Λύδδαν καὶ εἰς τὴν πεδιάδα τοῦ Σάρωνος, οἱ ὁποῖοι ὁδηγηθέντες ἀπὸ τὸ θαῦμα αὐτὸ ἐπέστρεψαν εἰς τὸν Κύριον Ἰησοῦν πιστεύσαντες καὶ ἀναγνωρίσαντες αὐτὸν Θεὸν καὶ Σωτῆρα των.

36 Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά, ἣ

36 Εἰς τὴν Ἰόππην δὲ ὑπῆρχε κάποια μαθήτρια τοῦ Κυρίου, ποὺ ἐλέγετο Ταβιθά. Τὸ ὄνομα δὲ αὐτὸ μεταφράζεται εἰς τὴν

[31]) β΄ 41 - 47. ις΄ 5. κ΄ 32. 1 Κρ. ιδ΄ 17. [32]) 38. (1 Πρ. η΄ 12. 2 Ἐσρ. β΄ 33). [33-34]) Ἰν. ε΄ 5 - 9. [35]) 42. ε΄ 12 - 14. Ἰν. β΄ 23. [36]) Ἰων. α΄ 3. Πρ. θ΄ 39.

διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει.

ἑλληνικὴν μὲ τὴν λέξιν Δορκάς. Αὐτὴ ἦτο γεμάτη ἀπὸ ἀγαθοεργίας καὶ ἐλεημοσύνας, ποὺ ἔκανε συνεχῶς.

37 ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν· λούσαντες δὲ αὐτὴν ἔθηκαν ἐν ὑπερῴῳ.

37 Συνέβη δὲ κατὰ τὰς ἡμέρας ἐκείνας νὰ ἀσθενήσῃ αὐτὴ καὶ νὰ ἀποθάνῃ. Ἀφοῦ δὲ τὴν ἔλουσαν καὶ τὴν ἑτοίμασαν, τὴν ἔβαλαν εἰς τὸ ἐπάνω διαμέρισμα τῆς οἰκίας.

38 ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτὸν παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν.

38 Ἐφ' ὅσον δὲ ἡ πόλις Λύδδα ἦτο πλησίον τῆς Ἰόππης, σὰν ἤκουσαν οἱ μαθηταί, ὅτι ὁ Πέτρος εἶναι εἰς τὴν πόλιν αὐτήν, τοῦ ἔστειλαν δύο ἄνδρας καὶ τὸν παρεκάλουν νὰ μὴ βαρυνθῇ νὰ ἔλθῃ μέχρις αὐτῶν.

39 ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον, καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορκάς.

39 Πράγματι δὲ ὁ Πέτρος ἐσηκώθη καὶ ἐπῆγε μαζὶ μὲ τοὺς δύο αὐτοὺς ἀπεσταλμένους. Ὅταν δὲ ἔφθασεν εἰς τὴν Ἰόππην, τὸν ἀνέβασαν εἰς τὸ ἀνώγειον. Καὶ ἐκεῖ παρουσιάσθησαν εἰς αὐτὸν ὅλαι αἱ χῆραι κλαίουσαι διὰ τὸν θάνατον αὐτῆς, ποὺ τὰς ἐπροστάτευε. Καὶ ὡς δείγματα τῆς προστασίας αὐτῆς ἐδείκνυαν εἰς τὸν Πέτρον ὑποκάμισα καὶ ἐπανωφόρια, ὅσα ἔφτιανεν, ὅταν ἦτο μαζί των ζωντανὴ ἡ Δορκάς.

40 ἐκβαλὼν δὲ ἔξω πάντας ὁ Πέτρος θεὶς τὰ γόνατα προσηύξατο, καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπε· Ταβιθά, ἀνάστηθι. ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε.

40 Ἀφοῦ δὲ ὁ Πέτρος ἔβγαλεν ὅλους ἔξω ἀπὸ τὸ ἀνώγειον, ποὺ ἦτο ἡ νεκρά, ἐγονάτισε καὶ προσηυχήθη. Καὶ ἀφοῦ ἐστράφη πρὸς τὸ νεκρὸν σῶμα, εἶπε· Ταβιθά, σήκω ἐπάνω. Αὐτὴ δὲ ἤνοιξε τὰ μάτια της καὶ ὅταν εἶδε τὸν Πέτρον, ἀπὸ ἐξαπλωμένη ὅπου ἦτο, ἀνεσηκώθη καθιστὴ εἰς τὸ κρεββάτι της.

41 δοὺς δὲ αὐτῇ χεῖρα ἀνέστησεν αὐτήν, φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας παρέστησεν αὐτὴν ζῶσαν.

41 Τῆς ἔδωκε δὲ τότε ὁ Πέτρος τὸ χέρι καὶ τὴν ἐσήκωσεν ὀρθίαν. Ἀφοῦ δὲ ἐφώναξε τοὺς Χριστιανοὺς καὶ ἰδιαιτέρως τὰς χήρας, τοὺς τὴν παρουσίασε ζωντανήν.

42 γνωστὸν δὲ ἐγένετο καθ' ὅλης τῆς Ἰόππης, καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον.

42 Ἔγινε δὲ γνωστὸν τὸ θαῦμα τοῦτο εἰς ὅλην τὴν πόλιν τῆς Ἰόππης καὶ πολλοὶ ἐπίστευσαν εἰς τὸν Κύριον.

43 Ἐγένετο δὲ ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν Ἰόππῃ παρά τινι Σίμωνι βυρσεῖ.

43 Συνέβη δὲ νὰ μείνῃ ὁ Πέτρος εἰς τὴν Ἰόππην ἀρκετὰς ἡμέρας εἰς τὸ σπίτι κάποιου Σίμωνος, ποὺ ἦτο βυρσοδέψης.

[37]) 4 Βσ. δ΄ 10. 11. 21. [38]) Ἀρ. κβ΄ 16. [39]) 36. [40]) κ΄ 10. Μρ. ε΄ 40. 41. Λκ. ζ΄ 15. [42]) 35. [43]) ι΄ 6.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Στίχ. 1-43. Ἐπιστροφὴ τοῦ ἑκατοντάρχου Κορνηλίου.

Ἀνὴρ δέ τις ἐν Καισαρείᾳ ὀνόματι Κορνήλιος, ἑκατοντάρχης ἐκ σπείρης τῆς καλουμένης Ἰταλικῆς,

2 εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν τε ἐλεημοσύνας πολλὰς τῷ λαῷ καὶ δεόμενος τοῦ Θεοῦ διὰ παντός,

3 εἶδεν ἐν ὁράματι φανερῶς ὡσεὶ ὥραν ἐνάτην τῆς ἡμέρας ἄγγελον τοῦ Θεοῦ εἰσελθόντα πρὸς αὐτὸν καὶ εἰπόντα αὐτῷ· Κορνήλιε.

4 ὁ δὲ ἀτενίσας αὐτῷ καὶ ἔμφοβος γενόμενος εἶπε· τί ἐστι, κύριε; εἶπε δὲ αὐτῷ· αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ.

5 καὶ νῦν πέμψον εἰς Ἰόππην ἄνδρας καὶ μετάπεμψαι Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον·

6 οὗτος ξενίζεται παρά τινι Σίμωνι βυρσεῖ, ᾧ ἐστιν οἰκία παρὰ θάλασσαν.

7 ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ,

8 καὶ ἐξηγησάμενος αὐτοῖς ἅπαντα, ἀπέστειλεν αὐτοὺς εἰς τὴν Ἰόππην.

9 Τῇ δὲ ἐπαύριον ὁδοιπορούντων ἐκείνων καὶ τῇ πόλει ἐγγιζόντων ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην.

Ἦτο δὲ κάποιος ἄνθρωπος εἰς τὴν Καισάρειαν, ποὺ ὠνομάζετο Κορνήλιος, ἑκατόνταρχος, ἀπὸ τὸ τάγμα ποὺ ἐλέγετο σπεῖρα Ἰταλική.

2 Αὐτὸς ἦτο εὐσεβὴς καὶ μολονότι ἐκ καταγωγῆς ἦτο εἰδωλολάτρης, ἐγνώρισε τὸν ἀληθινὸν Θεὸν καὶ ἐφοβεῖτο αὐτὸν μὲ ὅλους, ὅσοι ἦσαν εἰς τὸ σπίτι του· καὶ ἔκανε πολλὰς ἐλεημοσύνας εἰς τὸν λαὸν καὶ παρεκάλει συνεχῶς τὸν Θεὸν νὰ τὸν φωτίσῃ.

3 Αὐτὸς λοιπὸν ὁ ἄνθρωπος εἶδε καθαρὰ καὶ φανερὰ εἰς ὀπτασίαν, ποὺ τοῦ παρουσιάσθη περίπου εἰς τὰς τρεῖς τὸ ἀπόγευμα, ἕνα ἄγγελον τοῦ Θεοῦ, ὁ ὁποῖος εἰσῆλθεν εἰς τὸ σπίτι του πρὸς συνάντησιν αὐτοῦ καὶ τοῦ εἶπε· Κορνήλιε.

4 Αὐτὸς δέ, ἀφοῦ ἔστρεψε καὶ προσήλωσε τὰ μάτια του εἰς αὐτόν, ἐκυριεύθη ὁλόκληρος ἀπὸ φόβον καὶ εἶπε· Τί εἶναι, κύριε; Εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος: Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς τὸν οὐρανὸν ὡς προσφορὰ εὐπρόσδεκτος εἰς τὸν Θεὸν καὶ ἀξία διὰ νὰ σὲ ἐνθυμῆται καὶ νὰ μὴ σὲ λησμονῇ ποτέ.

5 Καὶ τώρα στεῖλε εἰς τὴν Ἰόππην ἀπεσταλμένους καὶ κάλεσε νὰ ἔλθῃ ἐδῶ ὁ Σίμων, ποὺ ὀνομάζεται Πέτρος.

6 Αὐτὸς φιλοξενεῖται ἀπὸ κάποιον Σίμωνα βυρσοδέψην, ὁ ὁποῖος ἔχει τὸ σπίτι του κοντὰ εἰς τὴν θάλασσαν.

7 Ἀμέσως δὲ ὅταν ἔφυγεν ὁ ἄγγελος, ποὺ ὡμίλει πρὸς τὸν Κορνήλιον, ἐκάλεσεν οὗτος δύο ἀπὸ τοὺς ὑπηρέτας, ποὺ ἔμεναν εἰς τὸ σπίτι του, καὶ ἕνα στρατιώτην εὐσεβῆ ἀπὸ τοὺς ἀπεσπασμένους εἰς τὴν ὑπηρεσίαν του,

8 καὶ ἀφοῦ τοὺς ἐξήγησεν ὅλα, ὅσα τοῦ ἐφανερώθησαν εἰς τὴν ὀπτασίαν, τοὺς ἀπέστειλεν εἰς τὴν Ἰόππην.

9 Τὴν ἄλλην δὲ ἡμέραν, ἐνῷ ἐκεῖνοι ἐβάδιζον καὶ ἐπλησίαζαν νὰ φθάσουν εἰς τὴν πόλιν, ἀνέβη ὁ Πέτρος εἰς τὸ ἡλιακωτὸν τοῦ σπιτιοῦ διὰ νὰ προσευχηθῇ, κατὰ τὰς δώδεκα τὸ μεσημέρι.

Ι΄. [1-2]) 22. 35. κζ΄ 1. Λκ. ζ΄ 2. 5. 9. [3-4]) 30. 31. Λκ. α΄ 11 - 13. (Ψ. ρμ΄ 2. Τβ. ιβ΄ 12. 15. Ἀπ. η΄ 4). [5-6]) 32. θ΄ 43. ια΄ 13. [7-8]) 17. 33. [9-13]) γ΄ 1. ια΄ 5 - 7. κβ΄ 17. 2 Κρ. ιβ΄ 2 - 4. Ἀπ. α΄ 9. 10.

10 ἐγένετο δὲ πρόσπεινος καὶ ἤθελε γεύσασθαι· παρασκευαζόντων δὲ ἐκείνων ἐπέπεσεν ἐπ' αὐτὸν ἔκστασις,

11 καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον καὶ καταβαῖνον ἐπ' αὐτὸν σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς δεδεμένον καὶ καθιέμενον ἐπὶ τῆς γῆς,

12 ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

13 καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε.

14 ὁ δὲ Πέτρος εἶπε· μηδαμῶς, Κύριε· ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον.

15 καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν· ἃ ὁ Θεὸς ἐκαθάρισε σὺ μὴ κοίνου.

16 τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν.

17 Ὡς δὲ ἐν ἑαυτῷ διηπόρει ὁ Πέτρος τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδε, καὶ ἰδοὺ οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ Κορνηλίου διερωτήσαντες τὴν οἰκίαν Σίμωνος ἐπέστησαν ἐπὶ τὸν πυλῶνα,

18 καὶ φωνήσαντες ἐπυνθάνοντο εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος ἐνθάδε ξενίζεται.

19 τοῦ δὲ Πέτρου διενθυμουμένου περὶ τοῦ ὁράματος εἶπεν αὐτῷ τὸ Πνεῦμα· ἰδοὺ ἄνδρες τρεῖς ζητοῦσί σε·

10 Ἐπείνασε δὲ πολὺ καὶ ἤθελε νὰ γευθῇ τροφήν. Ἐνῷ δὲ ἐκεῖνοι, ποὺ ἦσαν εἰς τὸ σπίτι, ἡτοίμαζαν τὸ φαγητόν, κατέλαβε τὸν Πέτρον ἔκστασις εἰς τρόπον ὥστε αἱ σωματικαί του αἰσθήσεις ἀπεσπάσθησαν ἀπὸ τὸν ἐξωτερικὸν κόσμον καὶ ὁ νοῦς του ὁλόκληρος προσηλώθη εἰς ἐκεῖνα, ποὺ τοῦ ἐφανέρωνεν ὁ Θεός.

11 Καὶ βλέπει τότε τὸν οὐρανὸν νὰ εἶναι ἀνοιγμένος καὶ νὰ καταβαίνῃ πρὸς αὐτὸν ἕνα ἀγγεῖον, ποὺ ὡμοίαζε πρὸς σινδόνην μεγάλην καὶ τὸ ὁποῖον ἦτο δεμένον ἀπὸ τέσσαρα ἄκρα καὶ ἐρρίπτετο σιγά - σιγὰ ἐπὶ τῆς γῆς.

12 Μέσα δὲ εἰς αὐτὸ ὑπῆρχον ὅλα τὰ τετράποδα τῆς γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, πλεῖστα ἐκ τῶν ὁποίων σύμφωνα μὲ τὰς διατάξεις τοῦ νόμου ἦσαν ἀκάθαρτα καὶ ἀπηγορεύετο εἰς τοὺς Ἰσραηλίτας νὰ τρώγουν αὐτά.

13 Καὶ ἦλθε φωνὴ πρὸς αὐτόν, ποὺ τοῦ ἔλεγε: Πέτρε, σήκω, σφάξε ἀπὸ τὰ ζῶα αὐτά, ποὺ βλέπεις, καὶ φάγε.

14 Ὁ Πέτρος ὅμως εἶπε· Μὲ κανένα τρόπον δὲν θὰ κάμω τοῦτο, Κύριε· διότι ποτὲ εἰς τὴν ζωήν μου δὲν ἔφαγα οἱονδήποτε ζῶον, τὸ ὁποῖον ὁ νόμος ἀπαγορεύει ὡς μολυσμένον ἢ ἀκάθαρτον.

15 Καὶ ἦλθε πάλιν διὰ δευτέραν φορὰν φωνὴ πρὸς αὐτόν· Αὐτὰ ποὺ ὁ Θεὸς κατεβάζει ἀπὸ τὸν οὐρανὸν μέσα εἰς τὴν σινδόνην, τὰ ἔχει κάμει καθαρά. Σὺ λοιπὸν μὴ θεωρῇς ταῦτα ἀκάθαρτα καὶ μολυσμένα.

16 Τοῦτο δὲ ἔγινε τρεῖς φοράς. Καὶ πάλιν τὸ ἀγγεῖον ὑψώθη καὶ ἀνελήφθη ὡς καθαρὸν εἰς τὸν οὐρανόν, ὅπου ἀκάθαρτον δὲν εἰσχωρεῖ.

17 Ἐνῷ δὲ ἀποροῦσε μέσα του ὁ Πέτρος περὶ τοῦ τί νὰ ἐσήμαινε τὸ ὅραμα ποὺ εἶδε, καὶ ἰδοὺ οἱ ἄνθρωποι οἱ ἀπεσταλμένοι ἀπὸ τὸν Κορνήλιον, ἀφοῦ ἐν τῷ μεταξὺ ἠρώτησαν καὶ εὗρον τὸ σπίτι τοῦ Σίμωνος, ἐστάθησαν ἐμπρὸς εἰς τὴν ἐξώπορταν.

18 Καὶ ἀφοῦ ἐφώναξαν δυνατά, ἐζήτουν νὰ πληροφορηθοῦν, ἐὰν ὁ Σίμων, ποὺ ἐπονομάζεται Πέτρος, φιλοξενεῖται ἐδῶ.

19 Ἐνῷ δὲ ὁ Πέτρος ἐκυκλοφόρει εἰς τὴν διάνοιάν του τὸ δραμα ποὺ εἶδε, καὶ προσεπάθει νὰ τὸ ἐξηγήσῃ, εἶπεν εἰς αὐτὸν δι' ἐσωτερικῆς ἐμπνεύσεως τὸ Ἅγιον Πνεῦμα· Ἰδοὺ τρεῖς ἄνδρες σὲ ζητοῦν. Μὴ τοὺς ἀποφύγῃς ἐξ αἰτίας τοῦ ὅτι εἶναι ἐθνικοὶ καὶ ἀκάθαρτοι.

[14]) Λτ. ια΄ 14 - 47. Δτ. ιδ΄ 4 - 21. Ἰζ. δ΄ 14. Πρ. ια΄ 8. [15]) 19. 20. 28. 29. 34. 35. ια΄ 2. 3. 9. 12. 17. ιε΄ 9. Μτ. ιε΄ 11. 24 - 28. Ἰν. ι΄ 16. Ἐφ. β΄ 1 - 22. [16]) ια΄ 10. [17-18]) ια΄ 11. ιε΄ 7.

20 ἀλλὰ ἀναστὰς κατάβηθι καὶ πορεύου σὺν αὐτοῖς μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέσταλκα αὐτούς.

20 Ἀλλὰ σήκω γρήγορα καὶ κατέβα ἀπὸ τὸ ἡλιακωτὸν καὶ πήγαινε μαζί τους, χωρὶς νὰ διστάσῃς εἰς τίποτε, διότι ἐγὼ τοὺς ἔχω ἀποστείλει εἰς συνάντησίν σου.

21 καταβὰς δὲ Πέτρος πρὸς τοὺς ἄνδρας εἶπεν· ἰδοὺ ἐγώ εἰμι ὃν ζητεῖτε· τίς ἡ αἰτία δι' ἣν πάρεστε;

21 Ἀφοῦ δὲ ὁ Πέτρος κατέβη πρὸς τοὺς ἄνδρας, εἶπεν· Ἰδοὺ ἐγὼ εἶμαι ἐκεῖνος ποὺ ζητεῖτε. Ἐκ ποίας αἰτίας καὶ διὰ ποῖον σκοπὸν ἤλθατε ἐδῶ;

22 οἱ δὲ εἶπον· Κορνήλιος ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν Θεόν, μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ.

22 Οὗτοι δὲ εἶπον· Ὁ Κορνήλιος ὁ ἑκατόνταρχος, ἄνθρωπος δίκαιος καὶ θεοφοβούμενος, καὶ ὁ ὁποῖος μαρτυρεῖται ὡς τοιοῦτος ἀπὸ ὅλον τὸ ἔθνος τῶν Ἰουδαίων, ἔλαβεν ἐντολὴν καὶ ὁδηγίαν ἀπὸ ἄγγελον ἅγιον νὰ στείλῃ καὶ νὰ σὲ καλέσῃ εἰς τὸ σπίτι του καὶ νὰ ἀκούσῃ ἀπὸ σὲ λόγους, ποὺ θὰ τὸν ὁδηγήσουν εἰς σωτηρίαν.

23 εἰσκαλεσάμενος οὖν αὐτοὺς ἐξένισε. Τῇ δὲ ἐπαύριον ἀναστὰς ἐξῆλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ τῆς Ἰόππης συνῆλθον αὐτῷ,

23 Κατόπιν λοιπὸν τῆς εἰδήσεως αὐτῆς ὁ Πέτρος τοὺς ἐκάλεσε νὰ ἔμβουν εἰς τὸ σπίτι καὶ τοὺς ἐφιλοξένησε. Τὴν ἄλλην δὲ ἡμέραν ἐσηκώθη καὶ ἀνεχώρησε μετ' αὐτῶν. Καὶ ἐπῆγαν μαζί του καὶ μερικοὶ ἀπὸ τοὺς ἀδελφοὺς τῆς Ἐκκλησίας τῆς Ἰόππης.

24 καὶ τῇ ἐπαύριον εἰσῆλθον εἰς τὴν Καισάρειαν. ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτοὺς συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους.

24 Καὶ τὴν ἄλλην ἡμέραν ἐμβῆκαν εἰς τὴν Καισάρειαν. Ὁ Κορνήλιος δὲ ἐν τῷ μεταξὺ τοὺς ἐπερίμενε, καὶ συνεκάλεσε πρὸς ὑποδοχήν των τοὺς συγγενεῖς του καὶ τοὺς στενωτέρους φίλους του.

25 Ὡς δὲ ἐγένετο τοῦ εἰσελθεῖν τὸν Πέτρον, συναντήσας αὐτῷ ὁ Κορνήλιος πεσὼν ἐπὶ τοὺς πόδας προσεκύνησεν.

25 Ὅτε δὲ ἐπρόκειτο ὁ Πέτρος νὰ εἰσέλθῃ εἰς τὸ σπίτι, ἐβγῆκεν εἰς προϋπάντησίν του ὁ Κορνήλιος καὶ ἀφοῦ ἔπεσεν εἰς τὰ πόδια του ἐπροσκύνησεν.

26 ὁ δὲ Πέτρος αὐτὸν ἤγειρε λέγων· ἀνάστηθι· κἀγὼ αὐτὸς ἄνθρωπός εἰμι.

26 Ὁ Πέτρος ὅμως τὸν ἐσήκωσε καὶ εἶπε· Σήκω ἐπάνω καὶ μὴ μὲ προσκυνῇς. Διότι καὶ ἐγὼ αὐτὸς εἶμαι ἄνθρωπος, ὅπως σύ.

27 καὶ συνομιλῶν αὐτῷ εἰσῆλθε, καὶ εὑρίσκει συνεληλυθότας πολλούς,

27 Καὶ ἐπροχώρησε συνομιλῶν ἐν τῷ μεταξὺ μετ' αὐτοῦ καὶ ἐμβῆκεν εἰς τὸ σπίτι, ὅπου εὗρε πολλοὺς ἀνθρώπους νὰ εἶναι μαζεμένοι.

28 ἔφη τε πρὸς αὐτούς· ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολ-

28 Καὶ εἶπε πρὸς αὐτοὺς ὁ Πέτρος· Σεῖς ξεύρετε καλά, πόσον ἀπαγορεύεται ἀπὸ τὸν μωσαϊκὸν νόμον εἰς ἄνθρωπον Ἰουδαῖον νὰ ἔρχεται εἰς στενὰς σχέσεις ἢ νὰ πλησιάζῃ ἀλλοεθνῆ.

20) η' 29. ια' 12. Ῥμ. δ' 20. Ἰκ. α' 6. 22) 1 - 5. 23) ια' 12. 24) 33. 25-26) 4 Βσ. δ' 37. Πρ. ιδ' 11. 15. ις' 29. Ἰκ. ε' 17. Ἀπ. ιθ' 10. κβ' 9. 28) (Γν. μγ' 31). Πρ. ι' 15. ια' 3. Μτ. θ' 11. Ἰν. δ' 9.

λᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ· καὶ ἐμοὶ ὁ Θεὸς ἔδειξε μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον·

Εἰς ἐμὲ ὅμως ὁ Θεὸς δι' ὁράματος ἐφανέρωσε νὰ μὴ θεωρῶ μολυσμένον ἢ ἀκάθαρτον κανένα ἄνθρωπον.

29 διὸ καὶ ἀναντιρρήτως ἦλθον μεταπεμφθείς. πυνθάνομαι οὖν τίνι λόγῳ μετεπέμψασθέ με;

29 Δι' αὐτὸ καὶ ἦλθον, ὅταν ἐκλήθην ὑπὸ τῶν ἀπεσταλμένων, χωρὶς νὰ προβάλω καμμίαν ἀντίρρησιν. Ἐρωτῶ λοιπὸν νὰ μάθω, διὰ ποῖον λόγον ἐστείλατε νὰ μὲ φέρετε;

30 καὶ ὁ Κορνήλιος ἔφη· ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων, καὶ τὴν ἐνάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου· καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ,

30 Καὶ ὁ Κορνήλιος εἶπε· Πρὸ τεσσάρων ἡμερῶν καθ' ὅλην τὴν ἡμέραν, ἀπὸ τὸ πρωῒ μέχρι τῆς ὥρας αὐτῆς ἐνήστευον. Καὶ εἰς τὰς τρεῖς τὸ ἀπόγευμα προσηυχόμην εἰς τὸ σπίτι μου. Καὶ ἰδοὺ ἐστάθη ἐμπρός μου ἕνας ἄνθρωπος μὲ λαμπρὰν ἐνδυμασίαν,

31 καί φησι· Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχὴ καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ Θεοῦ.

31 καὶ εἶπε· Κορνήλιε, εἰσηκούσθη ἡ προσευχή σου καὶ ὁ Θεὸς ἐνεθυμήθη τὰς ἐλεημοσύνας σου, δι' αὐτὸ δὲ καὶ εὐδοκεῖ τώρα νὰ πραγματοποιήσῃ τοὺς πόθους σου.

32 πέμψον οὖν εἰς Ἰόππην καὶ μετακάλεσαι Σίμωνα ὃς ἐπικαλεῖται Πέτρος· οὗτος ξενίζεται ἐν οἰκίᾳ Σίμωνος βυρσέως παρὰ θάλασσαν· ὃς παραγενόμενος λαλήσει σοι.

32 Στεῖλε λοιπὸν εἰς τὴν Ἰόππην καὶ κάλεσε νὰ ἔλθῃ ἐδῶ ὁ Σίμων, ποὺ ἐπονομάζεται Πέτρος. Αὐτὸς φιλοξενεῖται εἰς τὴν οἰκίαν Σίμωνος τοῦ βυρσοδέψου, ἡ ὁποία εἶναι πλησίον τῆς θαλάσσης. Αὐτός, ἀφοῦ ἔλθῃ ἐδῶ, θὰ σοῦ ὁμιλήσῃ περὶ τοῦ μέσου καὶ τοῦ τρόπου τῆς σωτηρίας σου.

33 ἐξαυτῆς οὖν ἔπεμψα πρός σε, σύ τε καλῶς ἐποίησας παραγενόμενος. νῦν οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ Θεοῦ πάρεσμεν ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ.

33 Ἀμέσως λοιπὸν μετὰ τὸ ὅραμα καὶ ἀπὸ τὴν αὐτὴν στιγμὴν ἔστειλα καὶ σὲ ἐκάλεσα, καὶ σὺ καλὰ ἔκαμες ποὺ ἦλθες. Τώρα λοιπὸν ὅλοι μας εἴμεθα ἐμπρὸς εἰς τὸν Θεὸν πρόθυμοι νὰ ἀκούσωμεν ὅλα, ὅσα ἔχουν διαταχθῆ εἰς σὲ ἀπὸ τὸν Θεὸν νὰ μᾶς εἴπῃς.

34 Ἀνοίξας δὲ Πέτρος τὸ στόμα αὐτοῦ εἶπεν· ἐπ' ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός,

34 Ἀνοίξας δὲ ὁ Πέτρος τὸ στόμα του μὲ τὴν ἀπόφασιν νὰ ὁμιλήσῃ διὰ μακρῶν εἶπεν· Ἀληθῶς καταλαβαίνω, ὅτι ὁ Θεὸς δὲν ἐπηρεάζεται ἀπὸ πρόσωπα καὶ δὲν κάνει προσωποληψίας.

35 ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστι.

35 Ἀλλ' εἰς κάθε ἔθνος, ὅποιος φοβεῖται τὸν Θεὸν καὶ πολιτεύεται εἰς τὸν βίον του μὲ δικαιοσύνην, εἶναι δεκτὸς ὑπ' αὐτοῦ καὶ δύναται νὰ ἀρέσῃ εἰς αὐτόν.

36 τὸν λόγον ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραὴλ εὐαγγελι-

36 Δι' αὐτὸ καὶ ἐγὼ δὲν ἐμποδίζομαι τώρα νὰ ἀναπτύξω καὶ εἰς σᾶς τὸν λόγον καὶ τὸ κήρυγμα, τὸ ὁποῖον ὁ Θεὸς ἀπέστειλεν

30-32) 3 - 6. 33) 7. 22. 34) Δτ. ι' 17. Σρ. λβ' : ε' 15. 16. Πρ. ιε' 8. 9. Ῥμ. β' 11. Γλ. β' 6. Ἐφ. ς' 9. Κλ. γ' 25. 1 Πτ. α' 17. Μτ. ε' 2. 35) Ἡσ. νς' 6. 7. 36) Ψ. ρς' 20. Νεμ. β' 1. Ἡσ. νβ' 7. Πρ. β' 36. Ἐφ. β' 14 - 18. δ' 4.

ζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ· οὗτός ἐστι πάντων Κύριος·

εἰς τοὺς Ἰσραηλίτας. Καὶ μὲ τὸν λόγον καὶ τὸ κήρυγμα αὐτὸ ἀναγγέλλει τὸ χαρμόσυνον μήνυμα τῆς εἰρηνεύσεως τοῦ Ἰσραὴλ πρὸς τὸν Θεὸν διὰ μέσου τοῦ Ἰησοῦ Χριστοῦ. Αὐτὸς εἶναι ὁ Κύριος ὅλων τῶν ἀνθρώπων καὶ θέλει ὅλοι νὰ σωθοῦν.

37 ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας μετὰ τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης,

37 Σεῖς ξεύρετε τὸ γεγονός, ποὺ διὰ λόγου ἐκηρύχθη καθ' ὅλην τὴν Ἰουδαίαν, καὶ τὸ ὁποῖον ἤρχισε ἀπὸ τὴν Γαλιλαίαν μετὰ τὸ βάπτισμα τῆς μετανοίας, ποὺ ἐκήρυξεν ὁ Ἰωάννης.

38 Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι Ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου, ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ·

38 Γνωρίζετε τὸν Ἰησοῦν, ὁ ὁποῖος κατάγεται ἀπὸ τὴν πόλιν Ναζαρέτ, πῶς ἔχρισεν αὐτὸν ὁ Θεὸς διὰ Πνεύματος Ἁγίου καὶ τὸν περιέβαλε μὲ δύναμιν, εἰς τὴν ὁποίαν ὀφείλονται τὰ τόσα θαύματά του καὶ ὁ ὁποῖος περιώδευσε καὶ ἐπέρασε ἀπὸ τόπου εἰς τόπον εὐεργετῶν καὶ θεραπεύων ὅλους, ὅσοι κατετυραννοῦντο ἀπὸ τὸν διάβολον καὶ ἐδαιμονίζοντο. Καὶ ἐνήργει τὰ ὑπερφυσικὰ ταῦτα ἔργα ὁ Ἰησοῦς, διότι ὁ Θεὸς ἦτο μαζί του.

39 καὶ ἡμεῖς ἐσμεν μάρτυρες πάντων ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ ἐν Ἱερουσαλήμ· ὃν καὶ ἀνεῖλον κρεμάσαντες ἐπὶ ξύλου.

39 Καὶ ἡμεῖς εἴδαμεν μὲ τὰ μάτια μας καὶ εἴμεθα μάρτυρες ὅλων, ὅσα ἔκαμε καὶ εἰς τὴν χώραν τῶν Ἰουδαίων καὶ εἰς τὴν Ἱερουσαλήμ. Καὶ ὅμως αὐτόν, ποὺ τόσας εὐεργεσίας καὶ θεραπείας ἔκαμε, τὸν ἐφόνευσαν καὶ μάλιστα μὲ θάνατον ἀτιμωτικόν. Διότι τὸν ἐκρέμασαν ἐπὶ τοῦ ξύλου τοῦ σταυροῦ.

40 τοῦτον ὁ Θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι,

40 Ὁ Θεὸς ὅμως ἀνέστησε τοῦτον κατὰ τὴν τρίτην ἀπὸ τοῦ θανάτου του ἡμέραν καὶ ἐπέτρεψε νὰ γίνῃ ὁρατὸς καὶ νὰ ἐμφανισθῇ μετὰ τὴν Ἀνάστασίν του,

41 οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ, ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν·

41 ὄχι πλέον εἰς ὅλον τὸν λαόν. Ἀλλ' ἐνεφανίσθη εἰς μάρτυρας, οἱ ὁποῖοι εἶχον ἐκλεγῆ ὑπὸ τοῦ Θεοῦ πολὺ προτοῦ σταυρωθῇ καὶ ἀναστηθῇ ὁ Ἰησοῦς. Καὶ οἱ μάρτυρες αὐτοὶ εἴμεθα ἡμεῖς οἱ ἀπόστολοι, οἱ ὁποῖοι ἐφάγομεν καὶ ἐπίομεν μαζί μὲ αὐτὸν μετὰ τὴν Ἀνάστασίν του ἐκ νεκρῶν.

42 καὶ παρήγγειλεν ἡμῖν κηρῦξαι τῷ λαῷ καὶ διαμαρτύρασθαι ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν.

42 Καὶ μᾶς παρήγγειλε νὰ κηρύξωμεν εἰς τὸν λαὸν καὶ νὰ μαρτυρήσωμεν καθιστῶντες ὑπευθύνους ἐνώπιον τοῦ Θεοῦ τοὺς ἀκροατάς μας, ἐὰν δὲν δεχθοῦν τὴν μαρτυρίαν μας, ὅτι αὐτὸς ὁ Ἰησοῦς εἶναι ἐκεῖνος, τὸν ὁποῖον ὁ Θεὸς κατὰ τὴν σωτηριώδη καὶ ἀμετάθετον βουλήν του ἔχει ὁρίσει κριτὴν ζώντων καὶ νεκρῶν.

43 τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν.

43 Δι' αὐτὸν μαρτυροῦν ὅλοι οἱ προφῆται καὶ βεβαιοῦν ὅτι καθένας, ποὺ πιστεύει εἰς αὐτόν, θὰ λάβῃ ἄφεσιν ἁμαρτιῶν διὰ τῆς δυνάμεως καὶ χάριτος, ἡ ὁποία προέρχεται ἀπὸ τὸ ὄνομα καὶ τὸ πρόσωπόν του.

[37-38]) α΄ 22. β΄ 22. δ΄ 27. Λκ. δ΄ 14. 18. 41. κγ΄ 5. κδ΄ 20. Ἰν. ις΄ 32. [39-41]) α΄ 4. 8. β΄ 24. γ΄ 15. ε΄ 30 - 32. Ἰν. ιζ΄ 6. κα΄ 1? [42]) ιζ΄ 31. Μτ. ις΄ 27. κε΄ 31. Ῥμ. ιδ΄ 9. 10. 1 Κρ. ιε΄ 23. 51. 52. 2 Τμ. δ΄ 1. 1 Πτ. δ΄ 5. [43]) γ΄ 24. ε΄ 31. ιγ΄ 38. ιε΄ 9. Μτ. ? 21. κς΄ 24. 28. Ῥμ. γ΄ 23 - 26.

Στίχ. 44-48. Ἔκχυσις τοῦ Ἁγίου Πνεύματος ἐπὶ τοὺς πιστεύσαντας.

44 Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα ἐπέπεσε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον.

44 Ἐνῷ δὲ ὁ Πέτρος ἔλεγε τοὺς λόγους αὐτοὺς καὶ προτοῦ ἀκόμη τοὺς τελειώσῃ, ἔπεσε κατὰ τρόπον αἰσθητὸν καὶ ἐμφανῆ τὸ Ἅγιον Πνεῦμα ἐπὶ ὅλων, ὅσοι ἤκουον τὸν λόγον.

45 καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοὶ ὅσοι συνῆλθον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ Ἁγίου Πνεύματος ἐκκέχυται·

45 Καὶ κατελήφθησαν ἀπὸ βαθὺν θαυμασμὸν καὶ ἔκπληξιν οἱ πιστοὶ Ἰουδαῖοι, ὅσοι εἶχαν ἔλθει μαζὶ μὲ τὸν Πέτρον ἀπὸ τὴν Ἰόππην. Καὶ ἐξεπλάγησαν οὗτοι, διότι καὶ εἰς τοὺς ἐθνικούς, ποὺ δὲν εἶχαν περιτμηθῆ, οὔτε εἶχαν συμμορφωθῆ πρὸς τὰς τυπικὰς διατάξεις τοῦ νόμου, ἐχύθη πλουσίως ἡ δωρεὰ τοῦ Ἁγίου Πνεύματος.

46 ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις καὶ μεγαλυνόντων τὸν Θεόν.

46 Ἀντελήφθησαν δὲ τὴν ἔκχυσιν αὐτὴν τῶν δωρεῶν καὶ εἰς τοὺς ἐθνικούς, διότι τοὺς ἤκουον νὰ ὁμιλοῦν μὲ γλώσσας, ποὺ δὲν τὰς ἤξευραν προτήτερα, καὶ μὲ τὰς ὁποίας τώρα ἐδοξολόγουν τὸν Θεόν.

47 τότε ἀπεκρίθη ὁ Πέτρος· μήτι τὸ ὕδωρ κωλῦσαι δύναταί τις τοῦ μὴ βαπτισθῆναι τούτους, οἵτινες τὸ Πνεῦμα τὸ Ἅγιον ἔλαβον καθὼς καὶ ἡμεῖς;

47 Τότε ἔλαβε τὸν λόγον ὁ Πέτρος καὶ εἶπε· Μήπως ἠμπορεῖ κανεὶς νὰ ἐμποδίσῃ τὸ νερὸ διὰ νὰ μὴ βαπτισθοῦν εἰς αὐτὸ οὗτοι, οἱ ὁποῖοι ἔλαβον τὸ Πνεῦμα τὸ Ἅγιον, καθὼς τὸ ἐλάβομεν καὶ ἡμεῖς, χωρὶς νὰ ὑπολείπωνται εἰς τὰ χαρίσματά του οὐδὲ κατ' ἐλάχιστον ἀπὸ ἡμᾶς;

48 προσέταξέ τε αὐτοὺς βαπτισθῆναι ἐν τῷ ὀνόματι τοῦ Κυρίου. τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς.

48 Καὶ διέταξε νὰ βαπτισθοῦν οὗτοι εἰς τὸ ὄνομα τοῦ Κυρίου. Τότε τὸν παρεκάλεσαν νὰ παραμείνῃ μετ' αὐτῶν μερικὰς ἡμέρας.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Στίχ. 1-18. Ὁ Πέτρος ἐξιστορεῖ τὰ περὶ τοῦ Κορνηλίου.

Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ Θεοῦ.

Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοί, ποὺ ἔμεναν εἰς τὰ διάφορα μέρη τῆς Ἰουδαίας, ὅτι καὶ οἱ ἐθνικοὶ ἐδέχθησαν τὸν λόγον τοῦ Θεοῦ καὶ ἐβαπτίσθησαν, χωρὶς προηγουμένως νὰ περιτμηθοῦν.

2 καὶ ὅτε ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα, διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς

2 Καὶ ὅταν ἀνέβη ὁ Πέτρος εἰς Ἱεροσόλυμα, ἐδείκνυαν πρὸς αὐτὸν ψυχρότητα καὶ τὸν ἀπέφευγαν οἱ ἐξ Ἰουδαίων Χριστιανοί, οἱ ὁποῖοι, πρὶν βαπτισθοῦν καὶ γνωρίσουν τὸν Χριστόν, εἶχον λάβει περιτομήν, ἐθεώρουν δὲ καὶ τώρα ὡς ἀναγκαίαν τὴν τήρησιν τῶν τυπικῶν διατάξεων τοῦ νόμου.

3 λέγοντες ὅτι πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰσῆλθες καὶ συνέφαγες αὐτοῖς.

3 Καὶ ἔλεγον πρὸς τὸν Πέτρον, ὅτι ἐμβῆκες εἰς τὸ σπίτι ἀνθρώπων, ποὺ δὲν εἶχον λάβει ποτὲ περιτομήν, καὶ ἔφαγες μαζὶ μὲ αὐτούς, χωρὶς νὰ προσέξῃς, ἐὰν τὰ φαγητὰ ἦσαν καθαρὰ καὶ παρεσκευάσθησαν, ὅπως ἀπαιτοῦν αἱ περὶ καθαρότητος διατάξεις καὶ παραδόσεις.

---

[44]) ια΄ 15. [45]) 23. β΄ 17. 38. ια΄ 2. Ττ. α΄ 10. [46-47]) β΄ 4. η΄ 36. ια΄ 17. ιε΄ 8. [48]) β΄ 38. ιη΄ 20. Ἰν. δ΄ 40. 1 Κρ. α΄ 17.
ΙΑ΄. [2-3]) ι΄ 28. 45. Γλ. β΄ 12. Ἐφ. β΄ 11.

4 ἀρξάμενος δὲ ὁ Πέτρος ἐξετίθετο αὐτοῖς καθεξῆς λέγων·
5 ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος, καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνον σκεῦός τι ὡς ὀθόνην μεγάλην τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἄχρις ἐμοῦ·
6 εἰς ἣν ἀτενίσας κατενόουν, καὶ εἶδον τὰ τετράποδα τῆς γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.
7 ἤκουσα δὲ φωνῆς λεγούσης μοι· ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε.
8 εἶπον δέ· μηδαμῶς, Κύριε· ὅτι πᾶν κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου.
9 ἀπεκρίθη δέ μοι φωνὴ ἐκ δευτέρου ἐκ τοῦ οὐρανοῦ· ἃ ὁ Θεὸς ἐκαθάρισε σὺ μὴ κοίνου.
10 τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνεσπάσθη ἅπαντα εἰς τὸν οὐρανόν.
11 καὶ ἰδοὺ ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην, ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με.
12 εἶπε δέ μοι τὸ Πνεῦμα συνελθεῖν αὐτοῖς μηδὲν διακρινόμενον. ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι, καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρός.
13 ἀπήγγειλέ τε ἡμῖν πῶς εἶδε τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα καὶ εἰπόντα αὐτῷ· ἀπόστειλον εἰς Ἰόππην ἄνδρας καὶ μετάπεμψαι Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον,

4 Ἤρχισε δὲ ὁ Πέτρος νὰ ἐκθέτῃ τὰ γεγονότα κατὰ σειρὰν καὶ ἔλεγεν·

5 Ἐγὼ προσηυχόμην εἰς τὴν πόλιν τῆς Ἰόππης, καὶ ἔπεσα εἰς ἔκστασιν καὶ εἶδα, ὄχι πλέον μὲ τὰς αἰσθήσεις τοῦ σώματος, θεῖον ὅραμα· εἶδα δηλαδὴ ἕνα ἀγγεῖον, σὰν σινδόνην μεγάλην, νὰ κρατῆται ἀπὸ τὰ τέσσαρα ἄκρα της καὶ νὰ ρίπτεται κάτω σιγά - σιγὰ ἀπὸ τὸν οὐρανὸν καὶ ἦλθεν ἕως ἐκεῖ ποὺ ἤμουν ἐγώ.

6 Εἰς τὴν σινδόνην αὐτὴν ἔρριψα προσεκτικὰ τὸ βλέμμα μου καὶ διέκρινα καθαρά, καὶ εἶδον τὰ τετράποδα τῆς γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

7 Ἤκουσα δὲ φωνήν, ἡ ὁποία μοῦ ἔλεγε· Πέτρε· σήκω, σφάξε καὶ φάγε.

8 Ἐγὼ δὲ εἶπα· Μὲ κανένα τρόπον, Κύριε, δὲν θὰ σφάξω, οὔτε θὰ φάγω ποτὲ ἀπὸ τὰ ζῶα αὐτά. Διότι δὲν ἔβαλα ποτὲ εἰς τὸ στόμα μου ὁποιονδήποτε μολυσμένον ἢ ἀκάθαρτον φαγητόν.

9 Ἀπεκρίθη δὲ ἐκ δευτέρου εἰς ἐμὲ μία φωνὴ ἀπὸ τὸν οὐρανόν· Ἐκεῖνα, ποὺ ὁ Θεὸς διεκήρυξεν ὡς καθαρά, σὺ μὴ τὰ θεωρῇς καὶ μὴ τὰ ἀποκαλῇς ἀκάθαρτα.

10 Τοῦτο δὲ ἔγινε τρεῖς φοράς. Καὶ πάλιν ὅλα ἐσύρθησαν ἐπάνω εἰς τὸν οὐρανόν, εἰς τὸν τόπον δηλαδή, ποὺ κανὲν ἀκάθαρτον δὲν εἰσχωρεῖ. Ἦσαν λοιπὸν καὶ ὅλα αὐτὰ καθαρά.
11 Καὶ ἰδοὺ κατὰ τὴν αὐτὴν ἀκριβῶς στιγμὴν ἐστάθησαν ἐμπρὸς εἰς τὸ σπίτι ὅπου ἤμουν τρεῖς ἄνθρωποι, ἀπεσταλμένοι πρὸς ἐμὲ ἀπὸ τὴν Καισάρειαν.

12 Εἶπε δὲ πρὸς ἐμὲ τὸ Πνεῦμα νὰ τοὺς ἀκολουθήσω καὶ νὰ ἔλθω μαζί τους εἰς τὴν Καισάρειαν, χωρὶς νὰ δοκιμάσω δισταγμὸν ἢ ἀμφιβολίαν περὶ τοῦ ἂν ἐπιτρέπεται νὰ ταξιδεύσω μετ' αὐτῶν. Ἦλθον δὲ μαζὶ μὲ ἐμὲ εἰς τὴν Καισάρειαν καὶ αὐτοὶ ἐδῶ οἱ ἓξ ἀδελφοί, τοὺς ὁποίους βλέπετε, καὶ εἰσήλθομεν μαζὶ εἰς τὸ σπίτι τοῦ ἀνθρώπου, ποὺ μᾶς εἶχε προσκαλέσει.
13 Καὶ αὐτὸς μᾶς διηγήθη, πῶς εἶδε τὸν ἄγγελον εἰς τὸ σπίτι του νὰ σταθῇ ὄρθιος ἐμπρός του καὶ νὰ τοῦ εἴπῃ· Στεῖλε εἰς τὴν Ἰόππην ἀνθρώπους καὶ κάλεσε τὸν Σίμωνα, ποὺ ἐπονομάζεται Πέτρος.

5-10) ι΄ 9 - 16. 11-12) ι΄ 17 - 20. 23. 24. 27. 13-14) ι΄ 30 - 33.

14 ὃς λαλήσει ῥήματα πρός σε, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου.
15 ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν ἐπέπεσε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ' αὐτοὺς ὥσπερ καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ.
16 ἐμνήσθην δὲ τοῦ ῥήματος Κυρίου ὡς ἔλεγεν· Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ.
17 εἰ οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ Θεὸς ὡς καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν, ἐγὼ δὲ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν;
18 ἀκούσαντες δὲ ταῦτα ἡσύχασαν καὶ ἐδόξαζον τὸν Θεὸν λέγοντες· ἄρα γε καὶ τοῖς ἔθνεσιν ὁ Θεὸς τὴν μετάνοιαν ἔδωκεν εἰς ζωήν.

14 Αὐτὸς θὰ λαλήσῃ πρὸς σὲ λόγους, μὲ τοὺς ὁποίους, ἐὰν τοὺς ἐγκολπωθῆτε καὶ συμμορφωθῆτε πρὸς αὐτούς, θὰ σωθῇς σὺ καὶ ὅλοι, ὅσοι εἶναι εἰς τὸ σπίτι σου.
15 Ὅταν δὲ ἐγὼ ἤρχισα νὰ τοὺς ὁμιλῶ, μετεδόθησαν εἰς αὐτοὺς τὰ ἔκτακτα χαρίσματα τοῦ Ἁγίου Πνεύματος, καθὼς εἶχαν μεταδοθῆ καὶ εἰς ἡμᾶς εἰς τὰς ἀρχὰς κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ποὺ διὰ πρώτην φορὰν μετεδόθη τὸ Ἅγιον Πνεῦμα εἰς τὴν Ἐκκλησίαν.

16 Ἐνεθυμήθην δὲ τότε τὸν λόγον τοῦ Κυρίου, ὅταν ἔλεγεν· ὁ Ἰωάννης μὲν ἐβάπτισε τοὺς προσελθόντας εἰς αὐτὸν μὲ ἁπλοῦν νερό, σεῖς δὲ θὰ βαπτισθῆτε μὲ Πνεῦμα Ἅγιον.

17 Ἐὰν λοιπὸν τὴν αὐτὴν δωρεὰν καὶ τὰ ἴδια χαρίσματα τοῦ Ἁγίου Πνεύματος ἔδωκεν εἰς αὐτοὺς ὁ Θεός, ὅπως καὶ εἰς ἡμᾶς, καὶ τὰ ἔδωκε μόνον καὶ μόνον διότι καὶ ἐκεῖνοι καὶ ἡμεῖς ἐπιστεύσαμεν εἰς τὸν Κύριον Ἰησοῦν Χριστόν, ποῖος ἤμουν ἐγὼ καὶ ποίαν δύναμιν εἶχον διὰ νὰ ἐμποδίσω τὸν Θεόν, ἀπὸ τοῦ νὰ δεχθῇ εἰς τὸ βάπτισμα τοὺς ἐθνικοὺς τούτους;
18 Ὅταν δὲ ἤκουσαν αὐτὰ οἱ ἐν Ἱεροσολύμοις Χριστιανοὶ ἡσύχασαν καὶ ἔπαυσαν κάθε ἀντιλογίαν καὶ ἐδόξαζον τὸν Θεὸν λέγοντες· Ἀπὸ αὐτὰ λοιπὸν ἀποδεικνύεται, ὅτι καὶ εἰς τοὺς ἐθνικοὺς ἔδωκεν ὁ Θεὸς τὴν χορηγηθεῖσαν εἰς τοὺς Ἰουδαίους μετάνοιαν, διὰ νὰ λάβουν καὶ αὐτοὶ τὴν διὰ τοῦ Μεσσίου σωτηρίαν καὶ ζωήν.

Στίχ. 19-30. Ὁ Βαρνάβας καὶ ὁ Παῦλος εἰς Ἀντιόχειαν.

19 Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰουδαίοις.
20 Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες εἰσελθόντες εἰς Ἀντιόχειαν ἐλάλουν πρὸς τοὺς Ἑλληνιστάς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν.

19 Ἀλλὰ προτοῦ συμβοῦν αὐτὰ μὲ τὸν Κορνήλιον, ἐπεκράτει εἰς τοὺς Χριστιανοὺς τῶν Ἱεροσολύμων ἡ προκατάληψις, ὅτι οἱ ἐθνικοὶ δὲν εἶχον τὰ αὐτὰ δικαιώματα μὲ τοὺς Ἰουδαίους ἐπὶ τῆς διὰ τοῦ Ἰησοῦ Χριστοῦ σωτηρίας. Ἐκεῖνοι, λοιπόν, ποὺ ἔφυγαν ἀπὸ τὰ Ἱεροσόλυμα καὶ διεσπάρησαν λόγῳ τοῦ διωγμοῦ, ὁ ὁποῖος ἔγινεν ἐξ αἰτίας τοῦ Στεφάνου, ἔφθασαν μέχρι τῆς Φοινίκης καὶ τῆς Κύπρου καὶ τῆς Ἀντιοχείας καὶ δὲν ἐκήρυττον τὸν λόγον τοῦ Θεοῦ εἰς κανένα ἄλλον, παρὰ μόνον εἰς τοὺς Ἰουδαίους.
20 Ἦσαν δὲ μερικοὶ ἀπὸ αὐτοὺς ἄνδρες Ἰουδαῖοι μὲν κατὰ τὴν καταγωγήν, ἀλλ' οἱ ὁποῖοι εἶχαν γεννηθῆ ἄλλοι εἰς τὴν Κύπρον καὶ ἄλλοι εἰς τὴν Κυρηναϊκὴν Λιβύην. Αὐτοὶ ὅταν ἦλθαν εἰς τὴν Ἀντιόχειαν, ἐδίδασκον τοὺς Ἰουδαίους, ποὺ εἶχον γεννηθῆ μακρὰν τῆς Παλαιστίνης καὶ εἶχον πλέον ὡς γλῶσσαν μητρικήν των τὴν Ἑλληνικήν, καὶ ἐκήρυττον εἰς αὐτοὺς τὸ Εὐαγγέλιον τῆς διὰ τοῦ Ἰησοῦ Χριστοῦ σωτηρίας.

15) ι΄ 44. β΄ 3. 4. 16) α΄ 5. 17) ι΄ 47. 18) ιδ΄ 27. ιε΄ 3. κα΄ 20. 19-20) η΄ 1. 4. ιγ΄ 4.

21 καὶ ἦν χεὶρ Κυρίου μετ' αὐτῶν, πολύς τε ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον.

22 Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς ἐν Ἱεροσολύμοις περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας·

23 ὃς παραγενόμενος καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ,

24 ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης Πνεύματος Ἁγίου καὶ πίστεως· καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ.

25 ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Σαῦλον, καὶ εὑρὼν αὐτὸν ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν.

26 ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ καὶ διδάξαι ὄχλον ἱκανόν, χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς Χριστιανούς.

27 Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν·

28 ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν ὀνόματι Ἄγαβος ἐσήμανε διὰ τοῦ Πνεύματος λιμὸν μέγαν μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην· ὅστις καὶ ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος.

29 τῶν δὲ μαθητῶν καθὼς ηὐπορεῖτό τις, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς·

21 Καὶ ἡ δύναμις τοῦ Κυρίου ἦτο μαζί των καὶ μὲ τὴν συνέργειαν καὶ ἐνίσχυσιν τῆς δυνάμεως ταύτης πολὺς ἀριθμὸς ἐκ τῶν Ἰουδαίων τούτων Ἑλληνιστῶν ἐπίστευσε καὶ ἐπέστρεψε εἰς τὸν Κύριον.

22 Ἔφθασε δὲ ἡ φήμη τῶν ἐπιτυχιῶν τούτων εἰς τὰ αὐτιὰ τῆς Ἐκκλησίας τῶν Ἱεροσολύμων, καὶ ἐξαπέστειλαν τὸν Βαρνάβαν νὰ ἔλθῃ μέχρις Ἀντιοχείας.

23 Αὐτὸς δέ, ὅταν ἦλθε καὶ εἶδε τὴν χάριν τοῦ Θεοῦ, ποὺ ἐμαρτυρεῖτο ἀπὸ τὸ πλῆθος τῶν πιστευσάντων καὶ ἀπὸ τὸν βίον αὐτῶν, ἐχάρη καὶ προέτρεπεν ὅλους νὰ μένουν ἀφωσιωμένοι καὶ προσκολλημένοι εἰς τὸν Κύριον μὲ ὅλην τὴν διάθεσιν τῆς ψυχῆς των.

24 Ἐχάρη δὲ καὶ ἐστήριζε τοὺς νέους τούτους μαθητὰς ὁ Βαρνάβας, διότι ἦτο ἄνθρωπος ἀγαθὸς καὶ γεμᾶτος Πνεῦμα Ἅγιον καὶ πίστιν. Δι' αὐτὸ δὲ καὶ ἠδύνατο νὰ στηρίζῃ καὶ νὰ παρακαλῇ. Καὶ ἐκ τῆς δράσεως ταύτης τοῦ Βαρνάβα προσετέθη εἰς τοὺς πιστοὺς ἀκολούθους τοῦ Κυρίου πολὺ πλῆθος λαοῦ.

25 Μετέβη δὲ ὁ Βαρνάβας εἰς Ταρσὸν διὰ νὰ ζητήσῃ τὸν Σαῦλον καὶ παραλάβῃ αὐτὸν ὡς βοηθόν του εἰς τὸ ἔργον τῆς διδασκαλίας καὶ ἐνισχύσεως τοῦ πλήθους τούτου τῶν Χριστιανῶν. Καὶ ὅταν τὸν εὗρε, τὸν ἔφερεν εἰς τὴν Ἀντιόχειαν.

26 Συνέβη δὲ ἐπὶ ἓν ὁλόκληρον ἔτος οἱ δύο αὐτοὶ ἀπόστολοι νὰ λάβουν μέρος εἰς τὰς συνάξεις τῶν πιστῶν ἐν τῇ Ἐκκλησίᾳ καὶ νὰ διδάξουν πλῆθος πολύ. Καὶ εἰς τὴν Ἀντιόχειαν ἐξ ἀφορμῆς τοῦ πλήθους των ὠνομάσθησαν διὰ πρώτην φορὰν οἱ μαθηταὶ τοῦ Κυρίου Χριστιανοί.

27 Κατὰ τὰς ἡμέρας δὲ αὐτὰς κατέβησαν ἀπὸ τὰ Ἱεροσόλυμα εἰς τὴν Ἀντιόχειαν μερικοὶ προφῆται.

28 Εἰς τὴν σύναξιν δὲ τῶν πιστῶν ἐσηκώθη ἕνας ἀπὸ αὐτούς, ποὺ ἐλέγετο Ἄγαβος, καὶ φωτισθεὶς ἀπὸ τὸ Ἅγιον Πνεῦμα κατέστησε γνωστόν, ὅτι ἔμελλε νὰ γίνῃ μεγάλη πεῖνα εἰς ὅλην τὴν οἰκουμένην. Ἔγινε δὲ πράγματι ἡ πεῖνα αὐτὴ ἐπὶ τῆς αὐτοκρατορίας τοῦ Κλαυδίου Καίσαρος.

29 Κατόπιν δὲ τῆς προφητείας αὐτῆς οἱ μαθηταὶ ἀναλόγως τῶν πόρων καὶ τῶν μέσων, ποὺ εἶχε κανείς, ἀπεφάσισαν νὰ στείλουν καθένας ἀπὸ αὐτοὺς συνδρομὴν πρὸς βοήθειαν καὶ ὑπηρεσίαν τῶν ἀδελφῶν, οἱ ὁποῖοι διέμενον ἐν τῇ Ἰουδαίᾳ.

[21]) β´ 47. δ´ 30. [22]) δ´ 36. η´ 14. [23]) ιγ´ 43. ιδ´ 22. ιε´ 32. [24]) ε´ 14. ς´ 5. [25-26]) θ´ 27. 30. ιδ´ 28. ιε´ 35. κς´ 28. Γλ. β´ 11. 1 Πτ. δ´ 16. [27]) ιγ´ 1. ιε´ 32. [28]) κα´ 10. [29]) κδ´ 17. Ῥμ. ιε´ 25. 26. 1 Κρ. ις´ 1. 2 Κρ. η´ 3. 4. θ´ 12. Γλ. β´ 10.

30 ὃ καὶ ἐποίησαν ἀποστείλαντες πρὸς τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου.

30 Πράγματι δὲ τὸ ἔκαμαν καὶ ἀπέστειλαν τὴν εἰσφοράν των εἰς τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας τῶν Ἱεροσολύμων διὰ τῶν χειρῶν τοῦ Βαρνάβα καὶ τοῦ Σαύλου.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ´.

Στίχ. 1-19. Μαρτύριον τοῦ Ἰακώβου. Φυλάκισις τοῦ Πέτρου καὶ ἀπελευθέρωσις αὐτοῦ διὰ θαύματος.

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας.

2 ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ.

3 καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον· ἦσαν δὲ αἱ ἡμέραι τῶν ἀζύμων·

4 ὃν καὶ πιάσας ἔθετο εἰς φυλακήν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτόν, βουλόμενος μετὰ τὸ πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ.

5 ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ.

6 Ὅτε δὲ ἔμελλεν αὐτὸν προάγειν ὁ Ἡρῴδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν δεδεμένος ἁλύσεσι δυσί, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν.

7 καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ὁ βασιλεὺς Ἡρῴδης Ἀγρίππας ὁ Α´, ἔγγονος τοῦ μεγάλου Ἡρῴδου, ἔβαλε χέρι εἰς μερικοὺς ἀπὸ τὰ μέλη τῆς Ἐκκλησίας διὰ νὰ τοὺς κακοποιήσῃ.

2 Ἐθανάτωσε δὲ διὰ μαχαίρας τὸν Ἰάκωβον, τὸν ἀδελφὸν τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου.

3 Καὶ ὅταν εἶδεν, ὅτι καὶ οἱ προεστοὶ καὶ ὁ λαὸς τῶν Ἰουδαίων εὐχαριστήθησαν διὰ τὴν ἐνέργειάν του αὐτήν, ἀπεφάσισεν ἐπιπροσθέτως νὰ συλλάβῃ καὶ τὸν Πέτρον. Ἦσαν δὲ τότε αἱ ἡμέραι τῆς ἑορτῆς τῶν ἀζύμων.

4 Καὶ ἀφοῦ συνέλαβε τοῦτον, τὸν ἔκλεισεν εἰς φυλακήν, παραδώσας αὐτὸν εἰς τέσσαρας τετράδας στρατιωτῶν διὰ νὰ τὸν φρουροῦν, διότι ἤθελε μετὰ τὴν ἑορτὴν τοῦ Πάσχα νὰ τὸν ἀνεβάσῃ εἰς τὸ κριτήριον καὶ νὰ τὸν δικάσῃ ἐπὶ παρουσίᾳ τοῦ λαοῦ.

5 Ἔτσι λοιπὸν ὁ μὲν Πέτρος ἐφρουρεῖτο μέσα εἰς τὴν φυλακήν· ὑπὸ τῆς Ἐκκλησίας ὅμως τῶν Ἱεροσολύμων ἐγίνετο ἐξακολουθητικῶς ὑπὲρ τῆς διασώσεως αὐτοῦ μακρὰ καὶ θερμὴ προσευχὴ πρὸς τὸν Θεόν.

6 Ὅταν δὲ ἐπρόκειτο ὁ Ἡρῴδης νὰ τὸν προσαγάγῃ εἰς τὸ δικαστήριον, κατὰ τὴν προηγουμένην νύκτα τῆς ἡμέρας ἐκείνης ὁ Πέτρος ἐκοιμᾶτο ἥσυχα ἐν μέσῳ δύο στρατιωτῶν δεμένος μὲ δύο ἁλυσίδες, καὶ φρουροὶ πρὸ τῆς θύρας ἐφύλαττον τὸ δεσμωτήριον.

7 Καὶ ἰδοὺ ἄγγελος Κυρίου ἦλθεν ἔξαφνα καὶ φῶς ἔλαμψεν ἐντὸς τοῦ δωματίου, ὅπου ἐκοιμᾶτο ὁ Πέτρος. Ἀφοῦ δὲ ὁ ἄγγελος ἐκτύπησε τὴν πλευρὰν τοῦ Πέτρου, τὸν ἐξύπνησε καὶ τοῦ

[30]) ιβ´ 25. ιδ´ 23. ιε´ 2. κ´ 17. κα´ 18. 1 Τμ. ε´ 17. 19. Ττ. α´ 5. 7. Ἰκ. ε´ 14. 1 Πτ. ε´ 1.

ΙΒ´. [1]) δ´ 3. [2]) Μτ. δ´ 21. ι´ 2. κ´ 23. [3]) κ´ 6. κδ´ 27. Μρ. ιδ´ 1. 12. [4]) ις´ 23. 24. Μτ. κς´ 5. [5]) ις´ 25. Ἰκ. ε´ 16. [7]) ε´ 19. ις´ 26. Λκ. β´ 9.

τὴν πλευρὰν τοῦ Πέτρου ἤγειρεν αὐτὸν λέγων· ἀνάστα ἐν τάχει. καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν.

8 εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτόν· περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου. ἐποίησε δὲ οὕτω. καὶ λέγει αὐτῷ· περιβαλοῦ τὸ ἱμάτιόν σου καὶ ἀκολούθει μοι.

9 καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου, ἐδόκει δὲ ὅραμα βλέπειν.

10 διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς, καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ' αὐτοῦ.

11 καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ εἶπε· νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλε Κύριος τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρῴδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων.

12 συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμενοι.

13 κρούσαντος δὲ αὐτοῦ τὴν θύραν τοῦ πυλῶνος προσῆλθε παιδίσκη ὑπακοῦσαι ὀνόματι Ῥόδη,

14 καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου, ἀπὸ τῆς

εἶπε· Σήκω γρήγορα. Καὶ ἀμέσως ἔπεσαν αἱ ἁλυσίδες ἀπὸ τὰ χέρια του.

8 Καὶ εἶπεν ὁ ἄγγελος πρὸς αὐτόν· Ζῶσε τὸ ὑποκάμισόν σου καὶ δέσε εἰς τὰ πόδια σου τὰ πέδιλά σου. Καὶ ὁ Πέτρος ἀμέσως ἔκαμεν, ὅπως διετάχθη. Καὶ λέγει εἰς αὐτὸν ὁ ἄγγελος· Φόρεσε τὸ ἐξωτερικόν σου ροῦχο καὶ ἀκολούθησέ με.

9 Καὶ ὁ Πέτρος, ἀφοῦ ἐβγῆκεν ἀπὸ τὸ δωμάτιον, ἠκολούθει τὸν ἄγγελον καὶ δὲν εἶχεν ἀντιληφθῆ ἀκόμη, ὅτι εἶναι πραγματικὸν αὐτό, ποὺ ἐγίνετο ἀπὸ τὸν Θεὸν διὰ μέσου τοῦ ἀγγέλου. Ἐνόμιζε δέ, ὅτι βλέπει εἰς τὸν ὕπνον του κάποιαν ὀπτασίαν.

10 Ἀφοῦ δὲ ἐπέρασαν τὸν πρῶτον καὶ τὸν δεύτερον φρουρόν, ἦλθον εἰς τὴν σιδηρᾶν ἐξώπορταν, ποὺ ὡδήγει ἀμέσως εἰς τὴν πόλιν, καὶ ἡ πόρτα αὐτὴ τοὺς ἠνοίχθη μόνη της. Καὶ ἀφοῦ ἐβγῆκαν ἐπέρασαν μαζὶ μίαν στενωπόν. Καὶ ἀμέσως ἔφυγεν ἀπὸ τὸν Πέτρον ὁ ἄγγελος.

11 Καὶ τότε ὁ Πέτρος συνῆλθεν ἀπὸ τὴν κατάστασιν τῆς ἐκπλήξεως καὶ τῆς ἐκστάσεως, ἕνεκα τῆς ὁποίας ἐνόμιζεν, ὅτι ἔβλεπεν ὅραμα καὶ εἶπε· Τώρα καταλαβαίνω, ὅτι πραγματικῶς ἀπέστειλεν ὁ Κύριος τὸν ἄγγελόν του καὶ μὲ ἠλευθέρωσεν ἀπὸ τὴν κακοποιὸν χεῖρα τοῦ Ἡρῴδου, καθὼς καὶ ἀπὸ κάθε κακόν, ποὺ ἐπερίμενεν ὁ λαὸς τῶν Ἰουδαίων νὰ γίνῃ εἰς ἐμέ.

12 Καὶ ἀφοῦ ἀντελήφθη ποῦ ἦτο καὶ ἐσκέφθη τί ἔπρεπε νὰ κάμη, ἦλθεν εἰς τὸ σπίτι τῆς Μαρίας, τῆς μητρὸς τοῦ Ἰωάννου, ποὺ ἐπωνομάζετο Μᾶρκος, ὅπου ἦσαν μαζευμένοι ἀρκετοὶ καὶ προσηύχοντο ὑπὲρ αὐτοῦ.

13 Ὅταν δὲ ὁ Πέτρος ἐκτύπησε τὴν ἐξώπορταν τοῦ προαυλίου, ἐπλησίασε μία νεαρὰ ὑπηρέτρια, ποὺ ἐλέγετο Ῥόδη, διὰ νὰ ἐρωτήσῃ καὶ ἐκ τῆς ἀπαντήσεως, ποὺ θὰ ἐδίδετο, νὰ ἀκούσῃ ποῖος ἦτο.

14 Καὶ ἐπειδὴ ἀνεγνώρισε τὴν φωνὴν τοῦ Πέτρου, ἀπὸ τὴν μεγάλην της χαρὰν δὲν ἤνοιξε τὴν ἐξώπορταν, ἀλλ' ἔτρεξε μέσα

[10]) ις' 26. [12]) 25. ιγ' 5. 13. ιε' 37. 1 Πτ. ε' 13.

χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα, εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστάναι τὸν Πέτρον πρὸ τοῦ πυλῶνος.

15 οἱ δὲ πρὸς αὐτὴν εἶπον· μαίνῃ. ἡ δὲ διϊσχυρίζετο οὕτως ἔχειν. οἱ δὲ ἔλεγον· ὁ ἄγγελος αὐτοῦ ἐστιν.

16 ὁ δὲ Πέτρος ἐπέμενε κρούων. ἀνοίξαντες δὲ εἶδον αὐτὸν καὶ ἐξέστησαν.

17 κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾶν διηγήσατο αὐτοῖς πῶς ὁ Κύριος ἐξήγαγεν αὐτὸν ἐκ τῆς φυλακῆς, εἶπε δέ· ἀπαγγείλατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα. καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον.

18 Γενομένης δὲ ἡμέρας ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο.

19 Ἡρῴδης δὲ ἐπιζητήσας αὐτὸν καὶ μὴ εὑρών, ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαχθῆναι, καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν διέτριβεν.

καὶ ἀνήγγειλεν, ὅτι ἔξω ἀπὸ τὴν αὐλόθυραν στέκεται ὁ Πέτρος.

15 Αὐτοὶ ὅμως τῆς εἶπαν· Εἶσαι τρελλὴ καὶ δὲν ἠξεύρεις, τί λέγεις. Ἐκείνη ὅμως ἐβεβαίωνεν ἐπιμόνως, ὅτι οὕτως εἶχε τὸ πρᾶγμα. Ἀλλ' ἐκεῖνοι πρὸ τῆς ἐπιμονῆς τῆς μικρᾶς ὑπηρετρίας εἶπαν εἰς τὸ τέλος· Δὲν εἶναι ὁ Πέτρος, ἀλλ' εἶναι ὁ ἄγγελός του.

16 Ὁ Πέτρος ὅμως ἐν τῷ μεταξὺ ἐκτύπα ἐπιμόνως τὴν θύραν. Καὶ ὅταν ἤνοιξαν, τὸν εἶδαν καὶ ἐκυριεύθησαν ἀπὸ θαυμασμὸν καὶ ἔκστασιν.

17 Αὐτὸς δέ, ἀφοῦ μὲ τὸ χέρι του τοὺς ἔκαμε σημεῖον νὰ σιωπήσουν, ὥστε νὰ μὴ γίνουν ἀντιληπτοὶ εἰς τοὺς γείτονας, τοὺς διηγήθη, πῶς ὁ Κύριος διὰ τοῦ ἀγγέλου τὸν ἔβγαλεν ἀπὸ τὴν φυλακήν. Εἶπε δέ· Ἀναγγείλατε εἰς τὸν Ἰάκωβον καὶ εἰς τοὺς ἀδελφοὺς αὐτά, ποὺ σᾶς διηγήθην. Καὶ ἀφοῦ ἐβγῆκεν ἀπὸ τὸ σπίτι καὶ ἀπὸ τὴν πόλιν τῶν Ἱεροσολύμων, ἐπῆγεν εἰς ἄλλο μέρος.

18 Ὅταν δὲ ἐξημέρωσεν, ἔγινεν ὄχι ὀλίγη ταραχὴ μεταξὺ τῶν στρατιωτῶν, οἱ ὁποῖοι ἐζήτουν νὰ ἀνακαλύψουν, τί ἄρά γε νὰ ἔγινεν ὁ Πέτρος.

19 Ἐν τῷ μεταξὺ δὲ ὁ Ἡρῴδης τὸν ἐζήτησεν, ἀλλὰ δὲν τὸν εὗρε. Καὶ ἀφοῦ ὑπέβαλεν εἰς ἀνάκρισιν τοὺς φρουρούς, οἱ ὁποῖοι τὸν ἐφύλαττον, διέταξε νὰ τοὺς πάρουν ἀπὸ ἐμπρός του καὶ νὰ τοὺς μεταφέρουν εἰς τὸν τόπον τῆς θανατικῆς των ἐκτελέσεως. Καὶ μετὰ τοῦτο κατέβη ἀπὸ τὴν Ἰουδαίαν εἰς τὴν Καισάρειαν καὶ παρέμενεν ἐκεῖ.

Στίχ. 20-25. Θάνατος τοῦ Ἡρῴδου.

20 Ἦν δὲ Ἡρῴδης θυμομαχῶν Τυρίοις καὶ Σιδωνίοις· ὁμοθυμαδὸν τε παρῆσαν πρὸς αὐτόν, καὶ πείσαντες Βλάστον τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως ᾐτοῦντο εἰρήνην, διὰ τὸ τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βασιλικῆς.

21 τακτῇ δὲ ἡμέρᾳ ὁ Ἡρῴδης ἐνδυσάμενος ἐσθῆτα βασιλικὴν καὶ καθίσας ἐπὶ τοῦ βήματος ἐδημηγόρει πρὸς αὐτούς.

20 Ἦτο δὲ ὁ Ἡρῴδης πολὺ ἐξωργισμένος ἐναντίον τῶν κατοίκων τῶν πόλεων Τύρου καὶ Σιδῶνος. Ἀπὸ συμφώνου δὲ οὗτοι ἔστειλαν ἀντιπροσώπους καὶ παρουσιάσθησαν εἰς αὐτόν. Καὶ ἀφοῦ κατώρθωσαν νὰ προσεταιρισθοῦν τὸν Βλάστον, τὸν αὐλικὸν ποὺ ἐπεριποιεῖτο τὸ ἰδιαίτερον δωμάτιον τοῦ βασιλέως, ἐζήτουν νὰ ἀποκαταστήσουν μετ' αὐτοῦ σχέσεις εἰρηνικὰς καὶ φιλικάς, διότι ἡ χώρα των ἐπρομηθεύετο τὰ τρόφιμά της ἀπὸ τὴν χώραν τοῦ βασιλέως Ἡρῴδου.

21 Εἰς ὡρισμένην δὲ ἡμέραν ὁ Ἡρῴδης, ἀφοῦ ἐνεδύθη στολὴν βασιλικὴν καὶ ἐκάθισεν ἐπὶ τοῦ θρόνου, ποὺ εἶχε στηθῆ εἰς τὸ θέατρον, ἠγόρευε δημοσίᾳ πρὸς αὐτούς.

[15]) κς' 24. Μτ. ιη' 10. Λκ. κδ' 37. [17]) ιγ' 16. ιε' 13. κα' 18. 40. 1 Κρ. θ' 5. ιε' 7. Γλ. α' 19. β' 9. 12. Ἰκ. α' 1. [18]) ε' 22. [20]) 3 Βσ. ε' 9. 11. Ἰζ. κζ' 17. [21]) Ἰν. ιθ' 13.

22 ὁ δὲ δῆμος ἐπεφώνει· Θεοῦ φωνὴ καὶ οὐκ ἀνθρώπου.

22 Τὰ εἰδωλολατρικὰ δὲ πλήθη τῆς Καισαρείας, διὰ νὰ τὸν κολακεύσουν, ἐφώναζαν· Αὐτὴ εἶναι φωνὴ Θεοῦ καὶ ὄχι φωνὴ ἀνθρώπου.

23 παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος Κυρίου ἀνθ' ὧν οὐκ ἔδωκε τὴν δόξαν τῷ Θεῷ, καὶ γενόμενος σκωληκόβρωτος ἐξέψυξεν.

23 Τὴν ἰδίαν ὅμως στιγμὴν ἄγγελος Κυρίου τὸν ἐπάταξε δι' ἀπαισίας νόσου, ἐπειδὴ δὲν ἔδωκε τὴν ὀφειλομένην δόξαν εἰς τὸν Θεόν, ἀλλ' ἀπεδέχθη τὴν θεοποίησιν αὐτὴν καὶ ἐθεώρησε τὸν ἑαυτόν του ἄξιον αὐτῆς. Καὶ μετὰ τὴν πληγὴν αὐτὴν τοῦ ἀγγέλου, σκώληκες κατέτρωγον τὰς σάρκας του, ἕως ὅτου μετ' ὀλίγας ἡμέρας ἐξεψύχησεν.

24 Ὁ δὲ λόγος τοῦ Θεοῦ ηὔξανε καὶ ἐπληθύνετο.

24 Ἀλλ' ἐνῷ ὁ Ἡρῴδης τοιοῦτον ἄθλιον ἔλαβε τέλος, ὁ λόγος τοῦ Θεοῦ ἔκανε νέας προόδους καὶ ἐπολλαπλασιάζοντο οἱ ὀπαδοί του.

25 Βαρνάβας δὲ καὶ Σαῦλος ὑπέστρεψαν ἐξ Ἱερουσαλὴμ πληρώσαντες τὴν διακονίαν, συμπαραλαβόντες καὶ Ἰωάννην τὸν ἐπικληθέντα Μᾶρκον.

25 Ὁ Βαρνάβας δὲ καὶ ὁ Σαῦλος, ἀφοῦ μετέφεραν τὰς συνεισφορὰς τῶν ἀδελφῶν εἰς Ἱεροσόλυμα καὶ ἐτελείωσαν τὴν ὑπηρεσίαν, ποὺ τοὺς εἶχαν ἀναθέσει οἱ Χριστιανοὶ τῆς Ἀντιοχείας, ἐπέστρεψαν ἀπὸ τὰ Ἱεροσόλυμα καὶ παρέλαβον ἀπ' ἐκεῖ μαζί των καὶ τὸν Ἰωάννην, ποὺ ἐπωνομάσθη κατὰ τὴν ἐποχὴν ἐκείνην Μᾶρκος.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Στίχ. 1-12. Ὁ Βαρνάβας καὶ ὁ Παῦλος εἰς Κύπρον.

Ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ τε Βαρνάβας καὶ Συμεὼν ὁ ἐπικαλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν τε Ἡρῴδου τοῦ τετράρχου σύντροφος καὶ Σαῦλος.

Ἦσαν δὲ εἰς τὴν Ἀντιόχειαν μερικοὶ προφῆται καὶ διδάσκαλοι ἀνήκοντες εἰς τὴν ὑπάρχουσαν ἐκεῖ Ἐκκλησίαν. Οὗτοι δὲ ἦσαν ὁ Βαρνάβας καὶ ὁ Συμεών, ποὺ ἐπωνομάζετο Νίγερ, καὶ ὁ Λούκιος, ποὺ κατήγετο ἀπὸ τὴν Κυρήνην, καὶ ὁ Μαναήν, ποὺ εἶχε συναναστραφῆ καὶ συνεκπαιδευθῆ μαζὶ μὲ τὸν τετράρχην Ἡρῴδην, καὶ ὁ Σαῦλος.

2 λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων εἶπε τὸ Πνεῦμα τὸ Ἅγιον· ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς.

2 Ἐνῷ δὲ αὐτοὶ ἐπετέλουν ὡς κύριόν τους ἔργον τὴν πρὸς τὸν Κύριον κοινὴν λατρείαν καὶ τὸ κήρυγμα, καὶ ἐνῷ ἐνήστευον, εἶπε τὸ Πνεῦμα τὸ Ἅγιον διὰ προφητῶν ἢ ἄλλων ἐξ ἐκείνων τῶν Χριστιανῶν, ποὺ εἶχον χαρίσματα· Ξεχωρίσατέ μου ἀμέσως τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον διὰ τὸ ἔργον, διὰ τὸ ὁποῖον τοὺς προσεκάλεσα μὲ ἔμπνευσιν, τὴν ὁποίαν μετέδωκα ἐγὼ εἰς τὸ ἐσωτερικὸν τῶν καρδιῶν των.

3 τότε νηστεύσαντες καὶ προσευξάμενοι καὶ ἐπιθέντες αὐτοῖς τὰς χεῖρας ἀπέλυσαν.

3 Τότε, ἀφοῦ καὶ πάλιν ἐνήστευσαν καὶ προσηυχήθησαν καὶ ἔθεσαν τὰς χεῖρας ἐπ' αὐτῶν, ὄχι διὰ νὰ τοὺς προχειρίσουν εἰς τὸ ἀποστολικὸν ἢ ἄλλο ἱερατικὸν ἀξίωμα, διότι εἶχον ἤδη ταῦτα οἱ δύο ἀπόστολοι, ἀλλ' ἁπλῶς διὰ νὰ τοὺς καθιερώσουν καὶ τοὺς ξεχωρίσουν ἐπισήμως εἰς τὸ εἰδικὸν τοῦτο ἔργον, τοὺς ἀπέστειλαν.

[22-23]) 4 Βσ. ιθ΄ 35. Ἰζ. κη΄ 2 κτλ. Δν. ε΄ 20. 21. 2 Μκ. θ΄ 4 - 9. [24]) ς΄ 7. [25]) 12. ια΄ 29. 30.

ΙΓ΄. [1]) ια΄ 25. 27. Λκ. η΄ 3. Μτ. ιδ΄ 1. 2. (Ῥμ. ις΄ 21). [2]) θ΄ 15. ιδ΄ 26. Ῥμ. α΄ 1. Γλ. α΄ 15. [3]) ς΄ 6. ιδ΄ 23.

4 Οὗτοι μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου κατῆλθον εἰς τὴν Σελεύκειαν, ἐκεῖθέν τε ἀπέπλευσαν εἰς τὴν Κύπρον,

4 Αὐτοὶ λοιπόν, λαβόντες ὀνομαστικῶς τὴν ἀποστολὴν ταύτην ἀπὸ τὸ Ἅγιον Πνεῦμα καὶ ἔχοντες συνεπῶς τὴν ἐνίσχυσιν αὐτοῦ εἰς τὸ ἔργον των, κατέβησαν εἰς τὴν Σελεύκειαν καὶ ἀπ' ἐκεῖ ἀπέπλευσαν εἰς τὴν Κύπρον.

5 καὶ γενόμενοι ἐν Σαλαμῖνι κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων· εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην.

5 Καὶ ὅταν ἔφθασαν εἰς τὴν πόλιν Σαλαμῖνα, ἐκήρυττον τὸν λόγον τοῦ Θεοῦ μέσα εἰς τὰς συναγωγὰς τῶν Ἰουδαίων, εἶχον δὲ μαζί των ὡς βοηθὸν καὶ τὸν Ἰωάννην.

6 Διελθόντες δὲ τὴν νῆσον ἄχρι Πάφου εὗρόν τινα μάγον ψευδοπροφήτην Ἰουδαῖον ᾧ ὄνομα Βαρησοῦς,

6 Ἀφοῦ δὲ ἐπέρασαν ἀπὸ τὸ ἕν ἄκρον ἕως τὸ ἄλλο τὴν νῆσον Κύπρον μέχρι τῆς πόλεως Πάφου, εὗρον κάποιον μάγον ψευδοπροφήτην, Ἰουδαῖον, τοῦ ὁποίου τὸ ὄνομα ἦτο Βαρησοῦς.

7 ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ Σεργίῳ Παύλῳ, ἀνδρὶ συνετῷ. οὗτος προσκαλεσάμενος Βαρνάβαν καὶ Σαῦλον ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ·

7 Αὐτὸς ἦτο πρόσωπον τῆς ἀκολουθίας τοῦ ἀνθυπάτου Σεργίου Παύλου, ὁ ὁποῖος ἦτο ἄνθρωπος συνετὸς καὶ σοβαρός. Ὁ Σέργιος λοιπὸν οὗτος, ἀφοῦ προσεκάλεσε τὸν Βαρνάβαν καὶ τὸν Παῦλον, ἐζήτησε μὲ ἐνδιαφέρον νὰ ἀκούσῃ τὸν λόγον τοῦ Θεοῦ, τὸν ὁποῖον οὗτοι ἐκήρυττον.

8 ἀνθίστατο δὲ αὐτοῖς Ἐλύμας ὁ μάγος — οὕτω γὰρ μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ — ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως.

8 Ἀνθίστατο ὅμως εἰς αὐτοὺς Ἐλύμας ὁ μάγος· διότι ἔτσι, διὰ τῆς λέξεως μάγος δηλαδή, μεταφράζεται τὸ ὄνομα Ἐλύμας, ὑπὸ τὸ ὁποῖον ἦτο γνωστὸς εἰς τοὺς Ἕλληνας ὁ Βαρησοῦς. Προσεπάθει δὲ ὁ Ἐλύμας μὲ ἐνστάσεις καὶ μὲ διαστροφὰς νὰ ἀπομακρύνῃ τὸν ἀνθύπατον ἀπὸ τὴν πίστιν.

9 Σαῦλος δέ, ὁ καὶ Παῦλος, πλησθεὶς Πνεύματος Ἁγίου καὶ ἀτενίσας πρὸς αὐτὸν

9 Ἀλλ' ὁ Σαῦλος, ὁ ὁποῖος λόγῳ τῆς ἰδιότητός του ὡς Ρωμαίου πολίτου ἔφερε καὶ τὸ ἐθνικὸν ρωμαϊκὸν ὄνομα Παῦλος, ἀφοῦ ἐπληρώθη τὸ ἐσωτερικόν του μὲ Πνεῦμα Ἅγιον καὶ ἔρριψε βλέμμα διαπεραστικὸν πρὸς τὸν μάγον,

10 εἶπεν· ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας;

10 εἶπε· Ὦ υἱὲ τοῦ διαβόλου, ποὺ εἶσαι γεμᾶτος ἀπὸ κάθε δόλον καὶ ἀπάτην καὶ ἀπὸ κάθε πονηρίαν καὶ ραδιουργίαν· σύ, ποὺ εἶσαι ἐχθρὸς κάθε ἀρετῆς, δὲν θὰ παύσῃς ἀπὸ τοῦ νὰ διαστρέφῃς καὶ νὰ παρουσιάζῃς πεπλανημένους καὶ στραβοὺς τοὺς εὐθεῖς καὶ ἴσιους δρόμους, τὸ φωτιστικὸν δηλαδὴ καὶ ἀληθὲς κήρυγμα τῆς θείας διδασκαλίας, μὲ τὸ ὁποῖον ὁ Κύριος ζητεῖ νὰ ὁδηγήσῃ τοὺς ἀνθρώπους εἰς τὴν σωτηρίαν;

11 καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ. παραχρῆμα δὲ ἔπεσεν ἐπ' αὐτὸν ἀχλὺς καὶ σκότος, καὶ περιάγων ἐζήτει χειραγωγούς.

11 Καὶ ἀφοῦ εἶσαι τέτοιος, ἰδοὺ τώρα θὰ ἐπιπέσῃ κατὰ σοῦ ἡ δύναμις τοῦ Θεοῦ καὶ θὰ εἶσαι τυφλὸς μὴ βλέπων τὸν ἥλιον καὶ τὸ φῶς του μέχρις ὡρισμένου καιροῦ. Παρευθὺς δὲ ἔπεσεν ἐπὶ τοῦ μάγου θαμπάδα καὶ σκότος καὶ περιεφέρετο ἐδῶ καὶ ἐκεῖ καὶ ἐζήτει ἀνθρώπους, ποὺ θὰ τὸν ὡδήγουν ἀπὸ τὸ χέρι.

---

[4]) ια΄ 19. [5]) 13. ιβ΄ 12. 25. [6]) η΄ 9. ιθ΄ 13. 14. [7]) ιη΄ 12. [8]) Ἐξ. ζ΄ 11. 2 Τμ. γ΄ 8. [9-10]) δ΄ 8. ε΄ 4. 5. η΄ 21. (Ὡσ. ιδ΄ 9). [11]) θ΄ 8. 9. ιβ΄ 23. Λκ. δ΄ 13. Ἰν. θ΄ 39.

12 τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς ἐπίστευσεν, ἐκπλησσόμενος ἐπὶ τῇ διδαχῇ τοῦ Κυρίου.

12 Τότε, ὅταν εἶδεν ὁ ἀνθύπατος τὸ θαυμαστὸν αὐτὸ γεγονός, ἐπίστευσεν, ὅσον δὲ περισσότερον ἐμάνθανε καὶ κατενόει τὴν διδασκαλίαν τοῦ Κυρίου, τόσον καὶ περισσότερον ἐθαύμαζε καὶ ἐξεπλήττετο δι' αὐτήν.

Στίχ. 13-52. Οἱ δύο Ἀπόστολοι εἰς Ἀντιόχειαν τῆς Πισιδίας. Διωκόμενοι ἀναχωροῦν δι' Ἰκονίου.

13 Ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν Παῦλον ἦλθον εἰς Πέργην τῆς Παμφυλίας· Ἰωάννης δὲ ἀποχωρήσας ἀπ' αὐτῶν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα.

13 Ἀποπλεύσαντες δὲ ἀπὸ τὴν Πάφον ὁ Παῦλος καὶ ὅσοι ἦσαν μαζί του, ἦλθον εἰς τὴν Πέργην τῆς Παμφυλίας. Ἀλλ' ὁ Ἰωάννης, ὁ ἐπικαλούμενος Μᾶρκος, ἀπεχωρίσθη ἀπὸ αὐτοὺς καὶ ἐπέστρεψεν εἰς τὰ Ἱεροσόλυμα.

14 Αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς Πέργης παρεγένοντο εἰς Ἀντιόχειαν τῆς Πισιδίας, καὶ εἰσελθόντες εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν σαββάτων ἐκάθισαν.

14 Αὐτοὶ ὅμως διέτρεξαν τὴν περιφέρειαν, ποὺ ἀρχίζει ἀπὸ τὴν Πέργην καὶ ἦλθον εἰς τὴν Ἀντιόχειαν τῆς Πισιδίας καὶ ἀφοῦ εἰσῆλθον κατὰ τὴν ἡμέραν τοῦ Σαββάτου εἰς τὴν συναγωγήν, ἐκάθισαν εἰς τὰ καθίσματα τὰ προωρισμένα διὰ τοὺς ξένους.

15 μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι πρὸς αὐτοὺς λέγοντες· ἄνδρες ἀδελφοί, εἰ ἔστι λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαόν, λέγετε.

15 Μετὰ τὴν ἀνάγνωσιν δὲ τῶν περικοπῶν τῆς Πεντατεύχου καὶ τῶν προφητῶν, ἔστειλαν οἱ ἀρχισυνάγωγοι πρὸς αὐτοὺς τὸν ὑπηρέτην τῆς συναγωγῆς καὶ τοὺς εἶπαν· Ἄνδρες ἀδελφοί, ἐὰν ἔχετε λόγον προτρεπτικὸν καὶ διδακτικὸν διὰ τὸν λαόν, ὁμιλήσατε.

16 ἀναστὰς δὲ Παῦλος καὶ κατασείσας τῇ χειρὶ εἶπεν· ἄνδρες Ἰσραηλῖται καὶ οἱ φοβούμενοι τὸν Θεόν, ἀκούσατε.

16 Ἀφοῦ ἐσηκώθη ὁ Παῦλος καὶ ἔκαμε μὲ τὸ χέρι του σημεῖον, ὅτι ἐπρόκειτο νὰ ὁμιλήσῃ, εἶπεν· ἄνδρες Ἰσραηλῖται καὶ ὅσοι ἐκ τῶν ἐθνικῶν εἴσθε ἐδῶ, οἱ ὁποῖοι ὡς προσήλυτοι ἐγνωρίσατε τὸν ἀληθινὸν Θεὸν καὶ φοβεῖσθε αὐτόν, ἀκούσατε.

17 ὁ Θεὸς τοῦ λαοῦ τούτου Ἰσραὴλ ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ τὸν λαὸν ὕψωσεν ἐν τῇ παροικίᾳ ἐν γῇ Αἰγύπτῳ, καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς,

17 Ὁ Θεὸς τοῦ προνομιούχου τούτου λαοῦ, ποὺ κατάγεται ἀπὸ τὸν εὐλογημένον Ἰσραήλ, ἐξέλεξε τοὺς προγόνους μας καὶ ἀνέδειξε πολυπληθῆ καὶ ἰσχυρὸν τὸν καταγόμενον ἀπὸ αὐτοὺς λαόν, ὅταν κατοικοῦσεν ὡς ξένος καὶ πάροικος εἰς τὴν χώραν τῆς Αἰγύπτου. Καὶ διὰ τῆς πανισχύρου του δυνάμεως τοὺς ἔβγαλεν ἀπὸ τὴν χώραν αὐτήν.

18 καὶ ὡς τεσσαρακονταετῆ χρόνον ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ,

18 Καὶ ἐκεῖ εἰς τὴν ἔρημον ἐπὶ τεσσαράκοντα περίπου ἔτη ἐβάστασεν ὁ Θεὸς τὴν δυσπειθῆ καὶ δύστροπον διαγωγήν των.

19 καὶ καθελὼν ἔθνη ἑπτὰ ἐν γῇ Χαναὰν κατεκληρονόμησεν αὐτοῖς τὴν γῆν αὐτῶν.

19 Καὶ ἀφοῦ ἐξόντωσεν ἑπτὰ ἔθνη ἐν τῇ χώρᾳ τῆς Χαναάν, ἔδωκεν εἰς αὐτοὺς κληρονομίαν τὴν χώραν, τὴν ὁποίαν κατεῖχον ὡς ἰδικήν των τὰ ἔθνη ἐκεῖνα.

---

[12]) Μρ. α´ 27. [13]) ιδ´ 25. ιε´ 38. [14]) ιδ´ 1. ις´ 13. ιζ´ 2. 17. ιη´ 4. ιθ´ 8. Μτ. ι´ 5. 6. [15]) 27. ιε´ 21. Λκ. δ´ 17. [16]) 26. 43. 50. ζ 2. ιβ´ 17. ις´ 14. ιζ´ 4. 17. ιη´ 7. [17]) Ἐξ. α´ 7. ς´ 1. 6. ιδ´ 8. Δτ. δ´ 37. Βρ. β´ 11. Πρ. ζ´ 17. [18-19]) Ἐξ. ις´ 35. Ἀρ. ιδ´ 33. 34. Δτ. α´ 3. 31. γ´ 28. ζ´ 1. Ἰσ. Ν. γ´ 10. ιδ´ 1. 2. Κρτ. ια´ 24. Ψ. μγ´ 2 - 4. οζ´ 55. Πρ. ζ´ 36.

20 καὶ μετὰ ταῦτα ὡς ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα ἔδωκε κριτὰς ἕως Σαμουὴλ τοῦ προφήτου.

20 Καὶ μετὰ ταῦτα ἐπὶ τετρακόσια καὶ πεντήκοντα περίπου ἔτη ἔδωκεν εἰς τὸν λαὸν κριτάς, οἱ ὁποῖοι τὸν ἐκυβέρνησαν μέχρι τοῦ Σαμουὴλ τοῦ προφήτου.

21 κἀκεῖθεν ᾐτήσαντο βασιλέα, καὶ ἔδωκεν αὐτοῖς ὁ Θεὸς τὸν Σαοὺλ υἱὸν Κίς, ἄνδρα ἐκ φυλῆς Βενιαμίν, ἔτη τεσσαράκοντα·

35 Ἡμέρας δὲ γενομένης ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς ῥαβδούχους λέγοντες· ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνους.

λαι αἱ θύραι καὶ ὅλων τῶν φυλακισμένων αἱ ἁλύσεις, μὲ τὰς ὁποίας εἶχαν δεθῆ οὗτοι, ἐλύθησαν.

27 Ὅταν δὲ ἐν τῷ μεταξὺ ἐξύπνησεν ὁ δεσμοφύλαξ καὶ εἶδεν ἀνοικτὰς τὰς θύρας τῆς φυλακῆς, ἐτράβηξε τὴν μάχαιράν του καὶ ἦτο ἕτοιμος νὰ αὐτοκτονήσῃ, ἐπειδὴ ἐνόμιζεν, ὅτι εἶχον δραπετεύσει οἱ φυλακισμένοι καὶ συνεπῶς θὰ ἐπεβάλλετο εἰς αὐτὸν ἡ ποινὴ τοῦ θανάτου. Ἐκ φιλοτιμίας λοιπὸν ἐθεώρησε προτιμότερον νὰ αὐτοκτονήσῃ, παρὰ νὰ θανατωθῇ μὲ τὸ στίγμα τῆς καταδίκης.

28 Ἀλλ' ὁ Παῦλος ἐφώναξε μὲ μεγάλην φωνὴν καὶ εἶπε· Μὴ κάμῃς τίποτε κακὸν εἰς τὸν ἑαυτόν σου. Δὲν πρόκειται νὰ σοῦ ζητηθοῦν εὐθῦναι καὶ νὰ τιμωρηθῇς, διότι ὅλοι εἴμεθα ἐδῶ.

29 Κατόπιν δὲ τούτου ὁ δεσμοφύλαξ, ἀφοῦ ἐζήτησε φῶτα, ἐπήδησε μέσα εἰς τὴν φυλακήν. Καὶ ἀντιληφθεὶς τὸ θαῦμα, σκεφθεὶς δὲ ὅτι εἶχε κακομεταχειρισθῆ τοὺς δούλους αὐτοὺς τοῦ Θεοῦ, κατελήφθη ἀπὸ τρόμον καὶ ἔπεσεν εἰς τοὺς πόδας τοῦ Παύλου καὶ τοῦ Σίλα,

30 καὶ ἀφοῦ τοὺς ἔβγαλεν ἔξω εἰς τὴν αὐλὴν τῆς φυλακῆς, τοὺς εἶπε· Κύριοι, τί πρέπει νὰ κάμω διὰ νὰ ἐπιτύχω καὶ ἐγὼ τὴν σωτηρίαν, τὴν ὁποίαν κηρύττετε;

31 Αὐτοὶ δὲ εἶπον· Πίστευσε εἰς τὸν Ἰησοῦν Χριστὸν ὡς μόνον Λυτρωτὴν καὶ ὡς ὑπέρτατον Κύριον, καὶ θὰ σωθῇς καὶ σὺ καὶ ὅλη ἡ οἰκογένειά σου.

32 Καὶ ἀνέπτυξαν εἰς αὐτὸν καὶ εἰς ὅλους, ὅσοι ἦσαν εἰς τὴν οἰκίαν του τὰς θεμελιώδεις ἀληθείας τῆς διδασκαλίας τοῦ Κυρίου.

33 Καὶ ἀφοῦ τοὺς ἐπῆρε μαζί του κατ' ἐκείνην τὴν ὥραν τῆς νυκτός, τοὺς ἔλουσεν ἀπὸ τὰ αἵματα, ποὺ εἶχαν τρέξει ἀπὸ τὰ τραύματα τῶν ραβδισμῶν, καὶ ἀμέσως ἐβαπτίσθη καὶ αὐτὸς καὶ ὅλοι οἱ ἰδικοί του.

34 Καὶ ἀφοῦ τοὺς ἀνέβασεν εἰς τὸ σπίτι του, ἑτοίμασε τράπεζαν καὶ ἐδοκίμασε μεγάλην χαρὰν μαζὶ μὲ ὅλην τὴν οἰκογένειάν του, αἰτία δὲ τῆς χαρᾶς του αὐτῆς ἦτο, ἐπειδὴ εἶχε πιστεύσει εἰς τὸν Θεόν.

35 Ἀφοῦ δὲ ἐξημέρωσεν, ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς ὑπασπιστάς των καὶ ραβδούχους εἰς τὸν δεσμοφύλακα καὶ εἶπαν· Ἀπόλυσε ἀπὸ τὴν φυλακὴν τοὺς ἀνθρώπους ἐκείνους.

[29]) ι΄ 25. [30]) β΄ 37. [31]) ιε΄ 11. Μρ. ις΄ 16. Ἰν. γ΄ 16. 36. [33-34]) 15.

36 ἀπήγγειλε δὲ ὁ δεσμοφύλαξ τοὺς λόγους τούτους πρὸς τὸν Παῦλον, ὅτι ἀπεστάλκασιν οἱ στρατηγοὶ ἵνα ἀπολυθῆτε. νῦν οὖν ἐξελθόντες πορεύεσθε ἐν εἰρήνῃ.

36 Ἀνήγγειλε δὲ ὁ δεσμοφύλαξ τοὺς λόγους τούτους πρὸς τὸν Παῦλον καὶ τοῦ εἶπεν· ὅτι ἀπέστειλαν οἱ στρατηγοὶ ἀνθρώπους καὶ διέταξαν νὰ ἀφεθῆτε ἐλεύθεροι. Τώρα λοιπὸν ἐξέλθετε ἀπὸ τὴν φυλακὴν καὶ πηγαίνετε, ἂς εἶναι δὲ μαζί σας εἰρήνη.

37 ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτούς· δείραντες ἡμᾶς δημοσίᾳ ἀκατακρίτους, ἀνθρώπους Ῥωμαίους ὑπάρχοντας, ἔβαλον εἰς φυλακήν· καὶ νῦν λάθρα ἡμᾶς ἐκβάλλουσιν; οὐ γάρ, ἀλλὰ ἐλθόντες αὐτοὶ ἡμᾶς ἐξαγαγέτωσαν.

37 Ὁ Παῦλος δμως εἶπε διὰ τοῦ δεσμοφύλακος πρὸς τοὺς ραβδούχους· Ἀφοῦ μᾶς ἔδειραν οἱ στρατηγοὶ σας δημοσίᾳ, χωρὶς νὰ μᾶς περάσουν ἀπὸ δίκην, ἀνθρώπους, οἱ ὁποῖοι εἴμεθα Ρωμαῖοι πολῖται, μᾶς ἔρριψαν εἰς τὴν φυλακήν. Καὶ τώρα μᾶς βγάζουν ἀπὸ τὴν φυλακὴν λαθραίως. Ὄχι βέβαια, δὲν θὰ βγοῦμε διόλου ἀπ' ἐδῶ. Ἀλλ' ἂς ἔλθουν αὐτοπροσώπως οἱ ἴδιοι καὶ ἂς μᾶς βγάλουν αὐτοί.

38 ἀνήγγειλαν δὲ τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα· καὶ ἐφοβήθησαν ἀκούσαντες ὅτι Ῥωμαῖοί εἰσι,

38 Ἀνήγγειλαν δὲ οἱ ραβδοῦχοι τοὺς λόγους τούτους εἰς τοὺς στρατηγούς. Καὶ ἐφοβήθησαν οἱ στρατηγοί, ὅταν ἤκουσαν, ὅτι ὁ Παῦλος καὶ ὁ Σίλας ἦσαν Ρωμαῖοι. Ἐφοβήθησαν δέ, διότι ἐπεβάλλοντο βαρύταται ποιναὶ εἰς πάντα, ὁ ὁποῖος θὰ ἐκακομεταχειρίζετο Ρωμαῖον πολίτην.

39 καὶ ἐλθόντες παρεκάλεσαν αὐτούς, καὶ ἐξαγαγόντες ἠρώτων ἐξελθεῖν τῆς πόλεως.

39 Καὶ ἀφοῦ ἦλθον ἐκεῖ οἱ στρατηγοί, τοὺς παρεκάλεσαν νὰ βγοῦν ἀπὸ τὴν φυλακήν. Καὶ ἀφοῦ τοὺς ἔβγαλαν, τοὺς παρεκάλουν νὰ ἀναχωρήσουν ἀπὸ τὴν πόλιν.

40 ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς εἰσῆλθον πρὸς τὴν Λυδίαν, καὶ ἰδόντες τοὺς ἀδελφοὺς παρεκάλεσαν αὐτοὺς καὶ ἐξῆλθον.

40 Ὅταν δὲ οἱ δύο ἀπόστολοι ἐξῆλθον ἀπὸ τὴν φυλακήν, ἐμβῆκαν εἰς τὴν οἰκίαν τῆς Λυδίας καὶ ἀφοῦ εἶδον τοὺς ἀδελφούς, τοὺς προέτρεψαν νὰ μένουν σταθεροὶ εἰς τὸ εὐαγγέλιον καὶ ἀνεχώρησαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Στίχ. 1-15. Ὁ Παῦλος εἰς Θεσσαλονίκην, Βέροιαν καὶ Ἀθήνας.

Διοδεύσαντες δὲ τὴν Ἀμφίπολιν καὶ Ἀπολλωνίαν ἦλθον εἰς Θεσσαλονίκην, ὅπου ἦν ἡ συναγωγὴ τῶν Ἰουδαίων.

Ἀφοῦ δὲ ἐπέρασαν τὴν Ἀμφίπολιν, ἡ ὁποία ἔκειτο πρὸς βορρᾶν τῶν ἐκβολῶν τοῦ Στρυμόνος καὶ ἐπὶ τῆς ἀριστερᾶς ὄχθης αὐτοῦ, καθὼς καὶ τὴν Ἀπολλωνίαν, ἡ ὁποία εἶχε κτισθῆ πλησίον τῆς λίμνης Βόλβης, ἦλθον εἰς Θεσσαλονίκην, ὅπου ἦτο συναγωγὴ τῶν Ἰουδαίων.

2 κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ εἰσῆλθε πρὸς αὐτούς, καὶ ἐπὶ σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν,

2 Καθὼς δὲ ἐσυνήθιζεν ὁ Παῦλος, εἰσῆλθεν εἰς τὴν συναγωγὴν τῶν ταύτην καὶ ἐπὶ τρεῖς ἑβδομάδας συνδιελέγετο μετ' αὐτῶν, λαμβάνων τὰ θέματα καὶ ἐπιχειρήματα τῶν συνδιαλέξεών του ἀπὸ τὰς Γραφάς,

[36]) ιε' 33. Ἰκ. β' 16. [37-39]) 22. 23. κβ' 25. 28. 29. Λκ. η' 37. [40]) 14. ιδ' 22.
ΙΖ'. [1]) Φλ. δ' 15. 16. 1 Θσ. β' 1. 2. [2]) 10. ιγ' 14. Λκ. δ' 16.

3 διανοίγων καὶ παρατιθέμενος ὅτι τὸν Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν ὁ Χριστός, Ἰησοῦς ὃν ἐγὼ καταγγέλλω ὑμῖν.

3 τὰς ὁποίας ἡρμήνευε καὶ παρέθετε ἀπὸ αὐτὰς χωρία πρὸς ἀπόδειξιν, ὅτι ὁ Χριστός, σύμφωνα μὲ ὅσα εἶχον προφητευθῆ, ἔπρεπε νὰ πάθῃ καὶ νὰ ἀναστηθῇ ἐκ νεκρῶν, καὶ ὅτι αὐτὸς εἶναι ὁ Μεσσίας, ὁ Ἰησοῦς, τὸν ὁποῖον, καθὼς ἔλεγεν ὁ Παῦλος, ἐγὼ σᾶς κηρύττω.

4 καί τινες ἐξ αὐτῶν ἐπείσθησαν καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, τῶν τε σεβομένων Ἑλλήνων πολὺ πλῆθος, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι.

4 Καὶ μερικοὶ ἀπὸ αὐτοὺς ἐπείσθησαν καὶ κατὰ θείαν βουλὴν ἐδόθησαν ὡς κληρονομία πνευματικὴ καὶ ὡς μαθηταὶ εἰς τὸν Παῦλον καὶ τὸν Σίλαν. Καὶ ἀπὸ τοὺς προσηλύτους Ἕλληνας, ποὺ ἐσέβοντο τὸν ἀληθινὸν Θεόν, πολὺ πλῆθος ἐπείσθη, καὶ ἀπὸ τὰς γυναῖκας τῆς ἀνωτέρας τάξεως ὄχι ὀλίγαι.

5 Προσλαβόμενοι δὲ οἱ ἀπειθοῦντες Ἰουδαῖοι τῶν ἀγοραίων τινὰς ἄνδρας πονηροὺς καὶ ὀχλοποιήσαντες ἐθορύβουν τὴν πόλιν, ἐπιστάντες τε τῇ οἰκίᾳ Ἰάσονος ἐζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν δῆμον·

5 Ἀλλ' οἱ ἐπιμένοντες εἰς τὴν ἀπιστίαν Ἰουδαῖοι ἐζηλοτύπησαν καὶ ἐφανατίσθησαν διὰ τὰς ἐπιτυχίας αὐτὰς τῶν ἀποστόλων, καὶ ἀφοῦ ἐπῆραν μαζί τους μερικοὺς κακοὺς ἀνθρώπους ἀπὸ ἐκείνους, ποὺ γυρίζουν ἄνεργοι εἰς τὴν ἀγοράν, καὶ ἐμάζευσαν ὄχλον, ἐδημιούργουν θόρυβον καὶ ταραχὴν εἰς τὴν πόλιν. Καὶ ἀφοῦ ἐστάθησαν ἐμπρὸς εἰς τὸ σπίτι τοῦ Ἰάσονος, ποὺ ἐφιλοξένει τὸν Παῦλον καὶ τὸν Σίλαν, ἐζήτουν αὐτοὺς διὰ νὰ τοὺς φέρουν εἰς τὴν συνέλευσιν τῶν πολιτῶν τῆς Θεσσαλονίκης.

6 μὴ εὑρόντες δὲ αὐτοὺς ἔσυρον τὸν Ἰάσονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας, βοῶντες ὅτι οἱ τὴν οἰκουμένην ἀναστατώσαντες οὗτοι καὶ ἐνθάδε πάρεισιν,

6 Ἐπειδὴ ὅμως δὲν τοὺς ηὗραν ἐκεῖ, ἐτραβοῦσαν βιαίως τὸν Ἰάσονα καὶ μερικοὺς Χριστιανοὺς ἀδελφούς, διὰ νὰ τοὺς φέρουν εἰς τοὺς ἄρχοντας τῆς πόλεως καὶ συγχρόνως ἐφώναζαν, ὅτι ἐκεῖνοι, ποὺ ἀνεστάτωσαν τὴν οἰκουμένην, αὐτοὶ ἦλθαν καὶ ἐδῶ διὰ νὰ ἀναστατώσουν καὶ τὴν πόλιν μας.

7 οὓς ὑποδέδεκται Ἰάσων· καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος πράσσουσι, βασιλέα ἕτερον λέγοντες εἶναι, Ἰησοῦν.

7 Τοὺς ἀνθρώπους δὲ αὐτοὺς ἔχει ὑποδεχθῆ καὶ τοὺς φιλοξενεῖ εἰς τὸ σπίτι του ὁ Ἰάσων. Καὶ ὅλοι αὐτοὶ ἐνεργοῦν ἐναντίον τῶν νόμων καὶ τῶν θεσπισμάτων, ποὺ ἀνακηρύττουν ἀπαραβίαστον τὸ πρόσωπον τοῦ Καίσαρος, καὶ λέγουν ὅτι ὑπάρχει ἄλλος βασιλεύς, κάποιος Ἰησοῦς.

8 ἐτάραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρχας ἀκούοντας ταῦτα,

8 Προεκάλεσαν δὲ οἱ Ἰουδαῖοι μὲ τὰς φωνὰς καὶ τὸν θόρυβον αὐτὸν ταραχὴν εἰς τὸν λαὸν καὶ εἰς τοὺς πολιτάρχας, οἱ ὁποῖοι ἤκουαν αὐτά.

9 καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν ἀπέλυσαν αὐτούς.

9 Κατόπιν τούτων καὶ οἱ πολιτάρχαι, ἀφοῦ ἔλαβον ἀπὸ τὸν Ἰάσονα καὶ τοὺς ἄλλους ἀρκετὴν ἐγγύησιν περὶ τοῦ ὅτι θὰ ἠνάγκαζον τὸν Παῦλον καὶ τὸν Σίλαν νὰ ἐγκαταλίπουν τὴν Θεσσαλονίκην, τοὺς ἀπέλυσαν.

10 Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς νυκτὸς ἐξέπεμψαν τόν τε Παῦλον καὶ τὸν Σίλαν εἰς Βέροιαν, οἵτινες παραγενόμενοι εἰς τὴν συναγωγὴν ἀπήεσαν τῶν Ἰουδαίων.

10 Οἱ ἀδελφοὶ δὲ ἀμέσως κατὰ τὴν διάρκειαν τῆς νυκτὸς ἀπέστειλαν καὶ τὸν Παῦλον καὶ τὸν Σίλαν ἀπὸ τὴν Θεσσαλονίκην εἰς τὴν Βέροιαν. Αὐτοὶ δὲ ὅταν ἦλθον ἐκεῖ, μετέβησαν εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων.

[3]) θ' 22. ιη' 5. Λκ. κδ' 26. 27. 45. 46. [4]) 11. 12. 34. ιγ' 50. ιδ' 1. ιε' 40. κη' 24. Ἐφ. α' 11. [5-6]) ιγ' 45. ις' 19. 20. 2 Θσ. γ' 10. 11. [7]) Λκ. κγ' 2. Ἰν. ιθ' 12. 15. [8]) Μτ. β' 2. 3. [10]) 2.

11 οὗτοι δὲ ἦσαν εὐγενέστεροι τῶν ἐν Θεσσαλονίκῃ, οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας, τὸ καθ' ἡμέραν ἀνακρίνοντες τὰς γραφὰς εἰ ἔχοι ταῦτα οὕτως.

11 Ἦσαν δὲ οἱ Ἰουδαῖοι αὐτοὶ τῆς Βεροίας περισσότερον καλοδιάθετοι ἀπὸ τοὺς ἐν Θεσσαλονίκῃ, καὶ ἐδέχθησαν τὸν λόγον τοῦ Θεοῦ μὲ πᾶσαν προθυμίαν, ἐξετάζοντες τὰς Γραφὰς κάθε ἡμέραν, διὰ νὰ μάθουν ἐὰν αὐτά, ποὺ συνεζήτουν, εἶχον ὅπως τὰ ἔλεγεν ὁ Παῦλος.

12 πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν Ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων καὶ ἀνδρῶν οὐκ ὀλίγοι.

12 Κατόπιν λοιπὸν τῶν συζητήσεων καὶ τῆς ἐξετάσεως αὐτῆς τῶν Γραφῶν πολλοὶ ἀπὸ αὐτοὺς ἐπίστευσαν, καθὼς καὶ ἀπὸ τὰς Ἑλληνίδας γυναῖκας τῆς ἀνωτέρας τάξεως καὶ ἀπὸ τοὺς ἄνδρας ὄχι ὀλίγοι.

13 Ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ τῆς Θεσσαλονίκης Ἰουδαῖοι ὅτι καὶ ἐν τῇ Βεροίᾳ κατηγγέλη ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ Θεοῦ, ἦλθον κἀκεῖ σαλεύοντες τοὺς ὄχλους.

13 Ἀλλ' ὅταν οἱ Ἰουδαῖοι τῆς Θεσσαλονίκης ἔμαθαν, ὅτι καὶ εἰς τὴν Βέροιαν ἐκηρύχθη ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ Θεοῦ, ἦλθον καὶ ἐκεῖ καὶ ἐτάραττον τὰ πλήθη τοῦ λαοῦ, ἐπιδιώκοντες νὰ ἐξεγείρουν αὐτὰ κατὰ τοῦ Παύλου.

14 εὐθέως δὲ τότε τὸν Παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοὶ πορεύεσθαι ὡς ἐπὶ τὴν θάλασσαν· ὑπέμενον δὲ ὅ τε Σίλας καὶ ὁ Τιμόθεος ἐκεῖ.

14 Ἀμέσως δὲ τότε ἐξαπέστειλαν τὸν Παῦλον οἱ ἀδελφοὶ μὲ φαινομενικὴν κατεύθυνσιν τοῦ ταξιδίου του σὰν εἰς παραθαλάσσιον πόλιν, διὰ νὰ ἀποκρύψουν τὸν πραγματικὸν δρόμον, ποὺ θὰ ἠκολούθει, καὶ προλάβουν οὕτω πᾶσαν κατ' αὐτοῦ ἐνέδραν. Παρέμειναν ὅμως εἰς τὴν Βέροιαν καὶ ὁ Σίλας καὶ ὁ Τιμόθεος.

15 οἱ δὲ καθιστῶντες τὸν Παῦλον ἤγαγον αὐτὸν ἕως Ἀθηνῶν, καὶ λαβόντες ἐντολὴν πρὸς τὸν Σίλαν καὶ Τιμόθεον ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς αὐτόν, ἐξῄεσαν.

15 Αὐτοὶ δέ, ποὺ ὡδήγουν ἐν ἀσφαλείᾳ τὸν Παῦλον, τὸν ἔφεραν διὰ ξηρᾶς μέχρι τῶν Ἀθηνῶν καὶ ἀφοῦ ἔλαβον παρ' αὐτοῦ ἐντολὴν πρὸς τὸν Σίλαν καὶ τὸν Τιμόθεον, ἵνα ἔλθουν τὸ ταχύτερον πρὸς συνάντησίν του, ἀνεχώρησαν.

Στίχ. 16-34. Ὁ λόγος τοῦ Παύλου ἐπὶ τοῦ Ἀρείου Πάγου.

16 Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν.

16 Ἐνῷ δὲ ὁ Παῦλος ἐπερίμενε τοὺς δύο αὐτοὺς συνεργάτας του εἰς τὰς Ἀθήνας, ἠρεθίζετο τὸ πνεῦμα του καὶ ἐξωργίζετο μέσα του, ἐπειδὴ ἔβλεπεν, ὅτι ἡ πόλις ἦτο γεμάτη ἀπὸ εἴδωλα.

17 διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας.

17 Ἐν σχέσει λοιπὸν πρὸς τὴν εἰδωλολατρείαν αὐτὴν τῶν Ἀθηναίων, ἡ ὁποία ἐκίνει τὴν ἀγανάκτησίν του, συνδιελέγετο ὁ Παῦλος ἐν μὲν τῇ συναγωγῇ πρὸς τοὺς Ἰουδαίους καὶ πρὸς τοὺς σεβομένους τὸν ἀληθινὸν Θεὸν προσηλύτους, ἐν δὲ τῇ ἀγορᾷ κάθε ἡμέραν πρὸς ἐκείνους, τοὺς ὁποίους συνήντα ἐκεῖ τυχαίως.

11) 5. 13. Ἰν. ε' 39. 12) 4. 13) 11. ιδ' 19. 1 Θσ. β' 14 - 16. 14-15) ις' 1. ιη' 5. 16) 1 Θσ. γ' 1. 5. 2 Πτ. β' 8. 17) ιγ' 14. 16.

18 τινὲς δὲ τῶν Ἐπικουρείων καὶ τῶν Στοϊκῶν φιλοσόφων συνέβαλλον αὐτῷ, καί τινες ἔλεγον· τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν; οἱ δέ· ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι· ὅτι τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν εὐηγγελίζετο αὐτοῖς.

18 Μεταξὺ δὲ τῶν ἄλλων συνεζήτουν μαζί του καὶ μερικοὶ ἀπὸ τοὺς Ἐπικουρείους καὶ τοὺς Στοϊκοὺς φιλοσόφους. Καὶ ἄλλοι μὲν ἔλεγον· Σὰν τί νὰ θέλῃ ὁ φλύαρος αὐτὸς νὰ μᾶς εἴπῃ; Ἄλλοι δὲ ἔλεγον· Φαίνεται νὰ εἶναι κῆρυξ ξένων θεοτήτων, ποὺ μᾶς εἶναι ἄγνωστοι. Ἔλεγον δὲ τοῦτο, διότι ὁ Παῦλος ἐκήρυττε τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν.

19 ἐπιλαβόμενοί τε αὐτοῦ ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον λέγοντες· δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή;

19 Καὶ ἀφοῦ τὸν ἔπιασαν ἀπὸ τὸ χέρι, τὸν ὡδήγησαν εἰς τὸν Ἄρειον Πάγον καὶ τοῦ εἶπαν· Μποροῦμε νὰ μάθωμεν, ποία εἶναι ἡ νέα αὐτὴ διδασκαλία, ποὺ διδάσκεται ἀπὸ σέ;

20 ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν· βουλόμεθα οὖν γνῶναι τί ἂν θέλοι ταῦτα εἶναι.

20 Διότι κάποια παράδοξα καὶ πρωτάκουστα διδάγματα φέρεις μὲ τὴν διδασκαλίαν σου μέσα εἰς τὰς ἀκοάς μας. Θέλομεν λοιπὸν νὰ μάθωμεν, σὰν τί μπορεῖ νὰ εἶναι αὐτά, ποὺ διδάσκεις.

21 Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι εἰς οὐδὲν ἕτερον εὐκαίρουν ἢ λέγειν τι καὶ ἀκούειν καινότερον.

21 Τὸ ἔκαμαν δὲ αὐτὸ ὄχι ἀπὸ πραγματικὸν θρησκευτικὸν ἐνδιαφέρον, ἀλλ' ἀπὸ τὴν συνηθισμένην τους περιέργειαν, διότι ὅλοι οἱ Ἀθηναῖοι καὶ οἱ μονίμως διαμένοντες ἐν Ἀθήναις ξένοι δὲν εἶχαν καιρὸν διὰ τίποτε ἄλλο, παρὰ διὰ νὰ λέγουν καὶ νὰ ἀκούουν κάτι νεώτερον.

22 Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου ἔφη· ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ.

22 Ἀφοῦ δὲ ἐστάθη ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου Πάγου εἶπεν· Ὦ ἄνδρες Ἀθηναῖοι, σὰν πιὸ εὐλαβεστέρους καθ' ὅλα καὶ πιὸ θρήσκους ἀπὸ πολλοὺς ἄλλους σᾶς βλέπω.

23 διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν εὗρον καὶ βωμὸν ἐν ᾧ ἐπεγέγραπτο, ἀγνώστῳ Θεῷ. ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν.

23 Καὶ λέγω τοῦτο, διότι διαβαίνων τοὺς δρόμους τῆς πόλεως σας καὶ ἐξετάζων προσεκτικὰ ἐκεῖνα, ποὺ λατρεύετε, εὗρον καὶ ἕνα βωμόν, εἰς τὸν ὁποῖον εἶχε τεθῆ ἡ ἐπιγραφή: Ἀφιεροῦται ὁ βωμὸς αὐτὸς εἰς τὸν ἄγνωστον Θεόν. Ἐκεῖνον λοιπὸν τὸν Θεόν, ποὺ λατρεύετε, χωρὶς νὰ τὸν γνωρίζετε, αὐτὸν ἐγὼ σᾶς κηρύττω.

24 ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ,

24 Ὁ Θεός, ὁ ὁποῖος ἐποίησε τὸν κόσμον καὶ ὅλα, ὅσα ὑπάρχουν μέσα εἰς τὸν κόσμον, αὐτὸς μὴ ἐξαρτώμενος ἀπὸ κανένα ἄλλον, ἀλλ' ὑπάρχων ἀπὸ τὸν ἑαυτόν του ἀπόλυτος Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, δὲν κατοικεῖ εἰς ναούς, ποὺ κατασκευάζονται ἀπὸ χεῖρας ἀνθρώπων, ὅπως εἶναι καὶ οἱ μαρμάρινοι αὐτοὶ ναοί, τοὺς ὁποίους κατεσκεύασαν οἱ καλλιτέχναι σας.

25 οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται προσδεόμενός τινος, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα·

25 Οὔτε ὑπηρετεῖται ἀπὸ χεῖρας ἀνθρώπων, σὰν νὰ ἐστερεῖτο καὶ νὰ εἶχεν ἀνάγκην ἀπὸ κάτι. Ὄχι δὲν ἔχει ἀνάγκην ἀπὸ τίποτε, ἀφοῦ αὐτὸς δίδει εἰς ὅλα τὰ ζῶντα δημιουργήματά του ζωὴν καὶ ἀναπνοὴν καὶ ὅλα ὅσα πρὸς συντήρησιν τῆς ζωῆς των τοὺς χρειάζονται.

18) 20. β' 12. 1 Κρ. δ' 12. 19) Μρ. α' 27. 20) 18. 23) 30. 24) δ' 24. ζ' 48. 49. Ἰν. δ' 24. 25) Ἰβ. ιβ' 10. Ψ. κ' 5. μθ' 8 - 13. Ἡσ. α' 11. 12. μβ' 5. 2 Μκ. ιδ' 35.

26 ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς, ὁρίσας προστεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν,
27 ζητεῖν τὸν Κύριον, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν, καί γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα.
28 ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καί ἐσμέν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι· τοῦ γὰρ καὶ γένος ἐσμέν.
29 γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον.
30 τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν,
31 διότι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν ἀναστήσας αὐτὸν ἐκ νεκρῶν.
32 ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· ἀκουσόμεθά σου πάλιν περὶ τούτου.

26 Καὶ ἐποίησεν ἀπὸ ἓν αἷμα καὶ ἀπὸ τὸ αὐτὸ πρωτόπλαστον ζεῦγος ὅλα τὰ ἔθνη τῶν ἀνθρώπων, διὰ νὰ κατοικοῦν εἰς ὅλην τὴν ἐπιφάνειαν τῆς γῆς. Καὶ αὐτὸς ὥρισε διὰ καθένα ἀπὸ τὰ ἔθνη αὐτὰ χρόνους ἐκ προτέρου προσδιωρισμένους ὑπὸ τῆς προνοίας του διὰ τὴν ἐμφάνισιν καὶ ἐξαφάνισιν αὐτῶν, καθὼς καὶ τὰ σύνορα τῆς κατοικίας των.

27 Ὁ σπουδαιότερος δὲ σκοπός, διὰ τὸν ὁποῖον ἐποίησεν ὁ Θεὸς τὰ ἔθνη, εἶναι νὰ ζητοῦν ταῦτα τὸν Κύριον, ἐὰν θὰ κατώρθωναν ψηλαφητὰ διὰ τῆς σκέψεως νὰ τὸν εὕρουν, καίτοι αὐτὸς ὑπάρχει ὄχι μακράν, ἀλλὰ πολὺ πλησίον πρὸς ἕνα ἕκαστον ἀπὸ ἡμᾶς.
28 Καὶ εἶναι πολὺ πλησίον μας, διότι μέσα εἰς αὐτὸν ὡς εἰς πνευματικήν τινα ἀτμόσφαιραν ζῶμεν καὶ κινούμεθα καὶ ὑπάρχομεν, καθὼς καὶ μερικοὶ ἀπὸ τοὺς ἰδικούς σας ποιητὰς ἔχουν εἴπει· Διότι αὐτοῦ εἴμεθα καὶ γενηά. Καὶ εἴμεθα γενηά του, ὄχι διότι ἐβγήκαμεν ἀπὸ τὴν οὐσίαν του καὶ εἴμεθα ὅλοι ἕνα μὲ τὸν Θεόν, ὅπως τὸ ἐνόει ὁ ποιητής σας Ἄρατος, ἀλλὰ διότι μᾶς ἔπλασε κατ' εἰκόνα του καὶ μᾶς ἠγάπησεν ὡς οἰκείους του.
29 Ἀφοῦ λοιπὸν εἴμεθα γένος τοῦ Θεοῦ καὶ ἐλάβομεν παρ' αὐτοῦ ζῶσαν καὶ πνευματικὴν φύσιν, δὲν πρέπει νὰ νομίζωμεν, ὅτι ἡ θεότης εἶναι ὁμοία πρὸς τὰ ἄψυχα καὶ τὰ νεκρά, πρὸς χρυσὸν δηλαδὴ ἢ ἄργυρον ἢ μάρμαρον, ποὺ ἔχουν χαραχθῆ καὶ πελεκηθῆ ὑπὸ τῆς γλυπτικῆς τέχνης καὶ τῆς καλλιτεχνικῆς φαντασίας καὶ ἐπινοήσεως ἀνθρώπου εἰς μαρμάρινα ἢ ἀργυρᾶ ἢ χρυσᾶ ἀγάλματα καὶ εἴδωλα.
30 Ὄχι· ἐπὶ τόσους δὲ χρόνους, ποὺ οἱ ἄνθρωποι λατρεύουν τὰ ἄψυχα αὐτὰ εἴδωλα, ἀγνοοῦν καὶ ἐξευτελίζουν τὸν δημιουργόν τους καὶ ἀσεβοῦν πρὸς αὐτόν. Τώρα λοιπὸν τοὺς μακροὺς αὐτοὺς χρόνους, κατὰ τοὺς ὁποίους καὶ σεῖς καὶ τὰ ἄλλα ἔθνη εἴχατε ἄγνοιαν τοῦ ἀληθοῦς δημιουργοῦ σας, παρέβλεψεν ἐν τῇ μακροθυμίᾳ του ὁ Θεὸς καὶ παραγγέλλει εἰς ὅλους τοὺς ἀνθρώπους, ποὺ κατοικοῦν εἰς κάθε τόπον, νὰ μετανοοῦν καὶ νὰ ἐγκαταλείψουν τὰ εἴδωλα καὶ τὴν εἰδωλολατρικὴν ζωὴν καὶ νὰ ἐπιστρέψουν εἰς τὸν ἀληθινὸν Θεόν.
31 Πρέπει δὲ ὅλοι νὰ μετανοήσουν, διότι ὥρισεν ὁ Θεὸς ἡμέραν, κατὰ τὴν ὁποίαν μέλλει νὰ κρίνῃ τὴν οἰκουμένην μὲ δικαιοσύνην, δι' ἀνδρὸς τὸν ὁποῖον ὥρισε κριτήν. Ὅτι δὲ αὐτὸς θὰ εἶναι ὁ κριτὴς ὅλων μας, ἔδωκε βεβαίαν περὶ τούτου ἀπόδειξιν ὁ Θεὸς ἀναστήσας τὸν ἄνδρα τοῦτον ἐκ νεκρῶν.

32 Ἀλλ' ὅταν ἤκουσαν ἀνάστασιν νεκρῶν, ἄλλοι μὲν τὸν περιγελοῦσαν· ἄλλοι δὲ εἶπον· Θὰ σὲ ἀκούσωμεν καὶ πάλιν περὶ τοῦ θέματος αὐτοῦ.

[26]) Γν. α΄ 27. ια΄ 8. Δτ. λβ΄ 8. Πρ. ιδ΄ 16. [27]) Ἠσ. νε΄ 6. Ἰρ. κγ΄ 23. Ψ. ρμδ΄ 18. Πρ. ιδ΄ 17. Ῥμ. α΄ 19. 20. [28]) 25. (Ἰν. α΄ 3. Κλ. α΄ 17. Ἑβ. α΄ 3). 1 Κρ. ιε΄ 33. Ττ. α΄ 12. [29]) Ἠσ. μ΄ 18 - 20. μς΄ 5 - 7. Ἰρ. β΄ 27. ι΄ 3. Ἀβ. β΄ 18. Σφ. Σλ. ιγ΄ 10. ιε΄ 15. 16. Πρ. ιζ΄ 26. ιθ΄ 26. Ῥμ. α΄ 23. [30]) 23. ιδ΄ 16. Λκ. κδ΄ 47. Ῥμ. γ΄ 25. 26. [31]) Ψ. θ΄ 8. 9. Πρ. ι΄ 42. 43. Ἰν. ε΄ 22. Ῥμ. β΄ 16. 2 Κρ. ε΄ 10. [32]) β΄ 13. κδ΄ 25. κς΄ 24.

33 καὶ οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν.
34 τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ ἐπίστευσαν, ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης καὶ γυνὴ ὀνόματι Δάμαρις καὶ ἕτεροι σὺν αὐτοῖς.

33 Καὶ ἔτσι ὁ Παῦλος ἐβγῆκεν ἀπὸ τὸ μέσον τοῦ Ἀρείου Πάγου, ποὺ τὸν εἶχαν ἐκεῖνοι περικυκλώσει διὰ νὰ τὸν ἀκούσουν.
34 Μερικοὶ ὅμως ἄνθρωποι συνεδέθησαν καὶ προσεκολλήθησαν μετ' ἐμπιστοσύνης καὶ εὐλαβείας εἰς αὐτὸν καὶ ἐπίστευσαν εἰς τὸ κήρυγμά του. Ἦσαν δὲ μεταξὺ τούτων καὶ ὁ Διονύσιος ὁ Ἀρεοπαγίτης καὶ κάποια γυναῖκα, ποὺ ἐλέγετο Δάμαρις καὶ μερικοὶ ἄλλοι μαζὶ μὲ αὐτούς.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

Στίχ. 1-17. Ὁ Παῦλος εἰς Κόρινθον. Ἐνώπιον τοῦ Γαλλίωνος.

Μετὰ δὲ ταῦτα χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν Ἀθηνῶν ἦλθεν εἰς Κόρινθον·
2 καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ, διὰ τὸ διατεταχέναι Κλαύδιον χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἀπὸ τῆς Ῥώμης, προσῆλθεν αὐτοῖς,
3 καὶ διὰ τὸ ὁμότεχνον εἶναι ἔμεινε παρ' αὐτοῖς καὶ εἰργάζετο· ἦσαν γὰρ σκηνοποιοὶ τῇ τέχνῃ.
4 διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, ἔπειθέ τε Ἰουδαίους καὶ Ἕλληνας.
5 Ὡς δὲ κατῆλθον ἀπὸ τῆς Μακεδονίας ὅ τε Σίλας καὶ ὁ Τιμόθεος, συνείχετο τῷ πνεύματι ὁ Παῦλος διαμαρτυρόμενος τοῖς Ἰουδαίοις τὸν Χριστὸν Ἰησοῦν.
6 ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων ἐκτιναξάμενος τὰ ἱμάτια εἶπε πρὸς αὐτούς· τὸ αἷμα ὑμῶν ἐπὶ

Μετὰ δὲ τὰ συμβάντα ταῦτα τοῦ Ἀρείου Πάγου ἀπεχωρίσθη καὶ ἔφυγεν ὁ Παῦλος ἀπὸ τὴν πόλιν τῶν Ἀθηνῶν καὶ ἦλθεν εἰς Κόρινθον.

2 Καὶ εὗρεν ἐκεῖ κάποιον Ἰουδαῖον, ποὺ ἐλέγετο Ἀκύλας καὶ κατήγετο ἀπὸ τὸν Πόντον, εἶχεν ἔλθει δὲ κατὰ τὰς ἡμέρας ἐκείνας ἀπὸ τὴν Ἰταλίαν, αὐτὸς καὶ ἡ σύζυγός του Πρίσκιλλα. Προτήτερα δηλαδὴ ἔμεναν οὗτοι εἰς τὴν Ῥώμην καὶ ἦλθον εἰς τὴν Κόρινθον τὸ πλησιέστερον πρὸς τὴν Ῥώμην κέντρον, ἐπειδὴ εἶχε διατάξει ὁ Κλαύδιος νὰ ἀπομακρυνθοῦν ἐκ τῆς Ῥώμης ὅλοι οἱ Ἰουδαῖοι. Σὰν εὗρε λοιπὸν εἰς τὴν Κόρινθον ὁ Παῦλος τὸ ζεῦγος αὐτό, ἦλθε πρὸς αὐτούς.

3 Καὶ ἐπειδὴ ὁ Ἀκύλας εἰργάζετο τὴν αὐτὴν τέχνην, τὴν ὁποίαν ἐγνώριζε καὶ ὁ Παῦλος, δι' αὐτὸ ὁ Παῦλος ἔμενεν εἰς τὸ σπίτι των καὶ εἰργάζετο· διότι ἦσαν καὶ οἱ δύο κατασκευασταὶ σκηνῶν.
4 Συνδιελέγετο δὲ συγχρόνως μέσα εἰς τὴν συναγωγὴν κάθε Σάββατον, καὶ ἔπειθεν Ἰουδαίους καὶ Ἕλληνας προσηλύτους, ὅτι ὁ Ἰησοῦς εἶναι ὁ Μεσσίας.

5 Ὅταν δὲ κατέβησαν ἀπὸ τὴν Μακεδονίαν καὶ ὁ Σίλας καὶ ὁ Τιμόθεος, εὗρον τὸν Παῦλον στενοχωρημένον ἐσωτερικῶς λόγῳ τῆς ἀπροθυμίας τῶν Ἰουδαίων καὶ τῆς ἀδιαφορίας τῶν Κορινθίων. Καὶ ἐμαρτύρει ἐξ ὀνόματος τοῦ Θεοῦ εἰς τοὺς Ἰουδαίους καὶ ἐβεβαίωνεν, ὅτι ὁ Ἰησοῦς ἦτο ὁ Μεσσίας.
6 Ἐπειδὴ δὲ αὐτοὶ ἀντετάσσοντο καὶ ἐξεστόμιζον βλασφημίας κατὰ τοῦ Χριστοῦ, ἐτίναξε τὰ ἐνδύματά του εἰς ἔνδειξιν διαμαρτυρίας καὶ τοὺς εἶπεν· Ἡ εὐθύνη διὰ τὸν πνευματικὸν θάνατον καὶ ὄλεθρόν σας ἂς πέσῃ εἰς τὰς κεφαλάς σας. Ἐγὼ εἶ-

ΙΗ΄. [2]) 18. 26. Ῥμ. ις΄ 3. 1 Κρ. ις΄ 19. 2 Τμ. δ΄ 19. [3]) κ΄ 34. 1 Κρ. δ΄ 12. θ΄ 6 - 18. 1 Θσ. β΄ 9. 2 Θσ. γ΄ 7 - 10. [4]) ιζ΄ 2. 4. ιθ΄ 8. [5]) 28. ιζ΄ 3. 14. 15. 1 Θσ. α΄ 1. γ΄ 6. [6]) Ἰζ. λγ΄ 9. Πρ. ιγ΄ 45. 46. 51. κ΄ 26. Μτ. κζ΄ 24. 25.

τὴν κεφαλὴν ὑμῶν· καθαρὸς ἐγώ· ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι.

μαι καθαρὸς καὶ ἀνεύθυνος ἀπὸ πᾶσαν ἐνοχήν. Ἀπὸ τὴν στιγμὴν αὐτὴν θὰ ὑπάγω νὰ κηρύξω εἰς τοὺς ἐθνικούς.

7 καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν εἰς οἰκίαν τινὸς ὀνόματι Ἰούστου, σεβομένου τὸν Θεόν, οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ.

7 Καὶ ἀφοῦ ἔφυγεν ἀπὸ τὴν συναγωγήν, ἦλθεν εἰς τὸ σπίτι κάποιου, ποὺ ὠνομάζετο Ἰοῦστος. Αὐτὸς εἶχε προσηλυτισθῆ ἀπὸ τοὺς Ἰουδαίους καὶ ἐσέβετο τὸν ἀληθινὸν Θεόν, ἡ οἰκία του δὲ ἐγειτόνευε πρὸς τὴν συναγωγήν.

8 Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ πολλοὶ τῶν Κορινθίων ἀκούοντες ἐπίστευον καὶ ἐβαπτίζοντο.

8 Ὁ Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσεν εἰς τὸν Κύριον μὲ ὅλην τὴν οἰκογένειάν του καὶ πολλοὶ ἀπὸ τοὺς Κορινθίους, ὅταν ἤκουαν τὸ κήρυγμα, ἐπίστευον καὶ ἐβαπτίζοντο.

9 Εἶπε δὲ ὁ Κύριος δι' ὁράματος ἐν νυκτὶ τῷ Παύλῳ· μὴ φοβοῦ, ἀλλὰ λάλει καὶ μὴ σιωπήσῃς,

9 Εἶπε δὲ ὁ Κύριος πρὸς τὸν Παῦλον μὲ ὅραμα, τὸ ὁποῖον τοῦ παρουσιάσθη ἐν καιρῷ νυκτός· Μὴ φοβεῖσαι τὰς ἀπειλὰς τῶν Ἰουδαίων, οἱ ὁποῖοι ἐξεμάνησαν ἀπὸ τὴν ἀποσκίρτησιν τοῦ Κρίσπου, ἀλλὰ δίδασκε τὸ εὐαγγέλιον καὶ μὴ σιωπήσῃς.

10 διότι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε, διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ.

10 Μὴ φοβεῖσαι, διότι ἐγὼ εἶμαι μαζί σου καὶ κανεὶς δὲν θὰ σοῦ ἐπιτεθῇ διὰ νὰ σὲ κακοποιήσῃ. Αἱ ἀντιδράσεις, ποὺ θὰ ἀντιμετωπίσῃς, δὲν θὰ βλάψουν οὔτε σὲ οὔτε τὸ ἔργον σου. Δίδασκε, διότι ἔχω εἰς τὴν πόλιν αὐτὴν λαὸν πολυάριθμον, ὁ ὁποῖος ἐντὸς ὀλίγου θὰ πιστεύσῃ καὶ θὰ προστεθῇ εἰς τὴν Ἐκκλησίαν μου.

11 ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἓξ διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ.

11 Κατόπιν δὲ τοῦ ὁράματος αὐτοῦ παρέμεινεν ὁ Παῦλος εἰς τὴν Κόρινθον ἓν ἔτος καὶ μῆνας ἓξ διδάσκων μεταξὺ τῶν κατοίκων τῆς πόλεως τὸν λόγον τοῦ Θεοῦ.

12 Γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς Ἀχαΐας κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα,

12 Ὅτε δὲ ἐκυβέρνα τὴν Ἀχαΐαν ὡς ἀνθύπατος ὁ Γαλλίων, ἐξηγέρθησαν ἀπὸ συμφώνου καὶ μὲ μίαν γνώμην οἱ Ἰουδαῖοι κατὰ τοῦ Παύλου καὶ τὸν ἔφεραν ἐνώπιον τοῦ δικαστικοῦ βήματος.

13 λέγοντες ὅτι παρὰ τὸν νόμον οὗτος ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν.

13 Ἔλεγον δέ, ὅτι οὗτος διὰ παραπειστικῶν λόγων παρασύρει τοὺς ἀνθρώπους νὰ λατρεύουν τὸν Θεὸν κατὰ τρόπον ἀντίθετον πρὸς τὸν Μωσαϊκὸν νόμον.

14 μέλλοντος δὲ τοῦ Παύλου ἀνοίγειν τὸ στόμα εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους· εἰ μὲν οὖν ἦν ἀδίκημά τι ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν·

14 Ὅταν δὲ ἐπρόκειτο ὁ Παῦλος νὰ ἀνοίξῃ τὸ στόμα του καὶ νὰ ἀπολογηθῇ, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους· Ἐὰν μὲν αὐτό, ποὺ καταγγέλλετε, ἦτο παράβασις νόμου προξενοῦσα ἀδικίαν κατὰ τοῦ κράτους ἢ κατὰ τῶν δικαιωμάτων τῶν πολιτῶν, ἢ ἐὰν ἦτο κακούργημα προκαλοῦν βλάβην, θὰ σᾶς ἤκουα, ὦ Ἰουδαῖοι, μὲ ὑπομονὴν κατὰ δίκαιον λόγον.

15 εἰ δὲ ζήτημά ἐστι περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε

15 Ἀλλ' ἐὰν πρόκειται περὶ ὑποθέσεως, ἡ ὁποία ἔχει σχέσιν μὲ διδασκαλίαν καὶ μὲ ὀνόματα (Μωϋσέως καὶ Ἰησοῦ καὶ Μεσσίου) καὶ μὲ τὸν ἰδικόν σας νόμον, πρέπει μόνοι σας νὰ φρον-

[7]) ιγ' 43. ιθ' 9. (Κλ. δ' 11). [8]) ις' 15. 33. 1 Κρ. α' 14. [9]) ις' 9. κγ' 11. 1 Κρ. β' 3. [10]) Ἰσ. Ν. α' 5. 9. Ἡσ. μα' 10. μγ' 5. Ἰρ. α' 8. 19. Μτ. κη' 20. Ἰν. ι' 16. ια' 52. [11]) ιθ' 10. [12]) 16. κε' 6 - 8. [13]) κα' 21. 28. [14-15]) κγ' 29. κε' 11. 18 - 20. Ἰν. ιη' 31. Μτ. ε' 2.

αὐτοί· κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι.

τίσετε διὰ τὴν διευθέτησίν της. Διότι ἐγὼ δὲν θέλω νὰ ἀναμιχθῶ καὶ νὰ εἶμαι δικαστὴς ἐπὶ τῶν ζητημάτων τούτων.

16 καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος.

16 Καὶ τοὺς ἐξεδίωξεν ἀπὸ τὴν περιοχὴν τοῦ δικαστικοῦ βήματος.

17 ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλληνες Σωσθένην τὸν ἀρχισυνάγωγον ἔτυπτον ἔμπροσθεν τοῦ βήματος· καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελεν.

17 Τότε ὅλοι οἱ Ἕλληνες ἔπιασαν τὸν ἀρχισυνάγωγον Σωσθένην καὶ τὸν ἐκτύπων ἐμπρὸς εἰς τὸ δικαστικὸν βῆμα. Καὶ ὁ Γαλλίων δὲν ἐνδιεφέρετο δι' αὐτό.

Στίχ. 18-23. Ὁ Παῦλος ἐπιστρέφει εἰς Ἀντιόχειαν. Ἐπίσκεψις τῆς Γαλατίας καὶ τῆς Φρυγίας.

18 Ὁ δὲ Παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανάς, τοῖς ἀδελφοῖς ἀποταξάμενος ἐξέπλει εἰς τὴν Συρίαν, καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας, κειράμενος τὴν κεφαλὴν ἐν Κεγχρεαῖς· εἶχε γὰρ εὐχήν.

18 Ὁ Παῦλος δέ, ἀφοῦ παρέμεινεν ἀρκετὰς ἀκόμη ἡμέρας μετὰ τὸ γεγονὸς τοῦτο, ἀπεχαιρέτησε τοὺς ἀδελφοὺς καὶ ἀνεχώρησε μὲ πλοῖον διὰ τὴν Συρίαν, καὶ μαζὶ μὲ αὐτὸν ἀνεχώρησαν ἡ Πρίσκιλλα καὶ ὁ Ἀκύλας. Προηγουμένως δὲ ὁ Παῦλος ἐκούρευσε τὴν κεφαλήν του εἰς τὰς Κεγχρεάς, διότι κατὰ συνήθειαν Ἰουδαϊκὴν εἶχε κάμει τάξιμον νὰ διατηρήσῃ τὰς τρίχας τῆς κεφαλῆς του ἐπὶ ὡρισμένον χρόνον καὶ νὰ προσφέρῃ αὐτὰς εἰς τὸν Κύριον.

19 κατήντησε δὲ εἰς Ἔφεσον, κἀκείνους κατέλιπεν αὐτοῦ, αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν διελέχθη τοῖς Ἰουδαίοις.

19 Ἦλθαν δὲ εἰς Ἔφεσον. Καὶ ἐκείνους μέν, τὴν Πρίσκιλλαν καὶ τὸν Ἀκύλαν δηλαδή, ἀφῆκεν ἐκεῖ, αὐτὸς δέ, ἀφοῦ εἰσῆλθεν εἰς τὴν συναγωγήν, συνδιελέχθη μὲ τοὺς Ἰουδαίους.

20 ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείονα χρόνον μεῖναι παρ' αὐτοῖς οὐκ ἐπένευσεν,

20 Ὅταν δὲ οὗτοι παρεκάλουν τὸν Παῦλον νὰ παραμείνῃ πλησίον των περισσότερον χρόνον, δὲν συγκατετέθη οὗτος,

21 ἀλλ' ἀπετάξατο αὐτοῖς εἰπών· δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα, πάλιν δὲ ἀνακάμψω πρὸς ὑμᾶς τοῦ Θεοῦ θέλοντος. καὶ ἀνήχθη ἀπὸ τῆς Ἐφέσου,

21 ἀλλὰ τοὺς ἀπεχαιρέτησε καὶ εἶπε· Πρέπει μὲ κάθε τρόπον τὴν ἑορτήν, ποὺ ἔρχεται, νὰ τὴν κάμω εἰς τὰ Ἱεροσόλυμα, θὰ ἐπιστρέψω δὲ πάλιν πρὸς σᾶς, ἐὰν θέλῃ ὁ Θεός. Καὶ ἀνεχώρησε μὲ πλοῖον ἀπὸ τὴν Ἔφεσον.

22 καὶ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν κατέβη εἰς Ἀντιόχειαν,

22 Καὶ ἀποβιβασθεὶς εἰς τὸν λιμένα τῆς Καισαρείας, ἀνέβη εἰς τὰ Ἱεροσόλυμα καὶ ἀφοῦ ἐχαιρέτησε τὴν σύναξιν τῶν πιστῶν, κατέβη εἰς τὴν Ἀντιόχειαν καὶ ἔλαβεν οὕτω τέλος ἡ δευτέρα ἀποστολικὴ πορεία του.

23 καὶ ποιήσας χρόνον τινὰ ἐξῆλθε διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, ἐπιστηρίζων πάντας τοὺς μαθητάς.

23 Καὶ ἀφοῦ ἔμεινε κάμποσον χρόνον ἐκεῖ, ἀνεχώρησε. Καὶ ἤρχισε τὴν τρίτην ἀποστολικὴν πορείαν του περιοδεύων μὲ τὴν σειρὰν τὴν Γαλατικὴν χώραν καὶ τὴν Φρυγίαν, στηρίζων εἰς τὴν πίστιν ὅλους τοὺς μαθητάς.

[17]) (1 Κρ. α' 1). [18]) Ἀρ. ς' 5 - 9. 18. Πρ. κα' 24. Ῥμ. ις' 1. [19]) ιζ' 2. [20-21]) ι' 48. ιθ' 1. κ' 16. Ῥμ. α' 10. 1 Κρ. δ' 19. Ἰκ. δ' 15. [22]) κα' 15. [23]) ιδ' 21. 22. ιε' 41. ις' 6.

Στίχ. 24-28. Ὁ Ἀπολλῶς ἔρχεται εἰς Κόρινθον.

24 Ἰουδαῖος δέ τις Ἀπολλῶς ὀνόματι, Ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς γραφαῖς.

24 Ἐν τῷ μεταξὺ δὲ κάποιος Ἰουδαῖος, ὁ ὁποῖος ἐλέγετο Ἀπολλῶς καὶ κατήγετο ἀπὸ τὴν Ἀλεξάνδρειαν, ἀνὴρ εὔγλωττος, ἦλθεν εἰς Ἔφεσον, ἦτο δὲ δυνατὸς εἰς τὴν γνῶσιν καὶ τὴν ἑρμηνείαν τῶν Γραφῶν.

25 οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ Κυρίου, καὶ ζέων τῷ πνεύματι ἐλάλει καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Κυρίου, ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου·
26 οὗτός τε ἤρξατο παρρησιάζεσθαι ἐν τῇ συναγωγῇ. ἀκούσαντες δὲ αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα προσελάβοντο αὐτὸν καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν ὁδὸν τοῦ Θεοῦ.

25 Αὐτὸς εἶχε κατηχηθῆ περὶ τῆς συμπεριφορᾶς καὶ τοῦ δρόμου, τὸν ὁποῖον πρέπει κανεὶς νὰ ἀκολουθῇ διὰ νὰ εὐαρεστήσῃ εἰς τὸν Κύριον, καὶ ἐπειδὴ ἦτο ζηλωτὴς καὶ τὸ πνεῦμα του ἐνεπνέετο ἀπὸ θερμὰ καὶ ἐνθουσιώδη συναισθήματα καὶ διαθέσεις, ὡμίλει κατ' ἰδίαν καὶ ἐδίδασκε δημοσίᾳ μὲ σχετικὴν ἀκρίβειαν τὰς ἀφορώσας εἰς τὸν Κύριον Ἰησοῦν ἀληθείας, μολονότι ἐγνώριζε μόνον τὸ βάπτισμα καὶ τὸ κήρυγμα τοῦ Ἰωάννου.
26 Καὶ οὗτος ἤρχισε νὰ κηρύττῃ μετὰ ἀφοβίας καὶ θάρρους ἐν τῇ συναγωγῇ. Ὅταν δὲ τὸν ἤκουσαν ὁ Ἀκύλας καὶ ἡ Πρίσκιλλα, τὸν ἐπῆραν μὲ πᾶσαν οἰκειότητα πλησίον των καὶ ἐξέθεσαν εἰς αὐτὸν ἀκριβέστερον τὸν δρόμον τῆς ἀληθείας καὶ σωτηρίας, τὸν ὁποῖον ὁ Θεὸς ἀπεκάλυψε.

27 βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν Ἀχαΐαν προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν· ὃς παραγενόμενος συνεβάλετο πολὺ τοῖς πεπιστευκόσι διὰ τῆς χάριτος·

27 Ἐπειδὴ δὲ αὐτὸς ἤθελε ἀπὸ τὴν Ἔφεσον νὰ διαπεράσῃ εἰς τὴν Ἀχαΐαν, τὸν προέτρεψαν καὶ τὸν ἐνεθάρρυναν οἱ ἀδελφοὶ νὰ πραγματοποιήσῃ τὸ ταξίδιον τοῦτο καὶ ἔγραψαν συστατικὴν ἐπιστολὴν πρὸς τοὺς μαθητὰς διὰ νὰ τὸν δεχθοῦν μὲ πᾶσαν ἐμπιστοσύνην. Πράγματι δὲ αὐτὸς ἦλθεν εἰς Κόρινθον καὶ ὠφέλησε πολὺ ἐκείνους, οἱ ὁποῖοι διὰ τῆς χάριτος τοῦ Θεοῦ εἶχον πιστεύσει.

28 εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο δημοσίᾳ ἐπιδεικνὺς διὰ τῶν γραφῶν εἶναι τὸν Χριστὸν Ἰησοῦν.

28 Διότι μετὰ δυνάμεως ἀνεσκεύαζε καὶ ἀπεστόμωνε δημοσίᾳ τοὺς Ἰουδαίους ἀποδεικνύων διὰ τῶν Γραφῶν καὶ τῆς ἐπαληθεύσεως τῶν προφητειῶν, ὅτι ὁ Ἰησοῦς ἦτο ὁ Μεσσίας.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

Στίχ. 1-20. Ὁ Παῦλος εἰς Ἔφεσον. Οἱ ἑπτὰ ἐξορκισταί. Καῦσις μαγικῶν βιβλίων.

Ἐγένετο δὲ ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη ἐλθεῖν εἰς Ἔφεσον· καὶ εὑρών μαθητάς τινας

Καθ' ὃν χρόνον δὲ ὁ Ἀπολλῶς ἦτο εἰς τὴν Κόρινθον, ὁ Παῦλος, ἀφοῦ περιώδευσε τὰ βορειότερα καὶ ὑψηλότερα μέρη τῆς Μικρᾶς Ἀσίας, συνέβη νὰ ἔλθῃ εἰς τὴν Ἔφεσον. Καὶ ὅταν εὗρεν ἐκεῖ κάποιους μαθητάς,

[24]) 27. 1 Κρ. α΄ 12. ις΄ 12. Ττ. γ΄ 13. [25]) θ΄ 2. ιθ΄ 3. 4. Ῥμ. ιβ΄ 11. Ἀπ. γ΄ 15. [26]) θ΄ 28. ιθ΄ 8. [27]) ιθ΄ 1. 1 Κρ. γ΄ 5. 6. δ΄ 6. 2 Κρ. γ΄ 1. Κλ. δ΄ 10. [28]) θ΄ 22. ιζ΄ 3.
ΙΘ΄. [1]) ιη΄ 19 - 21. 24 - 27.

2 εἶπε πρὸς αὐτούς· εἰ Πνεῦμα Ἅγιον ἐλάβετε πιστεύσαντες; οἱ δὲ εἶπον πρὸς αὐτόν· ἀλλ' οὐδὲ εἰ Πνεῦμα Ἅγιόν ἐστιν ἠκούσαμεν.

2 τοὺς εἶπεν· Ἐλάβετε τὰ ἔκτακτα χαρίσματα τοῦ Ἁγίου Πνεύματος, ὅταν ἐπιστεύσατε; Αὐτοὶ δὲ τοῦ ἀπήντησαν· Ἀκόμη δὲν ἠκούσαμεν οὔτε ἐὰν ὑπάρχῃ μεταξὺ τῶν ἀνθρώπων ἐνεργοῦν καὶ μεταδίδον χαρίσματα Πνεῦμα Ἅγιον.

3 εἶπέ τε πρὸς αὐτούς· εἰς τί οὖν ἐβαπτίσθητε; οἱ δὲ εἶπον· εἰς τὸ Ἰωάννου βάπτισμα.

3 Καὶ τότε ὁ Παῦλος τοὺς εἶπε· Ποῖον λοιπὸν βάπτισμα ἐλάβατε καὶ εἰς τίνος τὸ ὄνομα ἐβαπτίσθητε; Αὐτοὶ δὲ εἶπον· Ἐβαπτίσθημεν εἰς τὸ βάπτισμα τοῦ Ἰωάννου.

4 εἶπε δὲ Παῦλος· Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι, τοῦτ' ἔστιν εἰς τὸν Ἰησοῦν Χριστόν.
5 ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

4 Εἶπε δὲ ὁ Παῦλος· Ὁ μὲν Ἰωάννης ἐβάπτισε βάπτισμα, ποὺ ὡδήγει εἰς μετάνοιαν, χωρὶς ὅμως νὰ δίδῃ τοῦτο καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· καὶ προέτρεπεν ὁ Ἰωάννης τὸν λαὸν νὰ πιστεύσουν εἰς ἐκεῖνον, ὁ ὁποῖος ἤρχετο ὕστερα ἀπὸ αὐτόν, τουτέστιν εἰς τὸν Ἰησοῦν Χριστόν, ὁ ὁποῖος θὰ παρεῖχε τὴν ἄφεσιν καὶ τὴν σωτηρίαν.
5 Ὅταν δὲ ἐκεῖνοι ἤκουσαν ταῦτα, ἐβαπτίσθησαν, ἀφοῦ ἐπίστευσαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ καὶ ἐστήριξαν ὅλην τὴν ἐμπιστοσύνην καὶ ἐλπίδα των εἰς τὸ ἀξίωμά του ὡς Μεσσίου καὶ ὡς Λυτρωτοῦ καὶ ὡς Κυρίου.

6 καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας ἦλθε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ' αὐτούς, ἐλάλουν τε γλώσσαις καὶ προεφήτευον.
7 ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο.

6 Καὶ ὅταν ὁ Παῦλος ἔθεσεν ἐπὶ τῶν κεφαλῶν των τὰς χεῖρας, ἦλθε τὸ Ἅγιον Πνεῦμα ἐπ' αὐτῶν καὶ τοὺς μετέδωκε διπλᾶ χαρίσματα, διότι ὡμίλουν εἰς διαφόρους γλώσσας, τὰς ὁποίας ὡς ξένας δὲν ἐγνώριζαν προτήτερα, συγχρόνως δὲ καὶ ἐπροφήτευον.
7 Ἦσαν δὲ ὅλοι αὐτοὶ περίπου δώδεκα ἄνδρες.

8 Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν ἐπαρρησιάζετο ἐπὶ μῆνας τρεῖς διαλεγόμενος καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

8 Ἐν συνεχείᾳ δὲ ὁ Παῦλος ἀφοῦ εἰσῆλθεν εἰς τὴν συναγωγήν, ἐκήρυττε μετὰ θάρρους ἐπὶ μῆνας τρεῖς συνδιαλεγόμενος μετὰ τῶν Ἰουδαίων καὶ προβάλλων πειστικὰς ἀποδείξεις περὶ τῶν ἀληθειῶν τῶν ἀναφερομένων εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, τὴν ὁποίαν ἐγκαθίδρυσεν ἐπὶ τῆς γῆς καὶ εἰς τὰς καρδίας τῶν πιστῶν ὁ Κύριος Ἰησοῦς.

9 ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους, ἀποστὰς ἀπ' αὐτῶν ἀφώρισε τοὺς μαθητάς, καθ' ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ Τυράννου τινός.
10 τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας τοὺς κατοικοῦντας τὴν Ἀσίαν ἀκοῦσαι τὸν λόγον τοῦ Κυρίου Ἰησοῦ, Ἰουδαίους τε καὶ Ἕλληνας.

9 Ἐπειδὴ δὲ μερικοὶ ἀπὸ τοὺς Ἰουδαίους ἐσκληρύνοντο καὶ δὲν ἐπίστευον, διαβάλλοντες καὶ βλασφημοῦντες ἐνώπιον τοῦ πλήθους τὴν πίστιν, διὰ τῆς ὁποίας ὡς διὰ δρόμου ἀσφαλοῦς ὁδηγεῖται ὁ ἄνθρωπος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀπεμακρύνθη ὁ Παῦλος ἀπὸ αὐτούς. Καὶ ἐξεχώρισε τοὺς πιστοὺς μαθητὰς ἀπὸ τοὺς ἄλλους, ποὺ δὲν εἶχον πιστεύσει. Καὶ ἀπὸ τότε συνδιελέγετο καὶ ἐκήρυττε καθ' ἑκάστην ἡμέραν ἐν τῇ σχολῇ κάποιου, ποὺ ὠνομάζετο Τύραννος.
10 Ἡ διδασκαλία δὲ αὐτὴ εἰς τὴν σχολὴν τοῦ Τυράννου διήρκεσεν ἐπὶ δύο ἔτη, ὥστε ὅλοι ἐκεῖνοι, ποὺ κατοικοῦσαν εἰς τὴν Ἀσίαν, ἤκουσαν τὸν λόγον τοῦ Κυρίου Ἰησοῦ, καὶ οἱ Ἰουδαῖοι καὶ οἱ Ἕλληνες.

[1]) β΄ 38. Ἰν. ζ΄ 39. [3]) ιη΄ 25. [4]) ια΄ 16. Λκ. γ΄ 3. 16. [5-6]) β΄ 4. η΄ 17. ι΄ 44 - 46. Μτ. κη΄ 19. [8]) ιη΄ 4. [9]) 23. θ΄ 2. ιη΄ 7. 2 Κρ. ς΄ 17. Ττ. γ΄ 10. 11. 2 Ἰν. 10. [10]) ιη΄ 11. κ΄ 31.

11 Δυνάμεις τε οὐ τὰς τυχούσας ἐποίει ὁ Θεὸς διὰ τῶν χειρῶν Παύλου,

11 Καὶ ὁ Θεὸς ἐνήργει διὰ μέσου τοῦ Παύλου θαύματα οὐχὶ συνήθη καὶ τυχαῖα.

12 ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια ἢ σιμικίνθια καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους, τά τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ' αὐτῶν.

12 Καὶ ἦσαν τέτοια τὰ θαύματα, ὥστε ἔπαιρναν οἱ ἄνθρωποι μανδήλια ἢ περιζώματα καὶ ἐμπροσθέλλας, ποὺ εἶχε χρησιμοποιήσει ὁ Παῦλος καὶ εἶχε σφογγίσει μὲ αὐτὰ τὸν ἱδρῶτα του ἢ εἶχε καλύψει τὸ δέρμα του, καὶ τὰ ἔφεραν ἐπάνω εἰς τοὺς ἀρρώστους καὶ διὰ μόνης τῆς ἐπιθέσεως ταύτης ἀπεμακρύνοντο ἀπὸ αὐτοὺς αἱ ἀσθένειαι καὶ ἔβγαιναν ἐξ αὐτῶν τὰ πονηρὰ πνεύματα.

13 Ἐπεχείρησαν δέ τινες ἀπὸ τῶν περιερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ λέγοντες· ὁρκίζομεν ὑμᾶς τὸν Ἰησοῦν ὃν ὁ Παῦλος κηρύσσει.

13 Μερικοὶ δὲ ἀπὸ τοὺς Ἰουδαίους, ποὺ περιήρχοντο ἀπὸ τόπου εἰς τόπον καὶ ἐξεδίωκον τὰ δαιμόνια δι' ἐξορκισμῶν, ἀπεπειράθησαν νὰ ἐπικαλεσθοῦν τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ ἐπὶ τῶν ἐχόντων τὰ πονηρὰ πνεύματα λέγοντες· Ἐπικαλούμενοι τὸ ὄνομα καὶ τὸν φόβον, ποὺ ἐμπνέει ἡ δύναμις τοῦ Ἰησοῦ, τὸν ὁποῖον κηρύττει ὁ Παῦλος, σᾶς ἐξορκίζομεν νὰ ἐξέλθετε ἀπὸ αὐτούς, ποὺ βασανίζετε.

14 ἦσαν δέ τινες υἱοὶ Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ οἱ τοῦτο ποιοῦντες.

14 Ἦσαν δὲ κάποια παιδιὰ τοῦ Σκευᾶ, Ἰουδαίου ἀρχιερέως, ἑπτὰ τὸν ἀριθμόν, αὐτοὶ ποὺ ἔπραττον τοῦτο.

15 ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν εἶπε· τὸν Ἰησοῦν γινώσκω καὶ τὸν Παῦλον ἐπίσταμαι· ὑμεῖς δὲ τίνες ἐστέ;

15 Ἀπεκρίθη δὲ τὸ πονηρὸν πνεῦμα καὶ εἶπε· Γνωρίζω τὸν Ἰησοῦν· ἠξεύρω καὶ τὸν Παῦλον. Σεῖς ὅμως ποῖοι εἶσθε;

16 καὶ ἐφαλλόμενος ἐπ' αὐτοὺς ὁ ἄνθρωπος, ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρόν, καὶ κατακυριεύσας αὐτῶν ἴσχυσε κατ' αὐτῶν, ὥστε γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου.

16 Καὶ ἀφοῦ ἐπήδησε μὲ ὁρμὴν κατ' αὐτῶν ὁ ἄνθρωπος, ἐντὸς τοῦ ὁποίου ἦτο τὸ πονηρὸν πνεῦμα, καὶ τοὺς κατέβαλε, ἐβιαιοπράγησε κατ' αὐτῶν, ὥστε αὐτοὶ ἐξέφυγαν ἀπὸ τὸ σπίτι ἐκεῖνο τοῦ δαιμονισμένου γυμνοὶ καὶ τραυματισμένοι.

17 τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησι τοῖς κατοικοῦσι τὴν Ἔφεσον, καὶ ἐπέπεσε φόβος ἐπὶ πάντας αὐτούς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ·

17 Τοῦτο δὲ ἔγινε γνωστὸν εἰς ὅλους, καὶ Ἰουδαίους καὶ Ἕλληνας, ὅσοι κατοικοῦσαν εἰς τὴν Ἔφεσον, οἱ ὁποῖοι ὡμίλουν προτήτερα ἀνευλαβῶς ἢ ἀδιαφόρως περὶ τοῦ Παύλου καὶ τῆς διδασκαλίας του, καὶ ἐκυριεύθησαν ὅλοι αὐτοὶ ἀπὸ φόβον, καὶ ἐδοξάζετο τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

18 πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν.

18 Καὶ πολλοὶ ἀπὸ ἐκείνους, ποὺ εἶχαν πιστεύσει, ἤρχοντο καὶ ἐξωμολογοῦντο καὶ ἐγνωστοποίουν δημοσίᾳ τὰς κακάς των πράξεις.

19 ἱκανοὶ δὲ τῶν τὰ περίεργα πραξάντων συνενέγκαντες τὰς βίβλους κατέκαιον

19 Ἀρκετοὶ δὲ ἀπὸ ἐκείνους, ποὺ ἤσκησαν τὰς μαγικὰς τέχνας, ἀφοῦ ἔφεραν μαζὶ τὰ μαγικὰ βιβλία, ἔκαιον ταῦτα ἐμπρὸς εἰς ὅλους. Καὶ συνυπολόγισαν τὰς τιμάς, εἰς τὰς ὁποίας

[11-12]) β' 43. ε' 12. 15. ιδ' 3. [13]) Λκ. θ' 49. Μτ. ζ' 22. ιβ' 27. [15]) ις' 17. Μρ. α' 34. [17]) β' 43. ε' 5. 11. 13. [18]) Μτ. γ' 6.

ἐνώπιον πάντων· καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν καὶ εὗρον ἀργυρίου μυριάδας πέντε.

εἶχον ἀγορασθῆ τὰ καέντα ταῦτα βιβλία, καὶ εὗρον συνολικὸν ποσὸν τῆς ἀξίας των πεντήκοντα χιλιάδας ἀργυρῶν νομισμάτων, ἤτοι περίπου τριάκοντα πέντε χιλιάδας χρυσᾶς δραχμάς.

20 Οὕτω κατὰ κράτος ὁ λόγος τοῦ Κυρίου ηὔξανε καὶ ἴσχυεν.

20 Ἔτσι ὁ λόγος τοῦ Κυρίου διεδίδετο μὲ μεγάλην δύναμιν καὶ ἤσκει ἰσχυρὰν ἐπίδρασιν.

Στίχ. 21-41. Ἀναταραχαὶ εἰς τὴν Ἔφεσον.

21 Ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν πορεύεσθαι εἰς Ἱερουσαλήμ, εἰπὼν ὅτι μετὰ τὸ γενέσθαι με ἐκεῖ δεῖ με καὶ Ῥώμην ἰδεῖν.

21 Ἀφοῦ δὲ συνετελέσθησαν ταῦτα, ἔβαλεν εἰς τὸν νοῦν του ὁ Παῦλος νὰ περιοδεύσῃ πρῶτον εἰς τὴν Μακεδονίαν καὶ τὴν Ἀχαΐαν καὶ νὰ πορευθῇ ἔπειτα εἰς τὴν Ἱερουσαλὴμ καὶ προσέθεσεν ὅτι, ἀφοῦ ὑπάγω εἰς τὰ Ἱεροσόλυμα, πρέπει ἐγὼ νὰ ἴδω καὶ τὴν Ῥώμην.

22 ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἐπέσχε χρόνον εἰς τὴν Ἀσίαν.

22 Ἀφοῦ δὲ ἀπέστειλεν εἰς Μακεδονίαν δύο ἀπὸ ἐκείνους, ποὺ τὸν ὑπηρέτουν καὶ τὸν ἐβοήθουν εἰς τὸ ἀποστολικόν του ἔργον, τὸν Τιμόθεον δηλαδὴ καὶ τὸν Ἔραστον, αὐτὸς παρέμεινεν ἐπ' ὀλίγον ἀκόμη χρόνον εἰς τὴν Ἀσίαν.

23 Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ.

23 Ἔγινε δὲ κατὰ τὸν χρόνον ἐκεῖνον ὄχι ὀλίγη ταραχὴ περὶ τῆς χριστιανικῆς πίστεως καὶ ζωῆς, τὴν ὁποίαν ὁ Κύριος μᾶς ἀπεκάλυψεν ὡς δρόμον ἀσφαλῆ ὁδηγοῦντα εἰς τὴν σωτηρίαν.

24 Δημήτριος γάρ τις ὀνόματι, ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος παρείχετο τοῖς τεχνίταις ἐργασίαν οὐκ ὀλίγην·

24 Ἔγινε δὲ ἡ ταραχὴ αὐτή, διότι κάποιος, ποὺ ὠνομάζετο Δημήτριος, ὁ ὁποῖος κατειργάζετο τὸν ἄργυρον καὶ κατεσκεύαζε μικροὺς ναοὺς ἀσημένιους, ὁμοιώματα τοῦ ναοῦ τῆς Ἐφεσίας Ἀρτέμιδος, παρεῖχεν ὄχι μικρὰ κέρδη εἰς τοὺς τεχνίτας, ποὺ εἰργάζοντο τὸ ἐπάγγελμα αὐτό.

25 οὓς συναθροίσας καὶ τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας εἶπεν· ἄνδρες, ἐπίστασθε ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῶν ἐστι,

25 Ἐμάζευσε λοιπὸν τούτους, καθὼς καὶ τοὺς ἐργάτας, ποὺ ἠσχολοῦντο εἰς τέτοια ἔργα καὶ εἶπεν· Ἄνδρες, γνωρίζετε, ὅτι ἀπὸ τὸ ἐπάγγελμα αὐτὸ βγαίνει τὸ πλούσιον εἰσόδημά μας.

26 καὶ θεωρεῖτε καὶ ἀκούετε ὅτι οὐ μόνον Ἐφέσου, ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος οὗτος πείσας μετέστησεν ἱκανὸν ὄχλον, λέγων ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν γινόμενοι.

26 Καὶ βλέπετε οἱ ἴδιοι, ἀλλὰ καὶ ἀκούετε νὰ λέγουν οἱ ἄλλοι, ὅτι πλῆθος ἀρκετόν, ὄχι μόνον ἀπὸ τὴν Ἔφεσον, ἀλλὰ καὶ ἀπὸ ὅλην σχεδὸν τὴν Ἀσίαν, τὸ μετέστρεψε μὲ λόγους πειστικοὺς αὐτὸς ὁ Παῦλος, λέγων ὅτι οἱ θεοί, ποὺ κατασκευάζονται ἀπὸ χεῖρας ἀνθρώπων, δὲν εἶναι ἀληθινοὶ θεοί.

27 οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ

27 Δὲν κινδυνεύει δὲ μόνον τὸ ἐπάγγελμά μας αὐτὸ νὰ καταντήσῃ ἐπὶ ζημίᾳ ἡμῶν εἰς παρακμὴν καὶ καταφρόνησιν, ἀλλὰ καὶ ὁ ναὸς τῆς μεγάλης θεᾶς Ἀρτέμιδος κινδυνεύει νὰ μὴ λο-

[20]) ς' 7. ιβ' 24. [21]) κ' 1. 2. 22. κγ' 11. κη' 14. Ῥμ. α' 13. ιε' 23 - 28. [22]) ις' 1. Ῥμ. ις' 23. 1 Κρ. δ' 17. ις' 10. 11. 2 Τμ. δ' 20. [23]) 9. 1 Κρ. ιε' 32. 2 Κρ. α' 8. 9. [24-25]) 38. ις' 16. 19. [26]) ιδ' 15. ιζ' 29. [27]) 35.

τῆς μεγάλης θεᾶς Ἀρτέμιδος ἱερὸν εἰς οὐθὲν λογισθῆναι, μέλλειν τε καὶ καθαιρεῖσθαι τὴν μεγαλειότητα αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται.

28 ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις θυμοῦ ἔκραζον λέγοντες· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων.

29 καὶ ἐπλήσθη ἡ πόλις ὅλη τῆς συγχύσεως, ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον συναρπάσαντες Γάϊον καὶ Ἀρίσταρχον Μακεδόνας, συνεκδήμους Παύλου.

30 τοῦ δὲ Παύλου βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον οὐκ εἴων αὐτὸν οἱ μαθηταί·

31 τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν, ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον.

32 ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον· ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη, καὶ οἱ πλείους οὐκ ᾔδεισαν τίνος ἕνεκεν συνεληλύθεισαν.

33 ἐκ δὲ τοῦ ὄχλου προεβίβασαν Ἀλέξανδρον, προβαλλόντων αὐτὸν τῶν Ἰουδαίων· ὁ δὲ Ἀλέξανδρος κατασείσας τὴν χεῖρα ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ.

34 ἐπιγνόντες δὲ ὅτι Ἰουδαῖός ἐστι, φωνὴ ἐγένετο μία ἐκ πάντων, ὡς ἐπὶ ὥρας δύο κραζόντων· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων.

35 καταστείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον φησίν· ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἄνθρωπος ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν νεωκό-

γαριάζεται πλέον γιὰ τίποτε καὶ μέλλει νὰ καθαιρεθῆ ἡ μεγαλειότης αὐτῆς, τὴν ὁποίαν ὁλόκληρος ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται.

28 Ὅταν δὲ ἤκουσαν ἐκεῖνοι τοὺς λόγους τούτους, ἔγιναν γεμᾶτοι ἀπὸ θυμὸν καὶ ἐφώναζαν λέγοντες· Εἶναι μεγάλη ἡ Ἄρτεμις τῶν Ἐφεσίων.

29 Καὶ ἐγέμισεν ὁλόκληρος ἡ πόλις ἀπὸ τὸν θόρυβον καὶ τὴν ταραχήν, ποὺ ἐπροκάλεσαν οὗτοι, καὶ ὥρμησεν ὁ λαὸς μὲ μίαν γνώμην εἰς τὸ θέατρον, ἀφοῦ ἥρπασαν μαζὶ τὸν Γάϊον καὶ τὸν Ἀρίσταρχον, Μακεδόνας συνοδοιπόρους τοῦ Παύλου.

30 Ὅταν δὲ ὁ Παῦλος ἐξεδήλωσε τὴν θέλησιν νὰ εἰσέλθη εἰς τὴν συνέλευσιν τοῦ λαοῦ, δὲν τὸν ἄφιναν οἱ μαθηταί.

31 Μερικοὶ δὲ καὶ ἀπὸ τοὺς Ἀσιάρχας, ποὺ ἦσαν φίλοι τοῦ Παύλου, ἔστειλαν πρὸς αὐτὸν ἀνθρώπους καὶ τὸν παρεκάλουν νὰ μὴν ἐκθέση εἰς κίνδυνον τὸν ἑαυτόν του εἰσερχόμενος εἰς τὸ θέατρον.

32 Ἀφοῦ λοιπὸν ὁ Παῦλος δὲν μετέβη εἰς τὸ θέατρον, ἄλλοι ἐφώναζαν ἐκεῖ ἄλλο καὶ ἄλλοι ἄλλο· διότι ἡ συνέλευσις τοῦ λαοῦ εὑρίσκετο εἰς σύγχυσιν καὶ οἱ περισσότεροι δὲν ἤξευραν, διὰ ποῖον λόγον εἶχον μαζευθῆ.

33 Μερικοὶ δὲ ἀπὸ τὸν ὄχλον ἔβαλαν ἐμπρὸς κάποιον Ἀλέξανδρον, τὸν ὁποῖον οἱ Ἰουδαῖοι ἔσπρωχναν διὰ νὰ τὸν βγάλουν ἐμπρὸς ἀπὸ τὸ πλῆθος. Ὁ Ἀλέξανδρος δέ, ἀφοῦ ἔκαμε σημεῖον μὲ κίνησιν τῆς χειρός, ἤθελε νὰ ἀπολογηθῆ εἰς τὴν συνέλευσιν τοῦ λαοῦ ὑπὲρ τῶν Ἰουδαίων καὶ κατὰ τῶν Χριστιανῶν.

34 Ἀλλ᾽ ὅταν τὰ πλήθη ἀντελήφθησαν, ὅτι ὁ Ἀλέξανδρος ἦτο Ἰουδαῖος, ἔγινε μία φωνὴ ἀπὸ ὅλους, ποὺ ἐφώναζαν περίπου δύο ὥρας· Μεγάλη θεὰ εἶναι ἡ Ἄρτεμις τῶν Ἐφεσίων.

35 Ἀφοῦ δὲ ὁ γραμματεὺς τῆς Ἐφέσου, ποὺ ἦτο ἕνας ἀπὸ τοὺς ἄρχοντας αὐτῆς, καθησύχασε τὸ ἄτακτον πλῆθος, εἶπεν· Ἄνδρες Ἐφέσιοι, ἡσυχάσατε. Τίποτε δὲν δικαιολογεῖ τὴν ἀνησυχίαν σας. Διότι, ποῖος εἶναι ἐκεῖνος ὁ ἄνθρωπος, ποὺ δὲν γνωρίζει, ὅτι ἡ πόλις τῶν Ἐφεσίων εἶναι λάτρις καὶ φρουρὸς

[28]) 34. [29]) 32. ς΄ 12. κ΄ 4. κζ΄ 2. (Ῥμ. ις΄ 23. 1 Κρ. α΄ 15). Κλ. δ΄ 10. Φλμ. 24. [32]) 29. [33]) ιβ΄ 17. Μρ. ιε΄ 21. 1 Τμ. α΄ 20. 2 Τμ. δ΄ 14. [34]) 28.

ρον οὖσαν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος καὶ τοῦ Διοπετοῦς;

36 ἀναντιρρήτων οὖν ὄντων τούτων δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν καὶ μηδὲν προπετὲς πράσσειν.

37 ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους οὔτε ἱεροσύλους οὔτε βλασφημοῦντας τὴν θεὰν ὑμῶν.

38 εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ τεχνῖται ἔχουσι πρός τινα λόγον, ἀγοραῖοι ἄγονται καὶ ἀνθύπατοί εἰσιν, ἐγκαλείτωσαν ἀλλήλοις.

39 εἰ δέ τι περὶ ἑτέρων ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται.

40 καὶ γὰρ κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον, μηδενὸς αἰτίου ὑπάρχοντος περὶ οὗ δυνησόμεθα ἀποδοῦναι λόγον τῆς συστροφῆς ταύτης.

41 καὶ ταῦτα εἰπὼν ἀπέλυσε τὴν ἐκκλησίαν.

τῆς μεγάλης θεᾶς Ἀρτέμιδος καὶ τοῦ ἀγάλματός της, ποὺ μᾶς ἐρρίφθη ἀπὸ τὸν Δία καὶ δι᾽ αὐτὸ λέγεται Διοπετές;

36 Ἀφοῦ λοιπὸν καὶ ἡ ἀφοσίωσίς μας πρὸς τὴν θεὰν καὶ ἡ προέλευσις τοῦ ἀγάλματός της εἶναι βέβαια καὶ κανεὶς δὲν ἠμπορεῖ δι᾽ αὐτὰ νὰ φέρη ἀντίρρησιν, πρέπει σεῖς νὰ εἶσθε ἥσυχοι καὶ νὰ μὴ πράττετε τίποτε τὸ ἀπερίσκεπτον.

37 Σᾶς λέγω δὲ νὰ μὴ πράττετε τίποτε τὸ ἀπερίσκεπτον, διότι ἐφέρατε ἐδῶ τοὺς ἀνθρώπους αὐτούς, οἱ ὁποῖοι οὔτε ἔκλεψαν τίποτε ἀπὸ τὸ ἱερόν, οὔτε βλασφημοῦν τὴν θεάν σας.

38 Καὶ ἂν μὲν ὁ Δημήτριος καὶ οἱ τεχνῖται, ποὺ εἶναι μαζί του, ἔχουν νὰ εἴπουν λόγον κατηγορίας ἐναντίον κάποιου ἀνθρώπου, γίνονται τακτικὰ συνελεύσεις εἰς τὴν ἀγορὰν καὶ ὑπάρχουν ἀνθύπατοι. Ἂς καταγγελθοῦν μεταξύ των εἰς τὸ δικαστήριον.

39 Ἐὰν δὲ ζητῆτε καὶ κάτι περὶ ἄλλων ὑποθέσεων, ποὺ οὔτε ἀπὸ τὰς ἀγοραίας συνελεύσεις, οὔτε ἀπὸ τὸν ἀνθύπατον δύνανται νὰ δικασθοῦν, τοῦτο θὰ λυθῆ εἰς τὴν συνέλευσιν τοῦ λαοῦ, ποὺ συγκαλεῖται κατὰ τὸν νόμον εἰς ὡρισμένας ἡμέρας.

40 Σᾶς λέγω ταῦτα, διότι διατρέχομεν καὶ τὸν κίνδυνον νὰ κατηγορηθῶμεν ἐπὶ στάσει διὰ τὴν σημερινὴν συνέλευσιν, ἀφοῦ δὲν ὑπάρχει καμμία αἰτία, διὰ τὴν ὁποίαν θὰ ἠμπορέσωμεν νὰ δώσωμεν δικαιολογίαν διὰ τὴν θορυβώδη ταύτην συρροὴν καὶ διαδήλωσιν.

41 Καὶ ἀφοῦ εἶπε ταῦτα, διέλυσε τὴν συνάθροισιν τοῦ λαοῦ.

ΚΕΦΑΛΑΙΟΝ Κ΄.

Στίχ. 1-16. Ὁ Παῦλος εἰς Τρῳάδα. Ὁ Εὔτυχος σώζεται ὑπὸ τοῦ Παύλου. Ἄφιξις αὐτοῦ εἰς Μίλητον.

Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον προσκαλεσάμενος ὁ Παῦλος τοὺς μαθητὰς καὶ ἀσπασάμενος ἐξῆλθε πορευθῆναι εἰς Μακεδονίαν.

2 διελθὼν δὲ τὰ μέρη ἐκεῖνα καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ ἦλθεν εἰς τὴν Ἑλλάδα·

Ὅταν δὲ κατέπαυσεν ὁ θόρυβος καὶ ἀποκατεστάθη εἰς τὴν πόλιν ἡ ἡσυχία, προσεκάλεσεν ὁ Παῦλος τοὺς μαθητὰς καὶ ἀποχαιρετήσας αὐτοὺς ἀνεχώρησε διὰ νὰ ὑπάγη εἰς τὴν Μακεδονίαν.

2 Ἀφοῦ δὲ περιώδευσε τὰ μέρη ἐκεῖνα, τοὺς Φιλίππους δηλαδὴ καὶ τὴν Θεσσαλονίκην καὶ τὴν Βέροιαν, καὶ ἀφοῦ μὲ διδασκαλίαν καὶ λόγους πολλοὺς προέτρεψε καὶ ἐνίσχυσε τοὺς ἐκεῖ μαθητάς, ἦλθεν εἰς τὴν Ἑλλάδα.

Κ΄. [1]) ιθ΄ 21. (1 Τμ. α΄ 3). [2]) ιε΄ 41.

3 ποιήσας τε μῆνας τρεῖς, γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων μέλλοντι ἀνάγεσθαι εἰς τὴν Συρίαν, ἐγένετο γνώμη τοῦ ὑποστρέφειν διὰ Μακεδονίας.

3 Καὶ ἀφοῦ ἔμεινεν ἐκεῖ ἐπὶ μῆνας τρεῖς, ἐπειδὴ ἔγινε κατ' αὐτοῦ ἐπιβουλὴ τῶν Ἰουδαίων, οἱ ὁποῖοι ἐσχεδίαζαν νὰ τὸν φονεύσουν ὅταν ἔμελλε διὰ πλοίου νὰ ταξιδεύσῃ εἰς τὴν Συρίαν, ἀπεφασίσθη νὰ ἐπιστρέψῃ εἰς τὴν Μακεδονίαν διὰ ξηρᾶς καὶ διὰ μέσου Μακεδονίας νὰ μεταβῇ εἰς Ἀσίαν.

4 συνείπετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας Σώπατρος Βεροιαῖος, Θεσσαλονικέων δὲ Ἀρίσταρχος καὶ Σεκοῦνδος, καὶ Γάϊος Δερβαῖος καὶ Τιμόθεος, Ἀσιανοὶ δὲ Τυχικὸς καὶ Τρόφιμος.

4 Συνώδευον δὲ αὐτὸν ἀπὸ τὴν Μακεδονίαν μέχρι τῆς Ἀσίας ὁ Σώπατρος ἀπὸ τὴν Βέροιαν, ἀπὸ τοὺς Θεσσαλονικεῖς δὲ ὁ Ἀρίσταρχος καὶ ὁ Σεκοῦνδος, καὶ μαζὶ μὲ αὐτοὺς ὁ Γάϊος, ποὺ ἦτο ἐκ Δέρβης καὶ ὁ Τιμόθεος, ἐξ Ἀσίας δὲ ὁ Τυχικὸς καὶ ὁ Τρόφιμος.

5 οὗτοι προελθόντες ἔμενον ἡμᾶς ἐν Τρῳάδι·

5 Αὐτοὶ οἱ ἑπτὰ ἦλθαν διὰ θαλάσσης προτήτερα καὶ μᾶς ἐπερίμεναν εἰς τὴν Τρῳάδα.

6 ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων ἀπὸ Φιλίππων καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν Τρῳάδα ἄχρις ἡμερῶν πέντε, οὗ διετρίψαμεν ἡμέρας ἑπτά.

6 Ἡμεῖς δὲ ἀπεπλεύσαμεν ἀπὸ τοὺς Φιλίππους καὶ τὴν Νεάπολιν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων καὶ συνηντήσαμεν αὐτοὺς εἰς τὴν Τρῳάδα μετὰ πέντε ἡμέρας. Ἐμείναμεν δὲ ἐκεῖ ἑπτὰ ἡμέρας.

7 Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων συνηγμένων τῶν μαθητῶν κλάσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς, μέλλων ἐξιέναι τῇ ἐπαύριον, παρέτεινέ τε τὸν λόγον μέχρι μεσονυκτίου.

7 Κατὰ δὲ τὴν πρώτην ἡμέραν τῆς ἑβδομάδος, τὴν Κυριακὴν δηλαδή, ὅτε εἶχον συναχθῆ οἱ μαθηταὶ περὶ τὸ ἑσπέρας διὰ νὰ κόψουν καὶ κοινωνήσουν τὸν ἄρτον τῆς θείας Εὐχαριστίας, ὁ Παῦλος συνδιελέγετο καὶ ἐδίδασκεν αὐτούς, ἕτοιμος νὰ ἀναχωρήσῃ τὴν ἑπομένην. Καὶ παρέτεινε τὸν λόγον μέχρι τοῦ μεσονυκτίου.

8 ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ οὗ ἦμεν συνηγμένοι.

8 Ἦσαν δὲ ἀρκεταὶ λαμπάδες ἀναμμέναι εἰς τὸ ἐπάνω πάτωμα τῆς οἰκίας, εἰς τὸ ὁποῖον ἤμεθα συνηγμένοι.

9 καθήμενος δέ τις νεανίας ὀνόματι Εὔτυχος ἐπὶ τῆς θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ διαλεγομένου τοῦ Παύλου ἐπὶ πλεῖον, κατενεχθεὶς ἀπὸ τοῦ ὕπνου ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω καὶ ἤρθη νεκρός.

9 Ἐνῷ δὲ ἐκάθητο ἐπὶ τοῦ παραθύρου κάποιος νέος ὀνομαζόμενος Εὔτυχος, ἐφέρετο διαρκῶς τὸ σῶμα του πρὸς τὰ κάτω, διότι ἐνύσταζε πολὺ καὶ τὸν κατελάμβανε βαθὺς ὕπνος. Ἐπειδὴ δὲ ὁ Παῦλος ὡμίλει ἐπὶ μακρόν, καταβληθεὶς καὶ παραλύσας ὁ νέος οὗτος ἀπὸ τὸν ὕπνον ἔπεσεν ἀπὸ τὸ τρίτον πάτωμα κάτω καὶ τὸν ἐσήκωσαν νεκρόν.

10 καταβὰς δὲ ὁ Παῦλος ἐπέπεσεν αὐτῷ καὶ συμπεριλαβὼν εἶπε· μὴ θορυβεῖσθε· ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν.

10 Ἀλλ' ὁ Παῦλος κατέβη κάτω καὶ ἔπεσεν ἐπάνω του. Καὶ ἀφοῦ τὸν ἐπῆρεν εἰς τὰς ἀγκάλας του, εἶπε· Μὴν ἀνησυχῆτε καὶ μὴ κλαίετε. Διότι ἡ ψυχή του ἐπανῆλθε καὶ εἶναι μέσα του.

[3]) θ' 23. 24. [4]) ις' 1. ιζ' 10. ιθ' 29. κα' 29. Ῥμ. ις' 21. Ἐφ. ς' 21. Κλ. δ' 7. 2 Τμ. δ' 12. 20. Ττ. γ' 12. [5-6]) ις' 8. 10. [7]) β' 42. 46. Μτ. κη' 1. Λκ. κδ' 1. 1 Κρ. ις' 2. Ἀπ. α' 10. [8]) α' 13. [10]) 4 Βσ. δ' 34. Πρ. θ' 40.

11 ἀναβὰς δὲ καὶ κλάσας ἄρτον καὶ γευσάμενος, ἐφ' ἱκανόν τε ὁμιλήσας ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν.

11 Ἀφοῦ δὲ ἀνέβη καὶ ἔκοψε τὸν ἄρτον τῆς Εὐχαριστίας καὶ ἔφαγε, καὶ ὡμίλησεν ἀκόμη ἐπ' ἀρκετὸν μέχρι τῆς αὐγῆς, ἔτσι χωρὶς διόλου νὰ ἀναπαυθῇ καὶ ἐν συνεχείᾳ μὲ τὸν ὁλονύκτιον ἐκεῖνον κόπον ἀνεχώρησε.

12 ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως.

12 Ἔφεραν δὲ εἰς τὸ ὑπερῷον τὸν νέον ζωντανὸν καὶ ἐπαρηγορήθησαν ὅλοι μεγάλως.

13 Ἡμεῖς δὲ προελθόντες ἐπὶ τὸ πλοῖον ἀνήχθημεν εἰς τὴν Ἄσσον, ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν Παῦλον· οὕτω γὰρ ἦν διατεταγμένος, μέλλων αὐτὸς πεζεύειν.

13 Ἡμεῖς δὲ προτοῦ νὰ ἀναχωρήσῃ ὁ Παῦλος, ἤλθομεν εἰς τὸ πλοῖον καὶ ἀπεπλεύσαμεν διὰ τὴν Ἄσσον, ὅπου ἐπρόκειτο νὰ συναντηθῶμεν μὲ τὸν Παῦλον καὶ ἀπ' ἐκεῖ νὰ τὸν πάρωμεν μαζί μας εἰς τὸ πλοῖον. Καὶ ἐφύγαμεν ἡμεῖς προτήτερα, διότι ἔτσι εἶχε κανονίσει ὁ Παῦλος, ἐπειδὴ τὸ ἀπὸ Τρῳάδος εἰς Ἄσσον ταξίδιον ἐπρόκειτο νὰ τὸ κάμῃ αὐτὸς διὰ ξηρᾶς.

14 ὡς δὲ συνέβαλεν ἡμῖν εἰς τὴν Ἄσσον, ἀναλαβόντες αὐτὸν ἤλθομεν εἰς Μιτυλήνην·

14 Ὅταν δὲ μᾶς συνήντησεν εἰς τὴν Ἄσσον, τὸν ἐπήραμεν πάλιν εἰς τὸ πλοῖον καὶ ἤλθομεν εἰς Μυτιλήνην.

15 κἀκεῖθεν ἀποπλεύσαντες τῇ ἐπιούσῃ κατηντήσαμεν ἀντικρὺ Χίου, τῇ δὲ ἑτέρᾳ παρεβάλομεν εἰς Σάμον, καὶ μείναντες ἐν Τρωγυλίῳ τῇ ἐχομένῃ ἤλθομεν εἰς Μίλητον.

15 Καὶ ἀπ' ἐκεῖ ἀπεπλεύσαμεν τὴν ἑπομένην ἡμέραν καὶ ἐφθάσαμεν ἀπέναντι τῆς Χίου. Τὴν ἄλλην δὲ ἡμέραν ἐπλησιάσαμεν εἰς τὴν Σάμον καὶ ἀφοῦ ἐμείναμεν τὴν νύκτα εἰς τὸ ἀκρωτήριον Τρωγύλιον, τὴν ἑπομένην ἡμέραν ἤλθομεν εἰς Μίλητον.

16 ἔκρινε γὰρ ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ· ἔσπευδε γάρ, εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα.

16 Ἐπλεύσαμεν δὲ εἰς τὴν Μίλητον, διότι ἀπεφάσισεν ὁ Παῦλος νὰ παρακάμψῃ διὰ τοῦ πλοίου τὴν Ἔφεσον καὶ νὰ μὴ ἀποβιβασθῇ εἰς αὐτήν, διὰ νὰ μὴ τοῦ συμβῇ νὰ ἀργοπορήσῃ ἐν τῇ Ἀσίᾳ. Δὲν ἤθελε δὲ νὰ ἀργοπορήσῃ, διότι ἔσπευδεν, ἐὰν καθίστατο δυνατὸν εἰς αὐτόν, τὴν ἡμέραν τῆς Πεντηκοστῆς νὰ ἔλθῃ εἰς Ἱεροσόλυμα.

Στίχ. 17-38. Λόγος τοῦ Ἀποστόλου πρὸς τοὺς πρεσβυτέρους τῆς Ἐφέσου.

17 Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας.

17 Ἀπὸ τὴν Μίλητον δὲ ἔστειλεν ἀνθρώπους εἰς τὴν Ἔφεσον καὶ ἐκάλεσε τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας νὰ ἔλθουν εἰς συνάντησίν του.

18 ὡς δὲ παρεγένοντο πρὸς αὐτόν, εἶπεν αὐτοῖς· ὑμεῖς ἐπίστασθε, ἀπὸ πρώτης ἡμέρας ἀφ' ἧς ἐπέβην εἰς τὴν Ἀσίαν, πῶς μεθ' ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην,

18 Ὅταν δὲ ἦλθον πρὸς αὐτόν, τοὺς εἶπε· Σεῖς γνωρίζετε καλά, πῶς ἀπὸ τὴν πρώτην ἡμέραν, ποὺ ἐπάτησα εἰς τὴν Ἀσίαν, συμπεριεφέρθην μαζί σας καθ' ὅλον τὸν χρόνον τῆς παραμονῆς μου.

[15]) 2 Τμ. δ' 20. [16]) ιη' 21. [17]) ια' 30. [18-19]) 31. ιη' 19. ιθ' 10.

19 δουλεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης καὶ πολλῶν δακρύων καὶ πειρασμῶν τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων,

20 ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν καὶ διδάξαι ὑμᾶς δημοσίᾳ καὶ κατ' οἴκους,

21 διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησι τὴν εἰς τὸν Θεὸν μετάνοιαν καὶ πίστιν τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

22 καὶ νῦν ἰδοὺ ἐγὼ δεδεμένος τῷ πνεύματι πορεύομαι εἰς Ἱερουσαλήμ, τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ εἰδώς,

23 πλὴν ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον κατὰ πόλιν διαμαρτύρεται λέγον ὅτι δεσμά με καὶ θλίψεις μένουσιν.

24 ἀλλ' οὐδενὸς λόγον ποιοῦμαι οὐδὲ ἔχω τὴν ψυχήν μου τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ, διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ.

25 καὶ νῦν ἰδοὺ ἐγὼ οἶδα ὅτι οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς πάντες, ἐν οἷς διῆλθον κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ.

26 διὸ μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων·

27 οὐ γὰρ ὑπεστειλάμην τοῦ

19 Συμπεριεφέρθην ὡς πιστὸς δοῦλος τοῦ Κυρίου, τὸν ὁποῖον ἐδούλευον μὲ πᾶσαν ταπεινοφροσύνην καὶ μὲ πολλὰ δάκρυα, ποὺ ἔχυνα διὰ τοὺς ἁμαρτάνοντας καὶ ἀνθισταμένους εἰς τὸ εὐαγγέλιον, καὶ μὲ καρτερίαν ἐν μέσῳ τῶν πειρασμῶν, ποὺ μοῦ συνέβησαν ἀπὸ τὰς ἐπιβουλὰς τῶν Ἰουδαίων.

20 Γνωρίζετε, ὅτι προκειμένου δι' ἐκεῖνα, ποὺ σᾶς ὠφέλουν, δὲν ἠμποδίσθην διὰ κανὲν ἐξ αὐτῶν ἐκ δειλίας ἢ προσωποληψίας ἢ ἀποβλέπων εἰς ἄλλο τι, ὥστε νὰ μὴ σᾶς ἀναγγείλω τοῦτο καὶ νὰ μὴ σᾶς τὸ διδάξω καὶ εἰς κέντρα δημόσια καὶ ἰδιαιτέρως εἰς τοὺς οἴκους σας.

21 Καὶ σᾶς ἐδίδαξα μετὰ παρρησίας καὶ δυνάμεως μαρτυρῶν καὶ εἰς Ἰουδαίους καὶ εἰς Ἕλληνας τὴν ἀνάγκην τῆς μετανοίας ἔναντι τοῦ Θεοῦ, καὶ τὴν ἀνάγκην τῆς πίστεως εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, διὰ τοῦ ὁποίου συγχωροῦνται αἱ ἁμαρτίαι μας καὶ σωζόμεθα.

22 Καὶ τώρα ἰδοὺ ἐγὼ σπρώχνομαι δυνατὰ ἀπὸ τὸ πνεῦμα μου, ποὺ διατελεῖ ὑπὸ τὴν ἐπίδρασιν τοῦ Ἁγίου Πνεύματος. Σπρώχνομαι ὑπ' αὐτοῦ, σὰν νὰ εἶμαι δεμένος καὶ νὰ μὴ ἠμπορῶ νὰ ὑπάγω ἀλλοῦ, παρὰ ὅπου μὲ τραβᾷ ἐκεῖνο. Καὶ ὑπὸ τὴν ὤθησιν ταύτην πηγαίνω τώρα εἰς Ἱεροσόλυμα, χωρὶς νὰ ἠξεύρω, τί θὰ μοῦ συμβῇ ἐκεῖ.

23 Πλὴν ἕνα μόνον ἠξεύρω, ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον ἀπὸ πόλεως εἰς πόλιν μαρτυρεῖ ἐντόνως καὶ λέγει, ὅτι μὲ περιμένουν δεσμὰ καὶ θλίψεις.

24 Δὲν λογαριάζω ὅμως τίποτε ἀπὸ αὐτά, οὔτε θεωρῶ τὴν ζωήν μου πολύτιμον δι' ἐμέ, ὅσον θεωρῶ σπουδαῖον καὶ πολύτιμον τὸ νὰ τελειώσω μὲ ἀνάπαυσιν συνειδήσεως καὶ χαρὰν τὸν δρόμον τῆς ἀποστολῆς μου καὶ νὰ φέρω εἰς πέρας τὴν διακονίαν, ποὺ ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ καὶ ἡ ὁποία συνίσταται εἰς τὸ νὰ δίδω μαρτυρίαν περὶ τοῦ εὐαγγελίου, τὸ ὁποῖον γνωστοποιεῖ εἰς τοὺς ἀνθρώπους τὴν χάριν, τὴν ὁποίαν τοὺς ἔδωκεν ὁ Θεός.

25 Καὶ τώρα ἰδοὺ ἐγὼ προβλέπω ἀνθρωπίνως, ὅτι δὲν θὰ ἴδετε πλέον τὸ πρόσωπόν μου σεῖς ὅλοι, μεταξὺ τῶν ὁποίων περιώδευσα κηρύττων τὴν βασιλείαν τοῦ Θεοῦ.

26 Ἐπειδὴ δὲ δὲν πρόκειται νὰ ἰδωθῶμεν πάλιν, δι' αὐτὸ σᾶς βεβαιῶ ἐνώπιον τοῦ Θεοῦ κατὰ τὴν σημερινὴν ἡμέραν, ὅτι ἐγὼ εἶμαι ἀνεύθυνος δι' ὅλους σας, ἐὰν συμβῇ κανεὶς ἀπὸ σᾶς νὰ ἀπολεσθῇ.

27 Δὲν ἔχω δὲ εὐθύνην, διότι δὲν ἠμποδίσθην, ὥστε νὰ μὴ σᾶς

[20-21]) 27. ιθ' 8. κς' 20. Λκ. κδ' 47. Ῥμ. α' 16. [22]) ιθ' 21. [23]) θ' 16. κα' 4. 11. 33. [24]) κα' 13. Ῥμ. α' 1. η' 35. 36. Φλ. β' 17. Κλ. α' 24. 2 Τμ. δ' 6. 7. Ττ. α' 3. [25]) 38. Φλ. α' 25. β' 24. Φλμ. 22. [26]) ιη' 6. [27]) 20. 21. Ἐφ. α' 11.

μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ.

28 προσέχετε οὖν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Κυρίου καὶ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος.

29 ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς μὴ φειδόμενοι τοῦ ποιμνίου·

30 καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν.

31 διὸ γρηγορεῖτε, μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον.

32 καὶ τὰ νῦν παρατίθεμαι ὑμᾶς, ἀδελφοί, τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ τῷ δυναμένῳ ἐποικοδομῆσαι καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσιν.

33 ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα·

34 αὐτοὶ γινώσκετε ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται.

35 πάντα ὑπέδειξα ὑμῖν ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μνημονεύειν τε τῶν λόγων τοῦ Κυρίου Ἰη-

ἀναγγείλω ὅλον τὸ σχέδιον τοῦ Θεοῦ, ποὺ ἀποβλέπει εἰς τὴν διὰ τῆς Ἐκκλησίας σωτηρίαν τοῦ ἀνθρώπου.

28 Προσέχετε λοιπὸν εἰς τὸν ἑαυτόν σας, πῶς θὰ συμπεριφέρεσθε καὶ τί θὰ διδάσκετε. Προσέχετε καὶ εἰς ὅλον τὸ πνευματικόν σας ποίμνιον, ἐπὶ τοῦ ὁποίου τὸ Ἅγιον Πνεῦμα σᾶς ἐτοποθέτησεν ἐπισκόπους νὰ ποιμαίνετε τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, τὴν ὁποίαν ὁ Κύριος ἔσωσε καὶ κατέστησε κτῆμα του μὲ τὸ ἴδιόν του αἷμα.

29 Σᾶς λέγω δὲ νὰ προσέχετε, διότι ἐγὼ γνωρίζω τοῦτο, ὅτι μετὰ τὴν ἀναχώρησίν μου θὰ εἰσέλθουν μεταξύ σας ψευδοδιδάσκαλοι καὶ πλάνοι σὰν ἄλλοι λύκοι ἄγριοι καὶ σκληροί, ποὺ ἀλύπητα θὰ διαρπάζουν τὸ ποίμνιον βλάπτοντες καὶ ἀφανίζοντες τὰς ψυχὰς τῶν λογικῶν προβάτων.

30 Καὶ ἀπὸ σᾶς τοὺς ἰδίους θὰ ἀναφανοῦν ἄνθρωποι, οἱ ὁποῖοι θὰ διδάσκουν διδασκαλίας, αἱ ὁποῖαι θὰ διαστρέφουν τὴν ἀλήθειαν, διὰ νὰ ἀποσποῦν τοὺς μαθητὰς ἀπὸ τὸν εὐθὺν δρόμον τῆς ἀληθείας καὶ νὰ τοὺς παρασύρουν ἀπὸ πίσω των ὡς ὀπαδοὺς καὶ ἀκολούθους των.

31 Δι' αὐτὸ προσέχετε ἄγρυπνοι, ἔχοντες παράδειγμα ἐμὲ καὶ ἐνθυμούμενοι, ὅτι ἐπὶ τριετίαν συνεχῶς νύκτα καὶ ἡμέραν δὲν ἔπαυσα μὲ δάκρυα νὰ νουθετῶ ἕνα ἕκαστον.

32 Καὶ τώρα σᾶς ἐμπιστεύομαι, ἀδελφοί, εἰς τὸν Θεὸν καὶ εἰς τὸν λόγον, τὸν ὁποῖον ἡ χάρις του μᾶς ἀπεκάλυψε, καὶ ὁ ὁποῖος λόγος του θὰ σᾶς προφυλάξῃ ἀπὸ πᾶσαν πλάνην καὶ διαστροφήν. Σᾶς ἐμπιστεύομαι εἰς τὸν Θεόν, ὁ ὁποῖος δύναται νὰ συνεχίσῃ τὴν οἰκοδομήν σας καὶ νὰ σᾶς δώσῃ κληρονομίαν μεταξὺ ὅλων ἐκείνων, ποὺ προώδευσαν εἰς τὸν ἁγιασμόν, τὸν ὁποῖον ἔλαβον διὰ τοῦ Ἰησοῦ Χριστοῦ.

33 Ἀργύριον ἢ χρυσίον ἢ ρουχισμὸν τίποτε ἀπὸ αὐτὰ δὲν ἐπεθύμησα.

34 Σεῖς οἱ ἴδιοι γνωρίζετε, ὅτι εἰς τὰς ἀνάγκας μου καὶ εἰς τὰς ἀνάγκας ἐκείνων ποὺ ἦσαν μαζί μου, ὑπηρέτησαν τὰ ροζιασμένα αὐτὰ χέρια.

35 Μὲ κάθε τρόπον σᾶς ἔδωκα παράδειγμα, ὅτι ἔτσι ἐργαζόμενοι βαρειὰ πρέπει νὰ προλαμβάνετε κάθε σκανδαλισμὸν τῶν ἀσθενῶν ἀδελφῶν καὶ νὰ τοὺς βοηθῆτε, ὅπως γίνουν δυνατοὶ πνευματικῶς, ἀλλὰ καὶ νὰ ἐνθυμῆσθε τοὺς λόγους τοῦ Κυρίου Ἰησοῦ. Νὰ ἐνθυμῆσθε δηλαδή, ὅτι εἶπεν αὐτός: Εἶναι μακα-

[28]) Ψ. ογ' 2. Πρ. κ' 17. 31. Ἰν. ι' 11. 14. κα' 15 - 17. 1 Κρ. ς' 20. ζ' 23. Ἐφ. α' 14. δ' 11. Φλ. α' 1. 1 Τμ. γ' 1. 2. δ' 16. Ττ. β' 14. 1 Πτ. α' 18. 19. β' 9. ε' 2. [29]) Μτ. ζ' 15. Ἰν. ι' 12. 2 Πτ. β' 1. [30]) 1 Ἰν. β' 19. 1 Τμ. δ' 1. 2 Πτ. β' 2. 3. [31]) 18. 28. ιθ' 8. 10. 2 Κρ. β' 4. ια' 29. Ἑβ. ιγ' 17. [32]) Δτ. λγ' 3. Πρ. ιδ' 3. 23. κς' 18. Γλ. δ' 7. Ἐφ. α' 18. Κλ. α' 12. Ἰκ. α' 21. 1 Πτ. β' 9. [33]) 1 Βσ. ιβ' 3. Πρ. κ' 35. 1 Κρ. θ' 12 - 18. 2 Κρ. ζ' 2. ια' 7 - 10. ιβ' 14. 15. 2 Θσ. γ' 8. 9. Μτ. ι' 8. [34]) ιη' 3. [35]) 33. Ῥμ. ιδ' 1. ιε' 1. 1 Κρ. θ' 22. 1 Θσ. ε' 14. Λκ. ς' 20 - 38. ιδ' 14.

σοῦ, ὅτι αὐτὸς εἶπε· μακάριόν ἐστι μᾶλλον διδόναι ἢ λαμβάνειν.
36 καὶ ταῦτα εἰπών, θεὶς τὰ γόνατα αὐτοῦ σὺν πᾶσιν αὐτοῖς προσηύξατο.
37 ἱκανὸς δὲ ἐγένετο κλαυθμὸς πάντων, καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον τοῦ Παύλου κατεφίλουν αὐτόν,
38 ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λόγῳ ᾧ εἰρήκει, ὅτι οὐκέτι μέλλουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν. προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον.

ριώτερον τὸ νὰ δίδῃ κανεὶς παρὰ τὸ νὰ λαμβάνῃ, καὶ ὅταν ἀκόμη δικαιοῦται νὰ λάβῃ.
36 Καὶ ἀφοῦ εἶπε ταῦτα, ἐγονάτισε καὶ προσηυχήθη μαζὶ μὲ ὅλους αὐτούς.
37 Ἔγινε δὲ μεγάλος κλαυθμὸς ἀπὸ ὅλους καὶ ἀφοῦ ἔπεσαν ἐπὶ τοῦ τραχήλου τοῦ Παύλου, τὸν ἐφίλουν μὲ πολλὴν στοργήν.
38 Καὶ ἔγινεν ὁ θλιβερὸς αὐτὸς χωρισμός, διότι ἐλυποῦντο πρὸ παντὸς διὰ τὸν λόγον, ποὺ εἶχεν εἰπεῖ, ὅτι δὲν ἐπρόκειτο πλέον νὰ ἴδουν τὸ πρόσωπόν του. Τὸν ἠκολούθουν δὲ καὶ τὸν συνέβγαλαν μέχρι τοῦ πλοίου.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

Στίχ. 1-16. Ὁ Παῦλος εἰς Καισάρειαν τῆς Παλαιστίνης. Προφητεῖαι περὶ τοῦ Παύλου. Ἄφιξις εἰς Ἱερουσαλήμ.

Ὡς δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ' αὐτῶν, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶ, τῇ δὲ ἑξῆς εἰς τὴν Ῥόδον, κἀκεῖθεν εἰς Πάταρα.
2 καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην ἐπιβάντες ἀνήχθημεν.
3 ἀναφανέντες δὲ τὴν Κύπρον καὶ καταλιπόντες αὐτὴν εὐώνυμον ἐπλέομεν εἰς Συρίαν, καὶ κατήχθημεν εἰς Τύρον· ἐκεῖσε γὰρ ἦν τὸ πλοῖον ἀποφορτιζόμενον τὸν γόμον.
4 καὶ ἀνευρόντες τοὺς μαθητὰς ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά· οἵτινες τῷ Παύλῳ ἔλεγον διὰ τοῦ Πνεύματος μὴ ἀναβαίνειν εἰς Ἱεροσόλυμα.
5 ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόν-

Ὅτε δὲ ἀποσπασθέντες μὲ δυσκολίαν ἀπὸ αὐτοὺς συνέβη νὰ ἀποπλεύσωμεν, ἐπλεύσαμεν κατ' εὐθεῖαν καὶ ἤλθομεν εἰς τὴν νῆσον Κῶ, τὴν ἄλλην δὲ ἡμέραν εἰς τὴν Ρόδον, καὶ ἀπὸ ἐκεῖ εἰς Πάταρα.
2 Καὶ ἀφοῦ εὕρομεν ἐκεῖ πλοῖον, τὸ ὁποῖον ἐπρόκειτο νὰ διαπεράσῃ εἰς τὴν Φοινίκην, ἐπεβιβάσθημεν εἰς αὐτὸ καὶ ἀπεπλεύσαμεν.
3 Ἀφοῦ δὲ ἐπροχωρήσαμεν τόσον, ὥστε νὰ ἀναφανῇ ἡ Κύπρος καὶ ἀφήκαμεν αὐτὴν εἰς τὰ ἀριστερά μας, ἐπλέομεν πρὸς τὴν Συρίαν καὶ ἀράξαμεν εἰς τὴν Τύρον. Διότι ἐκεῖ ἐπρόκειτο νὰ ξεφορτώσῃ τὸ πλοῖον τὸ φορτίον τῶν ἐμπορευμάτων, ποὺ ἔφερε.
4 Καὶ ἀφοῦ ἀνεζητήσαμεν καὶ εὕρομεν τοὺς ἐκεῖ ἐγκατεστημένους Χριστιανούς, ἐμείναμεν αὐτόθι ἡμέρας ἑπτά. Καὶ οἱ Χριστιανοὶ οὗτοι τῆς Τύρου, ὁδηγούμενοι περὶ τῶν μελλόντων νὰ συμβοῦν εἰς τὸν Παῦλον ἀπὸ προφητείαν τοῦ Ἁγίου Πνεύματος, ἔλεγον εἰς αὐτὸν νὰ μὴ ἀνέλθῃ εἰς Ἱεροσόλυμα, διότι θὰ τὸν εὕρισκον ἐκεῖ μεγάλοι πειρασμοί.
5 Ὅταν δὲ συνέβη νὰ συμπληρώσωμεν τὰς ἑπτὰ ἡμέρας, ἀφοῦ ἐβγήκαμεν ἀπὸ τὴν οἰκίαν, ποὺ ἐφιλοξενούμεθα, ἐπηγαίναμεν

[36]) κα΄ 5. [37]) κα΄ 6. Λκ. ιε΄ 20. [38]) 25. κα΄ 5.
ΚΑ΄. [3]) κζ΄ 4. [4]) 11. 12. κ΄ 23. [5-6]) κ΄ 36. 38.

τες ἐπορευόμεθα προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις ἕως ἔξω τῆς πόλεως, καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν προσηυξάμεθα,
6 καὶ ἀσπασάμενοι ἀλλήλους ἐπέβημεν εἰς τὸ πλοῖον, ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια.
7 Ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες ἀπὸ Τύρου κατηντήσαμεν εἰς Πτολεμαΐδα, καὶ ἀσπασάμενοι τοὺς ἀδελφοὺς ἐμείναμεν ἡμέραν μίαν παρ' αὐτοῖς.
8 τῇ δὲ ἐπαύριον ἐξελθόντες ἤλθομεν εἰς Καισάρειαν, καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ, ὄντος ἐκ τῶν ἑπτά, ἐμείναμεν παρ' αὐτῷ.
9 τούτῳ δὲ ἦσαν θυγατέρες παρθένοι τέσσαρες προφητεύουσαι.
10 ἐπιμενόντων δὲ ἡμῶν ἡμέρας πλείους κατῆλθέ τις ἀπὸ τῆς Ἰουδαίας προφήτης ὀνόματι Ἄγαβος,
11 καὶ ἐλθὼν πρὸς ἡμᾶς καὶ ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας τε αὐτοῦ τοὺς πόδας καὶ τὰς χεῖρας εἶπε· τάδε λέγει τὸ Πνεῦμα τὸ Ἅγιον· τὸν ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν εἰς Ἱερουσαλὴμ οἱ Ἰουδαῖοι καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν.
12 ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἱερουσαλήμ.
13 ἀπεκρίθη τε ὁ Παῦλος· τί ποιεῖτε κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρ-

εἰς τὴν παραλίαν καὶ ἐκεῖνοι ὅλοι μὲ τὰς γυναῖκας καὶ τὰ τέκνα των μᾶς κατευώδωναν καὶ μᾶς συνώδευσαν ἕως ἔξω ἀπὸ τὴν πόλιν. Καὶ ἐκεῖ εἰς τὴν ἀκρογιαλιὰν ἐγονατίσαμεν καὶ προσηυχήθημεν.
6 Καὶ ἀφοῦ ἀπεχαιρετίσθημεν μεταξύ μας, ἐπεβιβάσθημεν εἰς τὸ πλοῖον, ἐκεῖνοι δὲ ἐπέστρεψαν εἰς τὰς κατοικίας των.
7 Ἡμεῖς δὲ ἀφοῦ ἐτελειώσαμεν τὸ θαλάσσιον ταξίδιον, ἐφθάσαμεν ἀπὸ τὴν Τύρον εἰς τὴν Πτολεμαΐδα καὶ ἀφοῦ ἠσπάσθημεν ἐκεῖ τοὺς ἀδελφούς, ἐμείναμεν πλησίον των μίαν ἡμέραν.
8 Τὴν ἄλλην δὲ ἡμέραν ἐφύγαμεν ἀπὸ τὴν Πτολεμαΐδα καὶ ἤλθομεν εἰς τὴν Καισάρειαν, καὶ ἀφοῦ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ εὐαγγελιστοῦ Φιλίππου, ὁ ὁποῖος ἦτο ἕνας ἀπὸ τοὺς ἑπτά, ποὺ εἶχαν χειροτονηθῆ βοηθοὶ τῶν Ἀποστόλων εἰς τὰς τραπέζας, ἐμείναμεν πλησίον του.
9 Εἶχε δὲ οὗτος τέσσαρας θυγατέρας παρθένους, αἱ ὁποῖαι ἐπροφήτευον.
10 Ἐνῷ δὲ ἡμεῖς ἐμείναμεν εἰς Καισάρειαν περισσοτέρας ἡμέρας, κατέβη ἀπὸ τὴν Ἰουδαίαν κάποιος προφήτης, ποὺ ἐλέγετο Ἄγαβος.
11 Καὶ ἀφοῦ ἦλθεν οὗτος πρὸς ἐπίσκεψίν μας, ἐπῆρε τὴν ζώνην τοῦ Παύλου καὶ ἔδεσε μὲ αὐτὴν τοὺς πόδας καὶ τὰς χεῖρας του καὶ εἶπεν· Αὐτὰ λέγει τὸ Ἅγιον Πνεῦμα: Τὸν ἄνδρα, εἰς τὸν ὁποῖον ἀνήκει ἡ ζώνη αὐτή, θὰ τὸν δέσουν εἰς Ἱερουσαλὴμ οἱ Ἰουδαῖοι ἔτσι, ὅπως εἶμαι τώρα δεμένος ἐγώ, καὶ θὰ τὸν παραδώσουν εἰς τὰς χεῖρας τῶν ἐθνικῶν Ρωμαίων.
12 Ὅταν δὲ ἠκούσαμεν αὐτά, παρεκαλοῦμεν μὲ δάκρυα καὶ ἡμεῖς καὶ οἱ ἐντόπιοι Καισαρεῖς τὸν Παῦλον νὰ μὴ ἀναβῇ εἰς Ἱερουσαλήμ.
13 Ἀπεκρίθη δὲ τότε ὁ Παῦλος· Διατί κλαίετε καὶ μὲ τὰ δάκρυά σας μοῦ συντρίβετε τὴν καρδίαν; Δὲν πρόκειται νὰ ἐπιτύχετε τίποτε μὲ τοὺς κλαυθμούς σας. Διότι ἐγὼ εἶμαι ἑτοι-

[7]) κη΄ 13. 14. [8]) ς΄ 5. η΄ 5. 26. 40. [9]) β΄ 17. [10-11]) ια΄ 28. κ΄ 23. Ἰν. κα΄ 18. 19. [12]) 4. Μτ. ις΄ 21. [13]) κ΄ 24.

δίαν; ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς Ἱερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ.

μος ὄχι μόνον νὰ δεθῶ, ἀλλὰ καὶ νὰ ἀποθάνω εἰς Ἱεροσόλυμα διὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

14 μὴ πειθομένου δὲ αὐτοῦ ἡσυχάσαμεν εἰπόντες· τὸ θέλημα τοῦ Κυρίου γινέσθω.

14 Ἐπειδὴ δὲ ὁ Παῦλος δὲν ἐπείθετο, ἐσιωπήσαμεν καὶ εἰρηνεύσαμεν εἰπόντες· Ἂς γίνῃ τὸ θέλημα τοῦ Κυρίου.

15 Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἐπισκευασάμενοι ἀνεβαίνομεν εἰς Ἱερουσαλήμ·

15 Ὕστερον δὲ ἀπὸ τὰς ἡμέρας αὐτάς, ἀφοῦ ἡτοιμάσαμεν τὰ ἀναγκαῖα διὰ τὸ ταξίδιόν μας, ἐξεκινήσαμε διὰ τὴν Ἱερουσαλήμ.

16 συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν, ἄγοντες παρ' ᾧ ξενισθῶμεν Μνάσωνί τινι Κυπρίῳ, ἀρχαίῳ μαθητῇ.

16 Ἦλθαν δὲ μαζί μας καὶ μερικοὶ ἀπὸ τοὺς Χριστιανοὺς τῆς Καισαρείας, οἱ ὁποῖοι, ὅταν ἐν τῷ μεταξὺ ἐσταθμεύσαμεν εἰς χωρίον τι, μᾶς ὡδήγησαν εἰς κάποιον Μνάσωνα, Κύπριον, παλαιὸν μαθητήν, διὰ νὰ φιλοξενηθῶμεν εἰς τὴν οἰκίαν του.

Στίχ. 17-40. Ἀναταραχὴ τῶν Ἰουδαίων καὶ σύλληψις τοῦ Παύλου.

17 Γενομένων δὲ ἡμῶν εἰς Ἱεροσόλυμα ἀσμένως ἐδέξαντο ἡμᾶς οἱ ἀδελφοί.

17 Ὅταν δὲ ἐφθάσαμεν εἰς Ἱεροσόλυμα, μᾶς ἐδέχθησαν οἱ ἀδελφοὶ μετὰ χαρᾶς.

18 τῇ δὲ ἐπιούσῃ εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον, πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι.

18 Τὴν ἄλλην δὲ ἡμέραν εἰσῆλθεν ὁ Παῦλος μαζὶ μὲ ἡμᾶς εἰς τὴν οἰκίαν τοῦ Ἰακώβου πρὸς συνάντησίν του καὶ ἦλθον ἐκεῖ καὶ ὅλοι οἱ πρεσβύτεροι.

19 καὶ ἀσπασάμενος αὐτοὺς ἐξηγεῖτο καθ' ἓν ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ.

19 Καὶ ἀφοῦ τοὺς ἠσπάσθη, ἐξέθεσε καὶ συγχρόνως ἐξήγησεν ἓν πρὸς ἓν ἐκεῖνα, τὰ ὁποῖα ἐποίησεν ὁ Θεὸς μεταξὺ τῶν ἐθνῶν διὰ τῆς ἀποστολικῆς του διακονίας καὶ δράσεως.

20 οἱ δὲ ἀκούσαντες ἐδόξαζον τὸν Κύριον, εἶπόν τε αὐτῷ· θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων, καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι.

20 Οὗτοι δέ, ὅταν ἤκουσαν τὴν ἔκθεσιν αὐτήν, ἐδόξαζον τὸν Κύριον δι' ὅσα εἶχον κατορθωθῆ, καὶ εἶπον πρὸς αὐτόν· Βλέπεις, ἀδελφέ, πόσον μεγάλος εἶναι ὁ ἀριθμὸς τῶν Ἰουδαίων, ποὺ ἔχουν πιστεύσει εἰς τὸν Κύριον. Καὶ ὅλοι αὐτοὶ μετὰ ζήλου ὑπερασπίζονται τὸ κῦρος τοῦ νόμου.

21 κατηχήθησαν δὲ περὶ σοῦ ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋσέως τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα μηδὲ τοῖς ἔθεσι περιπατεῖν.

21 Ἐπληροφορήθησαν δὲ καὶ ἐσχημάτισαν τὴν πεποίθησιν διὰ σέ, ὅτι διδάσκεις ὅλους τοὺς Ἰουδαίους, ποὺ εἶναι διεσπαρμένοι καὶ ἐγκατεστημένοι μεταξὺ τῶν ἐθνικῶν, νὰ ἀποστατήσουν ἀπὸ τὸν Μωσαϊκὸν νόμον, λέγων εἰς αὐτοὺς νὰ μὴ περιτέμνουν τὰ τέκνα των, οὔτε νὰ πολιτεύωνται σύμφωνα μὲ τὰ ἱερὰ ἔθιμα τῶν Ἰουδαίων.

[14]) ια΄ 18. Μτ. ς΄ 10. κς΄ 39. [17]) ιε΄ 4. Φλ. β΄ 29. [18]) ιβ΄ 17. ιε΄ 13. Γλ. α΄ 19. [19]) ιδ΄ 27. [20]) ιε΄ 1 - 5. [21]) 24. 28. ις΄ 3. ιη΄ 13. Ῥμ. ι΄ 4. 1 Κρ. ζ΄ 18.

22 τί οὖν ἐστι; πάντως δεῖ πλῆθος συνελθεῖν· ἀκούσονται γὰρ ὅτι ἐλήλυθας.

22 Τί πρέπει λοιπὸν νὰ γίνῃ τώρα; Ἐν πάσῃ περιπτώσει θὰ συναχθῇ πλῆθος Χριστιανῶν ἐξ Ἰουδαίων, διότι θὰ ἀκούσουν ὅτι ἦλθες. Καὶ τὸ πλῆθος αὐτὸ πρέπει νὰ τὸ ἱκανοποιήσῃς καὶ νὰ διασκεδάσῃς ἀπὸ αὐτὸ τὰς κακὰς αὐτὰς ὑπονοίας, ποὺ ἔχουν διὰ σέ.

23 τοῦτο οὖν ποίησον ὅ σοι λέγομεν· εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν·

23 Κάμε λοιπὸν αὐτό, ποὺ σοῦ λέγομεν. Ἔχομεν τέσσαρας ἄνδρας, ποὺ ἔχουν τάξιμον ἐπὶ τοῦ ἑαυτοῦ των καὶ διατηροῦν τὰς τρίχας τῆς κεφαλῆς των διὰ νὰ τὰς ἀφιερώσουν εἰς τὸ θυσιαστήριον καὶ ἐγκρατεύονται, ὅπως ὁρίζει ὁ νόμος περὶ ναζιραίων.

24 τούτους παραλαβὼν ἁγνίσθητι σὺν αὐτοῖς καὶ δαπάνησον ἐπ' αὐτοῖς ἵνα ξυρήσωνται τὴν κεφαλήν, καὶ γνῶσι πάντες ὅτι ὧν κατήχηνται περὶ σοῦ οὐδέν ἐστιν, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς τὸν νόμον φυλάσσων.

24 Ἀφοῦ παραλάβῃς μαζί σου τούτους, κάμε καὶ σὺ μαζὶ μὲ αὐτοὺς τοὺς ὡρισμένους ὑπὸ τοῦ νόμου ἁγνισμοὺς καὶ πλήρωσε δι' αὐτοὺς τὰς δαπάνας, ποὺ θὰ χρειασθοῦν διὰ τὰς θυσίας, αἱ ὁποῖαι πρέπει νὰ γίνουν, διὰ νὰ ξυρίσουν οἱ ἄνθρωποι αὐτοὶ τὰς κεφαλάς των. Κάμε αὐτό, καὶ θὰ μάθουν τότε ὅλοι, ὅτι ἐκεῖνα, ποὺ ἔχουν πληροφορηθῆ διὰ σέ, εἶναι ἀνυπόστατα, καὶ ὅτι καὶ σὺ βαδίζεις καὶ συμπεριφέρεσαι φυλάττων τὸν μωσαϊκὸν νόμον.

25 περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν κρίναντες μηδὲν τοιοῦτον τηρεῖν αὐτούς, εἰ μὴ φυλάσσεσθαι αὐτοὺς τό τε εἰδωλόθυτον καὶ τὸ αἷμα καὶ πνικτὸν καὶ πορνείαν.

25 Ὅσον δ' ἀφορᾷ τοὺς ἐθνικούς, ποὺ ἔχουν πιστεύσει, ἡμεῖς οἱ ἴδιοι ἐστείλαμεν ἐπιστολήν, ἀφοῦ ἐλάβομεν ἀπόφασιν νὰ μὴ φυλάττουν αὐτοὶ τίποτε ἀπὸ τὰς τυπικὰς αὐτὰς καὶ τελετουργικὰς διατάξεις τοῦ νόμου, ὅπως εἶναι καὶ αἱ περὶ ναζιραίων εὐχαί, παρὰ μόνον νὰ προφυλάσσωνται αὐτοὶ ἀπὸ τὸ εἰδωλόθυτον καὶ τὸ αἷμα καὶ τὸ πνικτὸν καὶ τὴν πορνείαν.

26 τότε ὁ Παῦλος παραλαβὼν τοὺς ἄνδρας τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσῄει εἰς τὸ ἱερόν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά.

26 Τότε ὁ Παῦλος, ἀφοῦ παρέλαβε τὴν ἑπομένην ἡμέραν τοὺς τέσσαρας ἄνδρας, εἰσῆλθεν εἰς τὸ ἱερὸν καὶ ὑπεβλήθη μαζὶ μὲ αὐτοὺς εἰς τοὺς διατεταγμένους ἁγνισμούς, καὶ ἔκαμεν εἰς πάντας τοὺς ἐν τῷ ναῷ τὴν συνηθισμένην διακήρυξιν περὶ τοῦ χρόνου, κατὰ τὸν ὁποῖον συνεπληροῦντο αἱ ἡμέραι τοῦ ἁγνισμοῦ καὶ καθαρισμοῦ, ἕως ὅτου προσεφέρθη ἡ καθωρισμένη θυσία δι' ἕνα ἕκαστον ἐξ αὐτῶν.

27 Ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ συνέχεον πάντα τὸν ὄχλον, καὶ ἐπέβαλον τὰς χεῖρας ἐπ' αὐτὸν

27 Ὅταν δὲ ἐπρόκειτο νὰ συμπληρωθοῦν αἱ ἑπτὰ ἡμέραι, ποὺ παρενέπιπτον ἀπὸ τὴν διακήρυξιν μέχρι τῆς τελικῆς εὐχῆς καὶ καθάρσεως, οἱ ἐκ τῆς Ἀσίας Ἰουδαῖοι ἰδόντες καὶ ἀναγνωρίσαντες τὸν Παῦλον ἐν τῷ ἱερῷ συνετάραξαν καὶ ἐξεσήκωσαν ὅλον τὸ πλῆθος καὶ ἔβαλον τὰς χεῖρας ἐπ' αὐτοῦ

28 κράζοντες· ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε· οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ

28 φωνάζοντες· Ἄνδρες Ἰσραηλῖται, βοηθᾶτε. Αὐτὸς εἶναι ὁ ἄνθρωπος, ποὺ διδάσκει ὅλους εἰς ὅλα τὰ μέρη ἐναντίον τοῦ Ἰσραηλιτικοῦ λαοῦ καὶ ἐναντίον τοῦ νόμου καὶ τοῦ τόπου αὐ-

[22]) Ῥμ. γ΄ 9. 1 Κρ. ιδ΄ 15. 26. [23-24]) ιη΄ 18. [25]) ιε΄ 20. 29. [26]) Ἀρ. ς΄ 9 - 20. Πρ. κδ΄ 18. 1 Κρ. θ΄ 20. [27-28]) Ἰζ. μδ΄ 7. Πρ. ς΄ 12. 13. ιη΄ 13. κδ΄ 5. 6.

τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχοῦ διδάσκων· ἔτι τε καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν καὶ κεκοίνωκε τὸν ἅγιον τόπον τοῦτον·

τοῦ τοῦ ἱεροῦ. Ἀκόμη δὲ καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν καὶ ἐμόλυνε τὸν ἅγιον τόπον τοῦτον.

29 ἦσαν γὰρ ἑωρακότες Τρόφιμον τὸν Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦλος.

29 Ἔλεγον δὲ τὸ τελευταῖον αὐτό, διότι εἶχον ἴδει προτήτερα μαζί του εἰς τὴν πόλιν τὸν Τρόφιμον τὸν Ἐφέσιον, περὶ τοῦ ὁποίου πεπλανημένως ἐνόμιζον, ὅτι τὸν εἰσήγαγεν ὁ Παῦλος εἰς τὸ ἱερόν.

30 ἐκινήθη τε ἡ πόλις ὅλη καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ, καὶ ἐπιλαβόμενοι τοῦ Παύλου εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ, καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι.

30 Καὶ ἐταράχθη ὅλη ἡ πόλις καὶ ἔγινε συρροὴ τοῦ λαοῦ, καί ἀφοῦ συνέλαβον τὸν Παῦλον, τὸν ἔσυραν ἔξω ἀπὸ τὸ ἱερόν, καὶ ἐκλείσθησαν ἀμέσως αἱ θύραι, διὰ νὰ μὴ ἔμβῃ πάλιν ὁ Παῦλος εἰς τὸ ἱερὸν καὶ βεβηλωθῇ ὁ ἱερὸς τόπος ἀπὸ τὸ αἷμα του.

31 ζητούντων δὲ αὐτὸν ἀποκτεῖναι ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς σπείρης ὅτι ὅλη συγκέχυται Ἱερουσαλήμ·

31 Ἐνῷ δὲ ἐκεῖνοι ἐζήτουν διὰ κτυπημάτων νὰ τὸν φονεύσουν, ἦλθε μήνυμα εἰς τὸν χιλίαρχον τοῦ ρωμαϊκοῦ τάγματος, ὅτι ὁλόκληρος ἡ Ἱερουσαλὴμ εὑρίσκεται ἐν συγχύσει καὶ ταραχῇ.

32 ὃς ἐξαυτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχους κατέδραμεν ἐπ᾿ αὐτούς. οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας ἐπαύσαντο τύπτοντες τὸν Παῦλον.

32 Τὴν ἰδίαν δὲ στιγμὴν αὐτός, ἀφοῦ παρέλαβε στρατιώτας καὶ ἑκατοντάρχους, ἔτρεξε κάτω πρὸς αὐτούς. Ὅταν δὲ αὐτοὶ εἶδον τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας, ἔπαυσαν νὰ κτυποῦν τὸν Παῦλον.

33 ἐγγίσας δὲ ὁ χιλίαρχος ἐπελάβετο αὐτοῦ καὶ ἐκέλευσε δεθῆναι ἁλύσεσι δυσί, καὶ ἐπυνθάνετο τίς ἂν εἴη καὶ τί ἐστι πεποιηκώς.

33 Τότε, ἀφοῦ ἐπλησίασεν ὁ χιλίαρχος, τὸν συνέλαβε καὶ διέταξε νὰ δεθοῦν αἱ χεῖρες του μὲ δύο ἁλύσεις, ὥστε τὸ ἕνα χέρι του νὰ εἶναι δεμένο μὲ τὸ χέρι ἑνὸς στρατιώτου καὶ τὸ ἄλλο χέρι μὲ τὸ χέρι ἄλλου στρατιώτου. Καὶ ἀφοῦ ἁλυσοδέθη ὁ Παῦλος, ἠρώτα ὁ χιλίαρχος τὸ πλῆθος, ποῖος νὰ ἦτο αὐτὸς καὶ τί εἶχε πράξει;

34 ἄλλοι δὲ ἄλλο τι ἐβόων ἐν τῷ ὄχλῳ· μὴ δυνάμενος δὲ γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν θόρυβον, ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν.

34 Ἄλλοι δὲ ἄλλα ἐφώναζαν μέσα εἰς τὸ πλῆθος. Ἐπειδὴ δὲ ὁ χιλίαρχος δὲν ἠδύνατο ἕνεκα τοῦ θορύβου νὰ μάθῃ βέβαιόν τι, διέταξε νὰ ὁδηγηθῇ οὗτος εἰς τὸ μόνιμον στρατόπεδον τοῦ φρουρίου.

35 ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμούς, συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν βίαν τοῦ ὄχλου·

35 Ὅταν δὲ ἦλθε εἰς τὰ σκαλοπάτια, ποὺ ὡδήγουν εἰς τὸ φρούριον, ἐξ αἰτίας τοῦ στριμώγματος τοῦ ὄχλου, ποὺ ὥρμησε κατὰ τοῦ Παύλου, ἠναγκάσθησαν οἱ στρατιῶται νὰ τὸν σηκώσουν εἰς τὰ χέρια των καὶ συνέβη οὕτω νὰ βαστάζεται ὁ Παῦλος ἀπὸ τοὺς στρατιώτας.

29) κ΄ 4. 30) ιθ΄ 29. κς΄ 21. 31-32) κγ΄ 27. κδ΄ 7. 33) 11. κβ΄ 29. 34) 37. κβ΄ 23. 24. κγ΄ 10. 35) 40.

36 ἠκολούθει γὰρ τὸ πλῆθος τοῦ λαοῦ κρᾶζον· αἶρε αὐτόν.

36 Καὶ ἔγινεν αὐτό, διότι ἠκολούθει τὸ πλῆθος τοῦ λαοῦ καὶ ἐφώναζεν: Ἀφάνισέ τον ἀπὸ τὴν γῆν.

37 Μέλλων τε εἰσάγεσθαι εἰς τὴν παρεμβολὴν ὁ Παῦλος λέγει τῷ χιλιάρχῳ· εἰ ἔξεστί μοι εἰπεῖν τι πρὸς σέ; ὁ δὲ ἔφη· Ἑλληνιστὶ γινώσκεις;

37 Καὶ ὅταν ὁ Παῦλος ἔμελλε νὰ εἰσαχθῇ εἰς τὸ στρατόπεδον, λέγει εἰς τὸν χιλίαρχον ἑλληνιστί· Μοῦ ἐπιτρέπεται νὰ σοῦ εἴπω κάτι; Ὁ χιλίαρχος δὲ εἶπε τότε· Γνωρίζεις λοιπὸν νὰ ὁμιλῇς εἰς τὴν ἑλληνικὴν γλῶσσαν;

38 οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων;

38 Περίεργον! Δὲν εἶσαι σὺ ὁ Αἰγύπτιος, ποὺ δὲν ἤξευρεν ἑλληνικά, καὶ ὁ ὁποῖος πρὸ τῶν ἡμερῶν αὐτῶν ἐξεσήκωσε καὶ ἔβγαλεν εἰς τὴν ἔρημον τοὺς τέσσαρας χιλιάδας ἄνδρας, ποὺ ἦσαν ὡπλισμένοι μὲ δολοφονικὰ ξιφίδια;

39 εἶπε δὲ ὁ Παῦλος· ἐγὼ ἄνθρωπος μέν εἰμι Ἰουδαῖος Ταρσεύς, τῆς Κιλικίας οὐκ ἀσήμου πόλεως πολίτης· δέομαι δέ σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν.

39 Εἶπε δὲ ὁ Παῦλος· Ἐγὼ εἶμαι ἄνθρωπος Ἰουδαῖος, ἀπὸ τὴν Ταρσόν, πολίτης πόλεως τῆς Κιλικίας, ὄχι ἀσήμου ἀλλὰ ἐξακουστῆς. Σὲ παρακαλῶ, δός μου τὴν ἄδειαν νὰ ὁμιλήσω πρὸς τὸν λαόν.

40 ἐπιτρέψαντος δὲ αὐτοῦ ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν κατέσεισε τῇ χειρὶ τῷ λαῷ· πολλῆς δὲ σιγῆς γενομένης προσεφώνησε τῇ Ἑβραΐδι διαλέκτῳ λέγων·

40 Ἀφοῦ δὲ ἔδωκεν ὁ χιλίαρχος τὴν ἄδειαν, ὁ Παῦλος ἐστάθη εἰς τὰ σκαλοπάτια καὶ ἔκαμε σημεῖον διὰ τῆς χειρὸς πρὸς τὸν λαόν. Καὶ ὅταν ἔγινε πολλὴ σιωπὴ καὶ ἡσυχία, ὡμίλησε πρὸς αὐτοὺς εἰς τὴν ἑβραϊκὴν γλῶσσαν καὶ εἶπεν·

ΚΕΦΑΛΑΙΟΝ ΚΒ΄.

Στίχ. 1-21. Λόγος τοῦ Παύλου πρὸς τοὺς Ἰουδαίους τῶν Ἱεροσολύμων.

Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νυνὶ ἀπολογίας.

Ἄνδρες ἀδελφοὶ καὶ πατέρες — καὶ πατέρας προσφωνῶ τοὺς ἀρχιερεῖς καὶ πρεσβυτέρους — ἀκούσατε τὴν ἀπολογίαν μου, τὴν ὁποίαν ἀπευθύνω κατὰ τὴν στιγμὴν ταύτην πρὸς σᾶς.

2 ἀκούσαντες δὲ ὅτι τῇ Ἑβραΐδι διαλέκτῳ προσεφώνει αὐτοῖς, μᾶλλον παρέσχον ἡσυχίαν.

2 Ὅταν δὲ ἤκουσαν, ὅτι ὡμίλει πρὸς αὐτοὺς εἰς τὴν ἑβραϊκὴν γλῶσσαν, ἐκολακεύθησαν καὶ ἔκαμαν περισσοτέραν ἡσυχίαν.

3 καί φησιν· ἐγὼ μέν εἰμι ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνατεθραμμένος δὲ ἐν τῇ πό-

3 Καὶ τότε εἶπεν ὁ Παῦλος· Ἐγὼ εἶμαι Ἰουδαῖος, ὁ ὁποῖος ἔχω γεννηθῆ μὲν ἐν Ταρσῷ τῆς Κιλικίας, ἔχω ὅμως ἐκπαιδευθῆ εἰς τὴν πόλιν ταύτην τῶν Ἱεροσολύμων ὡς μαθητής, ποὺ ἐκαθήμην κοντὰ εἰς τὰ πόδια τοῦ Γαμαλιὴλ καὶ ἤκουα τὴν διδασκα-

36) κβ΄ 22. Λκ. κγ΄ 18. 38) ε΄ 36. 37. 39) θ΄ 11. 40) 35. ιβ΄ 17. κβ΄ 2. κς΄ 14.
ΚΒ΄. 1) ζ΄ 2. 2) κα΄ 40. 3-5) ε΄ 34. η΄ 3. θ΄ 1. 2. 11. κδ΄ 14. κς΄ 4. 5. 9 - 11. κη΄ 17.

λει ταύτη παρὰ τοὺς πόδας Γαμαλιήλ, πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπάρχων τοῦ Θεοῦ καθὼς πάντες ὑμεῖς ἐστε σήμερον·

4 ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα ἄχρι θανάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυλακὰς ἄνδρας τε καὶ γυναῖκας,

5 ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι καὶ πᾶν τὸ πρεσβυτέριον· παρ᾽ ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς ἀδελφοὺς εἰς Δαμασκὸν ἐπορευόμην ἄξων καὶ τοὺς ἐκεῖσε ὄντας δεδεμένους εἰς Ἱερουσαλὴμ ἵνα τιμωρηθῶσιν.

6 Ἐγένετο δέ μοι πορευομένῳ καὶ ἐγγίζοντι τῇ Δαμασκῷ περὶ μεσημβρίαν ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ,

7 ἔπεσόν τε εἰς τὸ ἔδαφος καὶ ἤκουσα φωνῆς λεγούσης μοι· Σαοὺλ Σαούλ, τί με διώκεις;

8 ἐγὼ δὲ ἀπεκρίθην· τίς εἶ, Κύριε; εἶπέ τε πρός με· ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος ὃν σὺ διώκεις.

9 οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο καὶ ἔμφοβοι ἐγένοντο, τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι.

10 εἶπον δέ· τί ποιήσω, Κύριε; ὁ δὲ Κύριος εἶπε πρός με· ἀναστὰς πορεύου εἰς Δαμασκόν, κἀκεῖ σοι λαληθήσεται περὶ πάντων ὧν τέτακταί σοι ποιῆσαι.

λίαν του. Καὶ εἶμαι συνεπῶς διδαγμένος σύμφωνα πρὸς τὴν ἀκριβῆ διδασκαλίαν καὶ ἐξήγησιν τοῦ νόμου τῶν πατέρων μας, εἶχα δὲ καὶ ζῆλον διὰ τὴν δόξαν τοῦ Θεοῦ, καθὼς ὅλοι σεῖς εἶσθε σήμερον ζηλωταί.

4 Ἀπέδειξα δέ, ὅτι εἶχα ζῆλον διὰ τὸν Θεὸν καὶ τὸν νόμον. Πράγματι· ἐγὼ εἶμαι, ποὺ κατεδίωξα τὴν πίστιν καὶ τὸν δρόμον αὐτὸν τῆς χριστιανικῆς ζωῆς μέχρι θανάτου, καὶ ἔδενα μὲ ἁλύσεις τοὺς ὀπαδούς της καὶ παρέδιδα εἰς φυλακὰς ἄνδρας καὶ γυναῖκας,

5 καθὼς μαρτυροῦν δι᾽ ὅσα λέγω καὶ ὁ ἀρχιερεὺς καὶ ὅλον τὸ συνέδριον τῶν Ἰουδαίων. Αὐτοὶ μαρτυροῦν, ὅτι ἀφοῦ ἔλαβον ἀπὸ αὐτοὺς καὶ συστατικὰς ἐπιστολὰς πρὸς τοὺς ἀδελφοὺς Ἰουδαίους τῆς Δαμασκοῦ, ἐπήγαινα μὲ τὸν σκοπὸν νὰ φέρω καὶ τοὺς ἐκεῖ εὑρισκομένους Χριστιανοὺς δεμένους εἰς Ἱερουσαλὴμ διὰ νὰ τιμωρηθοῦν.

6 Ἐνῷ δὲ ἐπήγαινα καὶ ἐπλησίαζα εἰς τὴν Δαμασκόν, κατὰ τὸ μεσημέρι, ἔξαφνα καὶ χωρὶς νὰ τὸ περιμένω, μοῦ συνέβη νὰ ἀστράψῃ γύρω μου φῶς πολὺ ἀπὸ τὸν οὐρανόν.

7 Καὶ ἀπὸ τὴν λάμψιν ἔπεσα χάμω εἰς τὸ ἔδαφος καὶ ἤκουσα φωνήν, ποὺ μοῦ ἔλεγε· Σαούλ, Σαούλ, διατί μὲ καταδιώκεις;

8 Ἐγὼ δὲ ἀπεκρίθην· Ποῖος εἶσαι, Κύριε; Καὶ μοῦ εἶπεν· Ἐγὼ εἶμαι Ἰησοῦς ὁ Ναζωραῖος, τὸν ὁποῖον σὺ καταδιώκεις ἐν τῷ προσώπῳ τῶν ὀπαδῶν μου.

9 Αὐτοὶ δὲ ποὺ ἦσαν μαζί μου, εἶδαν μὲν τὸ φῶς, χωρὶς νὰ διακρίνουν τὸ πρόσωπον ποὺ ὡμίλει, καὶ κατελήφθησαν ἀπὸ φόβον, τὴν φωνὴν ὅμως ἐκείνου, ποὺ ὡμίλει, δὲν τὴν ἤκουσαν, ἀλλὰ μόνον μία βοὴ ἠκούσθη ἀπὸ αὐτούς, ἀπὸ τὴν ὁποίαν δὲν ἠμπόρεσαν νὰ ξεχωρίσουν τὰς λέξεις.

10 Ἐγὼ δὲ εἶπον τότε· Τί νὰ κάμω, Κύριε; Ὁ δὲ Κύριος μοῦ εἶπε· Σήκω καὶ πήγαινε εἰς τὴν Δαμασκὸν καὶ ἐκεῖ θὰ σοῦ δοθοῦν ὁδηγίαι δι᾽ ὅλα, ὅσα ἔχουν ὁρισθῆ διὰ σὲ ἀπὸ τὸν Θεὸν καὶ τὰ ὁποῖα πρέπει νὰ κάμῃς.

6-11) θ΄ 3 - 8. κς΄ 12 - 15.

11 ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι ἦλθον εἰς Δαμασκόν.

12 Ἀνανίας δέ τις, ἀνὴρ εὐσεβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν κατοικούντων ἐν Δαμασκῷ Ἰουδαίων,

13 ἐλθὼν πρός με καὶ ἐπιστὰς εἶπέ μοι· Σαοὺλ ἀδελφέ, ἀνάβλεψον. κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν.

14 ὁ δὲ εἶπεν· ὁ Θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα αὐτοῦ καὶ ἰδεῖν τὸν δίκαιον καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ,

15 ὅτι ἔσῃ μάρτυς αὐτῷ πρὸς πάντας ἀνθρώπους ὧν ἑώρακας καὶ ἤκουσας.

16 καὶ νῦν τί μέλλεις; ἀναστὰς βάπτισαι καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ Κυρίου.

17 Ἐγένετο δέ μοι ὑποστρέψαντι εἰς Ἱερουσαλὴμ καὶ προσευχομένου μου ἐν τῷ ἱερῷ γενέσθαι με ἐν ἐκστάσει καὶ ἰδεῖν αὐτὸν λέγοντά μοι·

18 σπεῦσον καὶ ἔξελθε ἐν τάχει ἐξ Ἱερουσαλήμ, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ.

19 κἀγὼ εἶπον· Κύριε, αὐτοὶ ἐπίστανται ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ·

11 Ἐφ᾽ ὅσον δὲ δὲν ἠμποροῦσα νὰ ἴδω ἕνεκα τῆς ἀμαυρώσεως, ποὺ ἔπαθα ἀπὸ τὴν λάμψιν τοῦ φωτὸς ἐκείνου, ἦλθον εἰς τὴν Δαμασκὸν ὁδηγούμενος μὲ τὸ χέρι ἀπὸ ἐκείνους, ποὺ ἦσαν μαζί μου.

12 Κάποιος Ἀνανίας δέ, ἄνθρωπος, ποὺ σύμφωνα μὲ τὸν νόμον ἦτο εὐλαβὴς καὶ ἐμαρτυρεῖτο ὡς τοιοῦτος ἀπὸ ὅλους τοὺς κατοικοῦντας εἰς τὴν Δαμασκὸν Ἰουδαίους,

13 ἦλθε πρὸς ἐμὲ καὶ ἐστάθη πλησίον μου καὶ εἶπε· Σαούλ, ἀδελφέ, κύτταξε ἐπάνω πρὸς ἐμέ. Καὶ ἐγὼ κατὰ τὴν ἰδίαν στιγμὴν μὲ ὑγιεῖς πλέον ὀφθαλμοὺς τὸν ἐκύτταξα.

14 Αὐτὸς δὲ εἶπεν· Ὁ Θεὸς τῶν πατέρων μας σὲ ἐξέλεξε καὶ σὲ προώρισε νὰ γνωρίσῃς τὸ θέλημά του καὶ σὲ ἠξίωσε νὰ ἴδῃς ἐμφανιζόμενον εἰς σὲ τὸν δίκαιον Ἰησοῦν καὶ νὰ ἀκούσῃς φωνὴν ἀπὸ τὸ στόμα του.

15 Σὲ ἠξίωσε δὲ νὰ ἴδῃς καὶ νὰ ἀκούσῃς τὸν Ἰησοῦν, διότι θὰ εἶσαι μάρτυς αὐτοῦ πρὸς ὅλους τοὺς ἀνθρώπους, μάρτυς ἐκείνων, τὰ ὁποῖα εἶδες καὶ ἤκουσες.

16 Καὶ τώρα διατί βραδύνεις; Σήκω καὶ βαπτίσου καὶ λοῦσου ἀπὸ τὰς ἁμαρτίας σου. Θὰ λουσθῇς δὲ καὶ θὰ καθαρισθῇς ἀπὸ τὰς ἁμαρτίας σου, ὅταν μαζὶ μὲ τὸ βάπτισμα ἐπικαλεσθῇς ὡς Μεσσίαν καὶ Κύριον αὐτόν, ποὺ εἶδες καὶ ἤκουσες.

17 Ὅταν δὲ κατόπιν ἐπέστρεψα εἰς Ἱερουσαλὴμ καὶ εἰς ὥραν, ποὺ προσηυχόμην εἰς τὸ ἱερόν, μοῦ συνέβη νὰ περιέλθω εἰς ἔκστασιν, εἰς κατάστασιν δηλαδή, ποὺ αἱ αἰσθήσεις τοῦ σώματός μου ἔπαυσαν νὰ ἐνεργοῦν καὶ ἀπεξενώθην ἀπὸ τὸν ὑλικὸν κόσμον, ὁ νοῦς μου ὅμως καὶ ἡ ψυχή μου ἔβλεπον καὶ ἀντελαμβάνοντο καὶ ἦσαν ἐκτάκτως διαυγεῖς. Εἰς τὴν κατάστασιν αὐτήν, τὸν εἶδον νὰ μοῦ λέγῃ·

18 Σπεῦσε καὶ φύγε γρήγορα ἀπὸ τὴν Ἱερουσαλήμ, διότι δὲν θὰ παραδεχθοῦν τὴν μαρτυρίαν, ποὺ θὰ δίδῃς δι᾽ ἐμέ.

19 Καὶ ἐγὼ εἶπα· Κύριε, γνωρίζουν καλὰ αὐτοὶ οἱ ἴδιοι, ὅτι ἐγὼ ἐπὶ καιρὸν πολὺν ἐφυλάκιζα καὶ ἔδερνα ἀπὸ τὴν μίαν συναγωγὴν εἰς τὴν ἄλλην ἐκείνους, ποὺ ἐπίστευον εἰς σέ.

11-15) θ΄ 10 - 18. κς΄ 16. 1 Ἰν. β΄ 1. 16) β΄ 21. 38. 1 Κρ. ς΄ 11. 17-18) θ΄ 26. ι΄ 10. 19-21) 4. ζ΄ 58. η΄ 1. ιγ΄ 2. ιη΄ 6. Ῥμ. ιε΄ 19

20 καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ καὶ φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν.

20 Καὶ ὅταν ἐχύνετο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ ἐγὼ ὁ ἴδιος ἤμην τότε παρὼν καὶ εὐχαριστούμην διὰ τὸν φόνον του καὶ ἐπεδοκίμαζα αὐτὸν καὶ ἐφύλαττον τὰ ἐνδύματα ἐκείνων, ποὺ τὸν ἐφόνευαν.

21 καὶ εἶπε πρός με· πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε.

21 Καὶ μοῦ εἶπεν εἰς ἀπάντησιν ὁ Κύριος· Πήγαινε, διότι ἐγὼ θὰ σὲ στείλω εἰς ἔθνη μακράν.

Στίχ. 22-30. Ὁ Παῦλος δέσμιος ἐν τῷ φρουρίῳ. Συνδιάλεξις μετὰ τοῦ χιλιάρχου.

22 Ἤκουον δὲ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου, καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν λέγοντες· αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον· οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν.

22 Τὸν ἤκουον δὲ οἱ Ἰουδαῖοι ἕως τὸ σημεῖον αὐτὸ τοῦ λόγου. Δὲν ἠμποροῦσαν ὅμως νὰ ἀκούσουν ὅτι τὰ ἔθνη θὰ ἀπελάμβανον τὰ προνόμια τῶν Ἰσραηλιτῶν. Δι' αὐτό, ὅταν εἶπεν ὁ Παῦλος τὴν φράσιν θὰ σὲ στείλω εἰς ἔθνη μακράν, ἐσήκωσαν τὴν φωνήν τους λέγοντες· Ἕνα τέτοιο ὑποκείμενον σήκωσέ το καὶ ἀφάνισέ το ἀπὸ τὴν γῆν, διότι αὐτὸς δὲν θὰ ἔπρεπε νὰ ζῇ.

23 κραυγαζόντων δὲ αὐτῶν καὶ ῥιπτόντων τὰ ἱμάτια καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα,

23 Ἐπειδὴ δὲ αὐτοὶ ἐφώναζαν δυνατὰ καὶ ἔρριπταν ἐπάνω τὰ ροῦχα των καὶ ἐπετοῦσαν σκόνην εἰς τὸν ἀέρα,

24 ἐκέλευσεν αὐτὸν ὁ χιλίαρχος ἄγεσθαι εἰς τὴν παρεμβολήν, εἰπὼν μάστιξιν ἀνετάζεσθαι αὐτόν, ἵνα ἐπιγνῷ δι' ἣν αἰτίαν οὕτως ἐπεφώνουν αὐτῷ.

24 διέταξεν ὁ χιλίαρχος νὰ ὁδηγηθῇ ὁ Παῦλος εἰς τὸ στρατόπεδον. Καὶ συγχρόνως εἶπε νὰ τὸν ἀνακρίνουν χρησιμοποιοῦντες καὶ μαστίγωσιν κατὰ τὴν ἀνάκρισιν, ὥστε νὰ ἀναγκασθῇ οὗτος νὰ προβῇ εἰς ὁμολογίας, ἀπὸ τὰς ὁποίας θὰ ἐμάνθανεν ὁ χιλίαρχος τὴν αἰτίαν, διὰ τὴν ὁποίαν οἱ Ἰουδαῖοι ἐφώναζαν ἔτσι ἐναντίον του.

25 ὡς δὲ προέτειναν αὐτὸν τοῖς ἱμᾶσιν, εἶπε πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον ὁ Παῦλος· εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν;

25 Ὅταν ὅμως τὸν ἔδεσαν μὲ δερμάτινα λουριὰ καὶ τὸν ἐτέντωναν γυμνὸν ἐπὶ τῆς σανίδος διὰ νὰ τὸν δείρουν, εἶπεν ὁ Παῦλος πρὸς τὸν ἑκατόνταρχον, ποὺ ἐστέκετο ἐκεῖ· Σᾶς ἐπιτρέπεται ἄραγε νὰ μαστιγώνετε ἄνθρωπον πολίτην Ρωμαῖον καὶ μάλιστα χωρὶς οὗτος νὰ ὑποβληθῇ προηγουμένως εἰς δίκην καὶ νὰ κριθῇ;

26 ἀκούσας δὲ ὁ ἑκατόνταρχος προσελθὼν ἀπήγγειλε τῷ χιλιάρχῳ λέγων· ὅρα τί μέλλεις ποιεῖν· ὁ γὰρ ἄνθρωπος οὗτος Ῥωμαῖός ἐστι.

26 Ὅταν δὲ ὁ ἑκατόνταρχος ἤκουσε τοῦτο, ἐπλησίασε καὶ ἀνέφερεν εἰς τὸν χιλίαρχον λέγων· Πρόσεξε, τί πρόκειται νὰ κάμῃς· διότι ὁ ἄνθρωπος αὐτὸς εἶναι Ρωμαῖος πολίτης.

27 προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ· λέγε μοι εἰ σὺ Ῥωμαῖος εἶ. ὁ δὲ ἔφη· ναί.

27 Πλησιάσας δὲ τότε ὁ χιλίαρχος εἶπε εἰς τὸν Παῦλον· Λέγε μου, ἐὰν πράγματι σὺ εἶσαι Ρωμαῖος πολίτης. Ὁ δὲ Παῦλος εἶπε· ναί.

[22]) κα΄ 36. κε΄ 24. [23-24]) 20. 29. κα΄ 34. Ἰν. ιθ΄ 1. [25-26]) ις΄ 37. 38. κγ΄ 27.

28 ἀπεκρίθη τε ὁ χιλίαρχος· ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην. ὁ δὲ Παῦλος ἔφη· ἐγὼ δὲ καὶ γεγέννημαι.

28 Καὶ ὁ χιλίαρχος ἀπεκρίθη· Ἐγὼ ἐξώδευσα πολλὰ χρήματα καὶ ἀπέκτησα τὸ δικαίωμα τοῦτο τοῦ Ρωμαίου πολίτου. Ὁ Παῦλος δὲ εἶπεν· Ἐγὼ ὅμως δὲν εἶμαι μόνον, ἀλλὰ καὶ ἔχω γεννηθῇ Ρωμαῖος πολίτης, διότι καὶ ὁ πατήρ μου ἦτο τοιοῦτος.

29 εὐθέως οὖν ἀπέστησαν ἀπ' αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν· καὶ ὁ χιλίαρχος δὲ ἐφοβήθη ἐπιγνοὺς ὅτι Ῥωμαῖός ἐστι, καὶ ὅτι ἦν αὐτὸν δεδεκώς.

29 Ἀμέσως λοιπὸν ἀπεμακρύνθησαν ἀπὸ τὸν Παῦλον ἐκεῖνοι, ποὺ ἔμελλον νὰ τὸν ἀνακρίνουν. Ἀλλὰ καὶ ὁ χιλίαρχος ἐφοβήθη, ὅταν ἔμαθεν ὅτι εἶναι Ρωμαῖος πολίτης. Ἐφοβήθη δὲ καὶ διότι τὸν εἶχε δέσει.

30 Τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλές, τὸ τί κατηγορεῖται παρὰ τῶν Ἰουδαίων, ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν καὶ ἐκέλευσεν ἐλθεῖν τοὺς ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον αὐτῶν, καὶ καταγαγὼν τὸν Παῦλον ἔστησεν εἰς αὐτούς.

30 Τὴν ἄλλην δὲ ἡμέραν ὁ χιλίαρχος, ἐπειδὴ ἤθελε νὰ μάθῃ μετὰ βεβαιότητος, τί ἦτο ἐκεῖνο, διὰ τὸ ὁποῖον κατηγορεῖτο ὁ Παῦλος ἀπὸ τοὺς Ἰουδαίους, τὸν ἔλυσεν ἀπὸ τὰς ἁλύσεις, μὲ τὰς ὁποίας ἦτο δεμένος, καὶ διέταξε νὰ ἔλθουν οἱ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριόν των. Καὶ ἀφοῦ κατέβασεν ἀπὸ τὸ στρατόπεδον τὸν Παῦλον, τὸν ἔβαλε νὰ σταθῇ ὄρθιος ἐνώπιον αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

Στίχ. 1-11. Ὁ Παῦλος ἐνώπιον τοῦ Ἰουδαϊκοῦ συνεδρίου.

Ἀτενίσας δὲ ὁ Παῦλος τῷ συνεδρίῳ εἶπεν· ἄνδρες ἀδελφοί, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ Θεῷ ἄχρι ταύτης τῆς ἡμέρας.

Ὁ Παῦλος δέ, ἀφοῦ προσήλωσε τὸ βλέμμα του εἰς τὸ συνέδριον, εἶπεν· Ἄνδρες ἀδελφοί, ἐγὼ ἔχω πολιτευθῆ ἐνώπιον τοῦ Θεοῦ μέχρι τῆς ἡμέρας ταύτης, χωρὶς νὰ μὲ τύπτῃ εἰς τίποτε ἡ συνείδησίς μου, ἀλλὰ τοὐναντίον ἔχω τὴν μαρτυρίαν της ἐξ ὁλοκλήρου ἀγαθήν.

2 ὁ δὲ ἀρχιερεὺς Ἀνανίας ἐπέταξε τοῖς παρεστῶσιν αὐτῷ τύπτειν αὐτοῦ τὸ στόμα.

2 Ὁ ἀρχιερεὺς Ἀνανίας ὅμως διέταξε τότε τοὺς ὑπηρέτας, ποὺ ἐστέκοντο πλησίον τοῦ Παύλου, νὰ τοῦ κτυπήσουν τὸ στόμα, ἴσως διότι ἔλαβε τὸν λόγον μόνος του.

3 τότε ὁ Παῦλος πρὸς αὐτὸν εἶπε· τύπτειν σε μέλλει ὁ Θεός, τοῖχε κεκονιαμένε· καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, καὶ παρανομῶν κελεύεις με τύπτεσθαι!

3 Τότε ὁ Παῦλος τοῦ εἶπε· Θὰ σὲ πατάξῃ ὁ Θεός, τοῖχε ἀσβεστωμένε, ποὺ ἀπ' ἔξω φαίνεσαι λευκός, εἰς τὸ βάθος σου δὲ κρύπτεις τὴν ἀδικίαν. Καὶ σὺ κάθεσαι νὰ μὲ κρίνῃς σύμφωνα μὲ τὸν νόμον; Καὶ παραβαίνων σὺ ὁ κριτὴς τὸν νόμον, ὁ ὁποῖος παραγγέλλει νὰ ἀπολογῆται ἐλεύθερα καὶ ἀνεμπόδιστα κάθε κατηγορούμενος, διατάσσεις νὰ μὲ κτυπήσουν διὰ νὰ βουλώσῃς τὸ στόμα μου κατὰ τὴν ὥραν τῆς ἀπολογίας μου;

4 οἱ δὲ παρεστῶτες εἶπον· τὸν ἀρχιερέα τοῦ Θεοῦ λοιδορεῖς;

4 Οἱ παριστάμενοι δὲ εἶπον· Τὸν ἀρχιερέα τοῦ Θεοῦ ὑβρίζεις;

[29]) ις΄ 39. κα΄ 33. [30]) κγ΄ 28.

ΚΓ΄. [1]) κβ΄ 1. 3. κδ΄ 16. 2 Κρ. α΄ 12. 1 Τμ. α΄ 5. 19. Ἑβ. ιγ΄ 18. 1 Πτ. γ΄ 16. [2]) κδ΄ 1. Ἰν. ιη΄ 22. [3]) Λτ. ιθ΄ 15. 35. Ἰζ. ιγ΄ 10 - 15. Μτ. κγ΄ 27. Ἰν. ιη΄ 23.

*5 ἔφη τε ὁ Παῦλος· οὐκ ᾔδειν, ἀδελφοί, ὅτι ἐστὶν ἀρχιερεύς· γέγραπται γάρ· **ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.***

5 Καὶ εἶπεν ὁ Παῦλος, ὁ ὁποῖος ἀπὸ ἔτη πολλὰ ἔλειπεν ἐξ Ἱεροσολύμων καὶ δὲν ἐγνώριζε προσωπικῶς τὸν ἀρχιερέα, ὁ ὁποῖος τὴν στιγμὴν ἐκείνην δὲν ἦτο εὐδιάκριτος, διότι προήδρευε τῆς συνεδρίας ὁ χιλίαρχος. Δὲν ἐγνώριζα, ἀδελφοί, ὅτι εἶναι ἀρχιερεύς. Ἄλλως δὲν θὰ ἔλεγον αὐτό, ποὺ εἶπα, διότι ἔχει γραφῆ εἰς τὸ βιβλίον τῆς Ἐξόδου: Δὲν θὰ κακολογήσῃς ἄρχοντα τοῦ λαοῦ σου.

6 γνοὺς δὲ ὁ Παῦλος ὅτι τὸ ἓν μέρος ἐστὶ Σαδδουκαίων, τὸ δὲ ἕτερον Φαρισαίων, ἔκραξεν ἐν τῷ συνεδρίῳ· ἄνδρες ἀδελφοί, ἐγὼ Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίου· περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι.

6 Ἐν τῷ μεταξὺ δέ, ὅταν ἀντελήφθη ὁ Παῦλος, ὅτι ἡ μία μερὶς τοῦ συνεδρίου ἀπετελεῖτο ἀπὸ Σαδδουκαίους, οἱ ὁποῖοι δὲν ἐπίστευαν εἰς τὴν ἀνάστασιν τῶν νεκρῶν, ἡ ἄλλη δὲ μερὶς ἀπετελεῖτο ἀπὸ Φαρισαίους, ἐφώναξε δυνατὰ ἐν μέσῳ τοῦ συνεδρίου: Ἄνδρες ἀδελφοί, ἐγὼ εἶμαι Φαρισαῖος καὶ υἱὸς Φαρισαίου. Καὶ δικάζομαι σήμερον ἐγώ, ἐπειδὴ πιστεύω καὶ ἐλπίζω εἰς τὴν ἀνάστασιν τῶν νεκρῶν.

7 τοῦτο δὲ αὐτοῦ λαλήσαντος ἐγένετο στάσις τῶν Φαρισαίων καὶ τῶν Σαδδουκαίων, καὶ ἐσχίσθη τὸ πλῆθος.

7 Ὅταν δὲ εἶπε τοῦτο ὁ Παῦλος, ἔγινε φιλονεικία μεταξὺ τῶν Φαρισαίων καὶ τῶν Σαδδουκαίων καὶ ἐδιχάσθη τὸ πλῆθος τῶν μελῶν τοῦ συνεδρίου.

8 Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἀνάστασιν μήτε ἄγγελον μήτε πνεῦμα, Φαρισαῖοι δὲ ὁμολογοῦσι τὰ ἀμφότερα.

8 Ἐδιχάσθη δὲ τὸ πλῆθος, διότι οἱ μὲν Σαδδουκαῖοι λέγουν, ὅτι δὲν ὑπάρχει ἀνάστασις, οὔτε ἄγγελος, οὔτε ἀσώματος ψυχή, ἐπειδὴ ὑπεστήριζαν οὗτοι, ὅτι αἱ ψυχαὶ τῶν ἀποθνησκόντων διαλύονται μετὰ τοῦ σώματος. Οἱ Φαρισαῖοι ὅμως ὁμολογοῦν καὶ τὰ δύο, καὶ τὴν ἀνάστασιν τῶν νεκρῶν δηλαδὴ καὶ τὴν ὕπαρξιν πνευμάτων.

9 ἐγένετο δὲ κραυγὴ μεγάλη, καὶ ἀναστάντες οἱ γραμματεῖς τοῦ μέρους τῶν Φαρισαίων διεμάχοντο λέγοντες· οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ· εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος, μὴ θεομαχῶμεν.

9 Ἔγινε δὲ λόγῳ τῆς φιλονεικίας των μεγάλη κραυγή, καὶ ἀφοῦ ἐσηκώθησαν οἱ γραμματεῖς οἱ ἀνήκοντες εἰς τὴν μερίδα τῶν Φαρισαίων, συνεζήτουν μὲ θυμὸν καὶ ἔλεγαν: Δὲν εὑρίσκομεν κανὲν κακὸν εἰς αὐτὸν τὸν ἄνθρωπον. Ἐὰν δὲ πνεῦμα ἢ ἄγγελος ὡμίλησεν εἰς αὐτόν, ἂς μὴ μαχώμεθα κατὰ τοῦ Θεοῦ, ὁ ὁποῖος τοῦ ἔκαμε τὴν ἀποκάλυψιν αὐτήν.

10 πολλῆς δὲ γενομένης στάσεως εὐλαβηθεὶς ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ Παῦλος ὑπ᾽ αὐτῶν, ἐκέλευσε τὸ στράτευμα καταβῆναι καὶ ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν ἄγειν τε εἰς τὴν παρεμβολήν.

10 Ἐπειδὴ δὲ ἔγινε μεγάλη φιλονεικία, ὁ χιλίαρχος ἐφοβήθη, μήπως ὁ Παῦλος κομματιασθῇ ἀπὸ αὐτούς, καὶ διέταξε νὰ καταβῇ τὸ στράτευμα καὶ νὰ τὸν ἁρπάσῃ ἐκ μέσου αὐτῶν καὶ νὰ τὸν ὁδηγήσῃ εἰς τὸ στρατόπεδον.

11 Τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος εἶπε·

11 Τὴν ἑπομένην δὲ νύκτα ἐνεφανίσθη ἔξαφνα εἰς τὸν Παῦλον ὁ Κύριος Ἰησοῦς καὶ εἶπεν· Ἔχε θάρρος, Παῦλε, διότι ὅπως ἐ-

5) Ἐξ. κβ' 28. Ἐκ. ι' 20. 6) κβ' 3. κδ' 15. 21. κς' 5. 6. 23. Φλ. γ' 5. 1 Κρ. ιε' 12. 7) 10. Ἰν. ζ' 43. θ' 16. 8) Λκ. κ' 27. 9) ε' 39. κε' 25. κς' 31. Ἰν. ιβ' 29. 10) 7. κα' 34. 11) ις' 9. ιη' 9. ιθ' 21. κζ' 23. 24.

θάρσει, Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι.

μαρτύρησες τὴν περὶ ἐμοῦ ἀλήθειαν καὶ ὁμολογίαν εἰς τὴν Ἱερουσαλήμ, ἔτσι σύμφωνα μὲ τὸ σχέδιον τῆς θείας βουλῆς πρέπει νὰ μαρτυρήσῃς καὶ εἰς τὴν Ρώμην. Δὲν πρόκειται λοιπὸν νὰ πάθῃς ἐδῶ τίποτε, ἀλλὰ θὰ σὲ φυλάξω σῶον διὰ νὰ μεταβῇς καὶ εἰς τὴν Ρώμην.

Στίχ. 12-35. Συνωμοσία Ἰουδαίων κατὰ τοῦ Παύλου. Ἀποστέλλεται εἰς τὴν Καισάρειαν τῆς Παλαιστίνης.

12 Γενομένης δὲ ἡμέρας ποιήσαντές τινες τῶν Ἰουδαίων συστροφὴν ἀνεθεμάτισαν ἑαυτούς, λέγοντες μήτε φαγεῖν μήτε πιεῖν ἕως οὗ ἀποκτείνωσι τὸν Παῦλον.

12 Ὅταν δὲ ἔγινεν ἡμέρα, μερικοὶ ἀπὸ τοὺς Ἰουδαίους ἔκαμαν συνωμοσίαν καὶ ὡρκίσθησαν νὰ εἶναι ἀναθεματισμένοι καὶ κατηραμένοι εἰς ὄλεθρον ἀπὸ τὸν Θεόν, ἐὰν θὰ ἔτρωγαν ἢ θὰ ἔπιναν, ἕως ὅτου φονεύσουν τὸν Παῦλον.

13 ἦσαν δὲ πλείους τεσσαράκοντα οἱ ταύτην τὴν συνωμοσίαν πεποιηκότες·

13 Ἦσαν δὲ περισσότεροι ἀπὸ τεσσαράκοντα αὐτοί, ποὺ εἶχον κάμει τὴν συνωμοσίαν καὶ τὸν ὅρκον αὐτόν.

14 οἵτινες προσελθόντες τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις εἶπον· ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτοὺς μηδενὸς γεύσασθαι ἕως οὗ ἀποκτείνωμεν τὸν Παῦλον.

14 Αὐτοὶ προσῆλθον εἰς τοὺς ἀρχιερεῖς καὶ εἰς τοὺς πρεσβυτέρους καὶ εἶπον· Ἀναθεματίσαμεν μὲ φοβερὸν ἀνάθεμα τοὺς ἑαυτούς μας νὰ μὴ βάλωμεν εἰς τὸ στόμα μας τίποτε, ἕως ὅτου φονεύσωμεν τὸν Παῦλον.

15 νῦν οὖν ὑμεῖς ἐμφανίσατε τῷ χιλιάρχῳ σὺν τῷ συνεδρίῳ, ὅπως αὔριον αὐτὸν καταγάγῃ πρὸς ὑμᾶς, ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ· ἡμεῖς δὲ πρὸ τοῦ ἐγγίσαι αὐτὸν ἕτοιμοί ἐσμεν τοῦ ἀνελεῖν αὐτόν.

15 Τώρα λοιπὸν σεῖς μετὰ τοῦ Συνεδρίου δηλώσατε εἰς τὸν χιλίαρχον νὰ κατεβάσῃ αὔριον ἐνώπιόν σας τὸν Παῦλον μὲ τὴν πρόφασιν, ὅτι μέλλετε νὰ ἐξετάσετε καὶ νὰ μάθετε μὲ περισσοτέραν ἀκρίβειαν τὴν ὑπόθεσίν του. Ἡμεῖς δέ, προτοῦ νὰ πλησιάσῃ αὐτὸς εἰς τὸν τόπον τῆς συνεδριάσεως, εἴμεθα ἕτοιμοι διὰ νὰ τὸν φονεύσωμεν.

16 ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον, παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολὴν ἀπήγγειλε τῷ Παύλῳ.

16 Κατὰ θεῖαν ὅμως οἰκονομίαν ἤκουσεν ὁ υἱὸς τῆς ἀδελφῆς τοῦ Παύλου τὴν ἐνέδραν. Ἦλθε λοιπὸν καὶ ἀφοῦ ἐμβῆκεν εἰς τὸ στρατόπεδον, ἀνήγγειλεν εἰς τὸν Παῦλον τὰ περὶ αὐτῆς.

17 προσκαλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν ἑκατοντάρχων ἔφη· τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς τὸν χιλίαρχον· ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ.

17 Τότε ὁ Παῦλος, ἀφοῦ προσεκάλεσεν ἕνα ἀπὸ τοὺς ἑκατοντάρχους, εἶπεν· Ὁδήγησε τὸν νέον αὐτὸν εἰς τὸν χιλίαρχον, διότι ἔχει κάτι νὰ τοῦ ἀναγγείλῃ.

12-15) 20. 21. 30. κε' 3. Ἰν. ις' 2. 3. 16-19) 30. κη' 31.

18 ὁ μὲν οὖν παραλαβὼν αὐτὸν ἤγαγε πρὸς τὸν χιλίαρχον καὶ φησίν· ὁ δέσμιος Παῦλος προσκαλεσάμενός με ἠρώτησε τοῦτον τὸν νεανίαν ἀγαγεῖν πρός σε, ἔχοντά τι λαλῆσαί σοι.

19 ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος καὶ ἀναχωρήσας κατ' ἰδίαν ἐπυνθάνετο, τί ἐστιν ὃ ἔχεις ἀπαγγεῖλαί μοι;

20 εἶπε δὲ ὅτι οἱ Ἰουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί σε ὅπως αὔριον εἰς τὸ συνέδριον καταγάγῃς τὸν Παῦλον, ὡς μελλόντων τι ἀκριβέστερον πυνθάνεσθαι περὶ αὐτοῦ.

21 σὺ οὖν μὴ πεισθῇς αὐτοῖς· ἐνεδρεύουσι γὰρ αὐτὸν ἐξ αὐτῶν ἄνδρες πλείους τεσσαράκοντα, οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν μήτε πιεῖν ἕως οὗ ἀνέλωσιν αὐτόν, καὶ νῦν ἕτοιμοί εἰσι προσδεχόμενοι τὴν ἀπὸ σοῦ ἐπαγγελίαν.

22 ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσε τὸν νεανίαν, παραγγείλας μηδενὶ ἐκλαλῆσαι ὅτι ταῦτα ἐνεφάνισας πρός με.

23 Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων εἶπεν· ἑτοιμάσατε στρατιώτας διακοσίους ὅπως πορευθῶσιν ἕως Καισαρείας, καὶ ἱππεῖς ἑβδομήκοντα καὶ δεξιολάβους διακοσίους, ἀπὸ τρίτης ὥρας τῆς νυκτός,

24 κτήνη τε παραστῆσαι, ἵνα ἐπιβιβάσαντες τὸν Παῦλον διασώσωσι πρὸς Φήλικα τὸν ἡγεμόνα,

18 Οὗτος λοιπόν, ἀφοῦ παρέλαβε τὸν νέον, ὡδήγησεν αὐτὸν εἰς τὸν χιλίαρχον καὶ εἶπεν· Ὁ φυλακισμένος Παῦλος μὲ προσεκάλεσε καὶ μὲ παρεκάλεσε νὰ ὁδηγήσω εἰς σὲ τὸν νέον αὐτόν, ποὺ ἔχει κάποιον μυστικὸν νὰ σοῦ εἴπῃ.

19 Ἀφοῦ δὲ ὁ χιλίαρχος τὸν ἔπιασεν ἀπὸ τὸ χέρι του καὶ ἐπῆγεν εἰς ἰδιαίτερον μέρος, ἠρώτησε: Τί εἶναι ἐκεῖνο, ποὺ ἔχεις νὰ μοῦ ἀναγγείλῃς;

20 Εἶπε δὲ ὁ νέος, ὅτι οἱ Ἰουδαῖοι συνεφώνησαν νὰ σὲ παρακαλέσουν, ὅπως κατεβάσῃς αὔριον τὸν Παῦλον εἰς τὸ συνέδριον μὲ τὴν πρόφασιν, ὅτι μέλλουν κάπως ἀκριβέστερον νὰ ἐξετάσουν καὶ νὰ μάθουν περὶ αὐτοῦ.

21 Σὺ λοιπὸν νὰ μὴ πεισθῇς εἰς αὐτούς. Διότι τοῦ κάνουν καρτέρι μερικοὶ ἀπὸ αὐτούς, περισσότεροι ἀπὸ τεσσαράκοντα ἄνδρες, οἱ ὁποῖοι ὡρκίσθησαν καὶ ἀναθεμάτισαν τοὺς ἑαυτούς των νὰ μὴ φάγουν, οὔτε νὰ πίουν τίποτε, ἕως ὅτου τὸν φονεύσουν. Καὶ τώρα εἶναι ἕτοιμοι καὶ περιμένουν νὰ τοὺς δώσῃς τὴν ὑπόσχεσιν, ὅτι θὰ τὸν κατεβάσῃς.

22 Ὁ χιλίαρχος λοιπὸν ἀφῆκεν ἐλεύθερον τὸν νέον, ἀφοῦ τοῦ παρήγγειλε, νὰ μὴ εἴπῃς εἰς κανένα, ὅτι κατήγγειλες καὶ ἀνεκοίνωσες ταῦτα εἰς ἐμέ.

23 Καὶ ἀφοῦ προσεκάλεσε δύο ἀπὸ τοὺς ἑκατοντάρχους εἶπεν· Ἑτοιμάσατε διακοσίους στρατιώτας διὰ νὰ ὑπάγουν μέχρι τῆς Καισαρείας, καὶ ἱππεῖς ἑβδομήκοντα, καὶ λογχοφόρους διακοσίους. Νὰ εἶναι ἕτοιμοι εἰς τὰς ἐννέα τὸ βράδυ.

24 Καὶ νὰ ἔχουν μαζί των ζῶα, διὰ νὰ ἐπιβιβάσουν τὸν Παῦλον καὶ μεταφέρουν αὐτὸν σῶον εἰς τὸν Φήλικα τὸν ἐπίτροπον τῆς Ἰουδαίας.

[20-21]) 12 - 15. [23-24]) 31 - 32.

25 γράψας ἐπιστολὴν περιέχουσαν τὸν τύπον τοῦτον·

26 Κλαύδιος Λυσίας τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν.

27 τὸν ἄνδρα τοῦτον συλληφθέντα ὑπὸ τῶν Ἰουδαίων καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ' αὐτῶν ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλόμην αὐτόν, μαθὼν ὅτι Ῥωμαῖός ἐστι.

28 βουλόμενος δὲ γνῶναι τὴν αἰτίαν δι' ἣν ἐνεκάλουν αὐτῷ, κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν·

29 ὃν εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν δὲ ἄξιον θανάτου ἢ δεσμῶν ἔγκλημα ἔχοντα.

30 μηνυθείσης δέ μοι ἐπιβουλῆς εἰς τὸν ἄνδρα μέλλειν ἔσεσθαι ὑπὸ τῶν Ἰουδαίων, ἐξαυτῆς ἔπεμψα πρός σε, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ πρὸς αὐτὸν ἐπὶ σοῦ. ἔρρωσο.

31 Οἱ μὲν οὖν στρατιῶται κατὰ τὸ διατεταγμένον αὐτοῖς ἀναλαβόντες τὸν Παῦλον ἤγαγον διὰ τῆς νυκτὸς εἰς τὴν Ἀντιπατρίδα,

32 τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς πορεύεσθαι σὺν αὐτῷ, ὑπέστρεψαν εἰς τὴν παρεμβολήν·

33 οἵτινες εἰσελθόντες εἰς τὴν Καισάρειαν καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι παρέστησαν καὶ τὸν Παῦλον αὐτῷ.

34 ἀναγνοὺς δὲ ὁ ἡγεμὼν

25 Ἔγραψε δὲ ἐπιστολήν, ἡ ὁποία εἶχε τοῦτο τὸ περιεχόμενον·

26 Ὁ Κλαύδιος Λυσίας πρὸς τὸν ἐξοχώτατον ἡγεμόνα Φήλικα. Χαῖρε.

27 Τὸν ἄνδρα αὐτόν, ποὺ συνελήφθη ἀπὸ τοὺς Ἰουδαίους καὶ ἐπρόκειτο νὰ φονευθῇ ἀπὸ αὐτούς, κατέφθασα ἐπὶ τόπου μὲ τὸ στράτευμα καὶ τὸν ἐγλύτωσα, ἐπειδὴ ἔμαθον, ὅτι εἶναι Ρωμαῖος πολίτης.

28 Ἐπειδὴ δὲ ἤθελα νὰ μάθω τὴν αἰτίαν, διὰ τὴν ὁποίαν τὸν κατηγόρουν, τὸν κατέβασα ἐνώπιον τοῦ συνεδρίου των.

29 Τὸν εὗρον δὲ νὰ κατηγορῆται διὰ ζητήματα τοῦ νόμου των, νὰ μὴ εἶναι δὲ ἔνοχος κανενὸς ἐγκλήματος, τὸ ὁποῖον νὰ τιμωρῆται ἀπὸ τοὺς ρωμαϊκοὺς νόμους μὲ θάνατον ἢ μὲ φυλάκισιν.

30 Ἐπειδὴ δὲ μοῦ κατηγγέλθη, ὅτι ἐπρόκειτο νὰ γίνῃ ἀπὸ τοὺς Ἰουδαίους δολοφονικὴ ἐνέδρα κατὰ τοῦ ἀνδρός, ἀμέσως σοῦ τὸν ἀπέστειλα καὶ παρήγγειλα καὶ εἰς τοὺς κατηγόρους του νὰ ἐκθέσουν τὰς κατ' αὐτοῦ κατηγορίας ἐνώπιόν σου. Ὑγίαινε.

31 Οἱ στρατιῶται λοιπὸν σύμφωνα μὲ τὴν διαταγήν, ποὺ τοὺς ἐδόθη, παρέλαβον τὸν Παῦλον καὶ τὸν ὡδήγησαν διὰ νυκτερινῆς πορείας εἰς τὴν Ἀντιπατρίδα, ποὺ εὑρίσκετο εἰς τὸ μέσον περίπου τοῦ μεταξὺ Ἱεροσολύμων καὶ Καισαρείας δρόμου.

32 Τὴν ἑπομένην δὲ ἡμέραν οἱ πεζοὶ στρατιῶται ἀφῆκαν μόνους τοὺς ἱππεῖς νὰ ἐξακολουθήσουν τὸ ταξίδιον μαζὶ μὲ τὸν Παῦλον, καὶ αὐτοὶ ἐπέστρεψαν εἰς τὸ ἐν Ἱεροσολύμοις στρατόπεδον.

33 Οἱ ἱππεῖς δέ, ἀφοῦ εἰσῆλθον εἰς τὴν Καισάρειαν καὶ παρέδωσαν τὴν ἐπιστολὴν εἰς τὸν ἐπίτροπον, τοῦ παρουσίασαν καὶ τὸν Παῦλον.

34 Ὅταν δὲ ἀνέγνωσεν ὁ ἐπίτροπος τῆς Ρώμης τὴν ἐπιστολὴν

[25-26]) 2 Μκ. ια΄ 16. 29. 3 Μκ. γ΄ 30. Πρ. ιε΄ 23. κς΄ 25. Λκ. α΄ 3. [27-28]) κα΄ 30 - 34. κβ΄ 25 - 30. [29]) 6. 9. ιη΄ 15. κς΄ 30. 31. [30]) 16. 24. 35. κδ΄ 1. 8. [31-33]) 23 - 25. [34]) κβ΄ 3.

καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐστί, καὶ πυθόμενος ὅτι ἀπὸ Κιλικίας,
35 διακούσομαί σου, ἔφη, ὅταν καὶ οἱ κατήγοροί σου παραγένωνται· ἐκέλευσέ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ τοῦ Ἡρῴδου φυλάσσεσθαι.

καὶ ἠρώτησε τὸν Παῦλον, ἀπὸ ποίαν ἐπαρχίαν εἶναι καὶ ἔμαθεν, ὅτι εἶναι ἀπὸ τὴν Κιλικίαν,
35 εἶπε· Θὰ σὲ ἀκούσω μὲ προσοχήν, ὅταν ἔλθουν οἱ κατήγοροί σου. Καὶ διέταξε νὰ φρουρῆται οὗτος εἰς τὴν φυλακὴν τοῦ ἀνακτόρου, ποὺ εἶχε κτίσει ὁ Ἡρῴδης, καὶ τὸ ὁποῖον τώρα ἦτο κατοικία τοῦ πραίτορος.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ΄.

Στίχ. 1-23. Οἱ Ἰουδαῖοι κατηγοροῦν τὸν Παῦλον εἰς τὸν ἡγεμόνα Φήλικα. Ὁ Παῦλος ἀπολογεῖται.

Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μετὰ τῶν πρεσβυτέρων καὶ ῥήτορος Τερτύλλου τινός, οἵτινες ἐνεφάνισαν τῷ ἡγεμόνι κατὰ τοῦ Παύλου.
2 κληθέντος δὲ αὐτοῦ ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλος λέγων·
3 πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ καὶ κατορθωμάτων γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας, πάντῃ τε καὶ πανταχοῦ ἀποδεχόμεθα, κράτιστε Φῆλιξ, μετὰ πάσης εὐχαριστίας.
4 ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ.
5 εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν καὶ κινοῦντα στάσιν πᾶσι τοῖς Ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην, πρωτοστάτην τε τῆς τῶν Ναζωραίων αἱρέσεως,
6 ὃς καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι, ὃν καὶ ἐκρατήσαμεν καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρίνειν·

Ὕστερον δὲ ἀπὸ πέντε ἡμέρας κατέβη ἀπὸ τὰ Ἱεροσόλυμα εἰς τὴν Καισάρειαν ὁ ἀρχιερεὺς Ἀνανίας μὲ τοὺς πρεσβυτέρους καὶ μὲ κάποιον δικηγόρον ποὺ ἐλέγετο Τέρτυλλος, καὶ ἔδωκαν εἰς τὸν ἡγεμόνα καταγγελίαν κατὰ τοῦ Παύλου.
2 Ἀφοῦ δὲ ἐκλήθη οὗτος νὰ παρουσιασθῇ ἐνώπιον τοῦ ἡγεμόνος καὶ τῶν κατηγόρων του, ἤρχισεν ὁ Τέρτυλλος νὰ τὸν κατηγορῇ λέγων·
3 Ἐπειδή, ἐξοχώτατε Φῆλιξ, ἀπολαμβάνομεν διὰ τῆς διοικήσεώς σου πολλὴν εἰρήνην καὶ γίνονται μεγάλαι ἐπιτυχίαι καὶ ἔργα δράσεως ἐπωφελῆ εἰς τὸ ἔθνος αὐτὸ διὰ τῆς προνοητικότητος καὶ προβλέψεώς σου, γίνονται δὲ ταῦτα εἰς κάθε εὐκαιρίαν καὶ περίστασιν καὶ εἰς κάθε τόπον, ἀποδεχόμεθα καὶ ἐπικροτοῦμεν τὴν εὐεργετικὴν αὐτὴν δρᾶσιν σου μὲ πᾶσαν εὐγνωμοσύνην.
4 Διὰ νὰ μὴ λέγω δὲ περισσότερα διὰ τὴν ἀξιέπαινον δρᾶσιν σου καὶ μὲ αὐτὰ σὲ κουράζω περισσότερον, εἰσέρχομαι εἰς τὴν ἐξέτασιν τῆς καταγγελίας καὶ παρακαλῶ νὰ ἀκούσῃς μὲ τὴν εὐμένειάν σου, ὅσα μὲ συντομίαν θὰ εἴπωμεν.
5 Εὕρομεν δηλαδὴ τὸν ἄνθρωπον αὐτὸν κακοποιὸν καὶ σωστὴν πληγήν, ποὺ διαταράττει τὴν τάξιν εἰς τὰς ἐπαρχίας καὶ διεγείρει ταραχὴν μεταξὺ ὅλων τῶν Ἰουδαίων, ποὺ εἶναι εἰς ὁλόκληρον τὸν κόσμον. Εἶναι δὲ καὶ ἀρχηγὸς τῆς θρησκευτικῆς μερίδος τῶν Ναζωραίων.
6 Ἀπεπειράθη δὲ οὗτος καὶ τὸ ἱερόν μας νὰ βεβηλώσῃ, καὶ δι' αὐτὸ τὸν συνελάβομεν καὶ ἠθελήσαμεν νὰ τὸν καταδικάσωμεν σύμφωνα μὲ τὸν ἰδικόν μας νόμον.

[35]) 30. κε΄ 16. Μτ. κζ΄ 27.
ΚΔ΄. [1]) κγ΄ 2. 30. κε΄ 2. [3]) κγ΄ 26. [5-6]) 14. ιζ΄ 6. κα΄ 28. κη΄ 22. Ἰν. ιη΄ 31.

7 παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγε,
8 κελεύσας τοὺς κατηγόρους αὐτοῦ ἔρχεσθαι ἐπὶ σέ· παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ.
9 συνεπέθεντο δὲ καὶ Ἰουδαῖοι φάσκοντες ταῦτα οὕτως ἔχειν.
10 Ἀπεκρίθη δὲ ὁ Παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν· ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ ἐπιστάμενος εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι,
11 δυναμένου σου γνῶναι ὅτι οὐ πλείους εἰσί μοι ἡμέραι δεκαδύο ἀφ' ἧς ἀνέβην προσκυνήσων εἰς Ἱερουσαλήμ·
12 καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον ἢ ἐπισύστασιν ποιοῦντα ὄχλου, οὔτε ἐν ταῖς συναγωγαῖς οὔτε κατὰ τὴν πόλιν·
13 οὔτε παραστῆσαι δύνανται περὶ ὧν νῦν κατηγοροῦσί μου.
14 ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδὸν ἣν λέγουσιν αἵρεσιν οὕτω λατρεύω τῷ πατρῴῳ Θεῷ, πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον καὶ τοῖς ἐν τοῖς προφήταις γεγραμμένοις,
15 ἐλπίδα ἔχων εἰς τὸν Θεὸν ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν, δικαίων τε καὶ ἀδίκων·

7 Καταφθάσας ὅμως ὁ χιλίαρχος Λυσίας τὸν ἥρπασε ἀπὸ τὰς χεῖράς μας μὲ πολλὴν βίαν
8 καὶ διέταξεν οἱ κατήγοροί του νὰ ἔλθουν ἐνώπιόν σου. Παρ' αὐτοῦ τοῦ Λυσίου, ἀφοῦ προηγουμένως σὺ ὁ ἴδιος ἐνεργήσῃς ἀνάκρισιν, θὰ δυνηθῇς νὰ μάθῃς ἐπακριβῶς ὅλα αὐτά, διὰ τὰ ὁποῖα ἡμεῖς κατηγοροῦμεν τὸν Παῦλον.
17 εἰ ὅλον τὸ σῶμα ὀφθαλμός, ποῦ ἡ ἀκοή; εἰ ὅλον ἀκοή, ποῦ ἡ ὄσφρησις;

17 Ἐὰν ὅλον τὸ σῶμα ἦτο μάτι, τότε ποῦ θὰ ἦτο ἡ ἀκοή; Τὸ σῶμα θὰ ἔμενε κωφόν. Καὶ ἐὰν ὅλον τὸ σῶμα ἦτο ἀκοή, ποῦ θὰ ἦτο ἡ ὄσφρησις; Τὸ σῶμα θὰ ἐστερεῖτο ὄσφρησιν.

18 νυνὶ δὲ ὁ Θεὸς ἔθετο τὰ μέλη ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι καθὼς ἠθέλησεν.

18 Τώρα ὅμως ὁ Θεὸς σοφὰ ἐτοποθέτησε εἰς τὸ σῶμα καθένα ἀπὸ τὰ μέλη ἀκριβῶς, ὅπως σύμφωνα μὲ τὴν ἀγαθότητα καὶ πανσοφίαν του ἠθέλησε, πάντοτε διὰ τὸ συμφέρον καὶ τὴν ἐξυπηρέτησιν τοῦ σώματος ὁλοκλήρου.

19 εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα;

19 Ἐὰν ὅμως ἦσαν ὅλα ἕνα μέλος, τότε ποῦ θὰ ἦτο τὸ σῶμα; Δὲν θὰ διελύετο;

20 νῦν δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα.

20 Ἀλλὰ τώρα ὑπάρχουν μὲν πολλὰ μέλη, ἕνα ὅμως σῶμα, εἰς τὸ ὁποῖον τὸ ἕνα μέλος ἐξαρτᾶται ἀπὸ τὰ ἄλλα καὶ δὲν ἠμπορεῖ τὸ καθένα μέλος νὰ κάμῃ χωρὶς τὰ ἄλλα.

21 οὐ δύναται δὲ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί· χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσί· χρείαν ὑμῶν οὐκ ἔχω·

21 Δὲν ἠμπορεῖ ἐπὶ παραδείγματι τὸ μάτι νὰ εἴπῃ εἰς τὸ χέρι, δὲν ἔχω τὴν ἀνάγκην σου· ἢ πάλιν ἡ κεφαλὴ νὰ εἴπῃ εἰς τὰ πόδια, δὲν ἔχω τὴν ἀνάγκην σας.

[12]) 27. ς΄ 15. ι΄ 17. Ἐφ. δ΄ 15. 16. 25. Κλ. β΄ 19. [13]) ι΄ 2 - 4. Ἐφ. β΄ 15 - 18. δ΄ 4. 5. Κλ. γ΄ 11. Ἰν. ι΄ 16. Μρ. α΄ 8. [14-20]) 28 - 30. [21-26]) Ῥμ. ιβ΄ 3. (Μτ. ιη΄ 10).

22 ἀλλὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν ἀναγκαῖά ἐστι,

22 Ἀλλὰ τὰ μέλη, ποὺ ἐκ φύσεως φαίνονται ἀσθενέστερα, αὐτὰ εἶναι περισσότερον ἀναγκαῖα διὰ τὴν ὕπαρξιν τοῦ σώματος.

23 καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν, καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν ἔχει,

23 Καὶ ἐκεῖνα τὰ μέλη τοῦ σώματος, ποὺ τὰ θεωροῦμεν περισσότερον ἄσχημα καὶ νομίζομεν, ὅτι στεροῦνται τιμὴν σχετικῶς πρὸς τὰ ἄλλα, αὐτὰ τὰ σκεπάζομεν καὶ ἔτσι τὰ περιβάλλομεν μὲ περισσοτέραν τιμήν. Καὶ τὰ ἄσχημα μέλη μας ἔχουν περισσότερον ἐξωτερικὸν στολισμὸν καὶ κοσμιωτέραν περιβολήν.

24 τὰ δὲ εὐσχήμονα ἡμῶν οὐ χρείαν ἔχει. ἀλλ' ὁ Θεὸς συνεκέρασε τὸ σῶμα, τῷ ὑστεροῦντι περισσοτέραν δοὺς τιμήν,

24 Τὰ δὲ μέλη μας, ποὺ φαίνονται εὔσχημα, δὲν ἔχουν ἀνάγκην νὰ τὰ σκεπάσωμεν. Ἀλλ' ὁ Θεὸς ἔσμιξε μαζὶ διάφορα μέλη, εὔσχημα καὶ ἄσχημα, καὶ ἔφτιασε τὸ σῶμα, καὶ ἔδωκε περισσοτέραν τιμὴν εἰς τὸ μέλος, ποὺ εἴτε εἰς εὐσχημοσύνην εἴτε εἰς δύναμιν ὑστερεῖ ἀπὸ τὰ ἄλλα.

25 ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη·

25 Καὶ ἔκαμε τὴν σοφὴν αὐτὴν ἀνάμιξιν ὁ Θεός, διὰ νὰ μὴ ὑπάρχῃ διχασμὸς καὶ διαίρεσις εἰς τὸ σῶμα, ἀλλὰ νὰ λαμβάνουν τὴν ἰδίαν καὶ τὴν ἴσην φροντίδα ἀναμεταξύ τους τὰ μέλη τὸ ἕνα διὰ τὸ ἄλλο.

26 καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη, εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη.

26 Καὶ πράγματι εἴτε πάσχει καὶ πονεῖ ἕνα μέλος, πάσχουν μαζί του ὅλα τὰ μέλη· εἴτε δοξάζεται ἕνα μέλος, χαίρουν μαζί του ὅλα τὰ μέλη.

27 Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους.

27 Σεῖς δὲ οἱ Χριστιανοὶ εἶσθε σῶμα Χριστοῦ καὶ μέλη, ποὺ ἀναλόγως τοῦ χαρίσματός του ἔχει ὁ καθένας σας μίαν θέσιν καὶ ἕνα μέρος εἰς τὴν ζωὴν τοῦ συνόλου.

28 Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν.

28 Καὶ ἄλλους μὲν ἐτοποθέτησεν ὁ Θεὸς εἰς τὴν Ἐκκλησίαν πρῶτον Ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους. Ἔπειτα ἄλλους τοὺς ἔθεσε νὰ κάνουν κάθε εἴδους θαύματα, ἄλλους νὰ ἔχουν χαρίσματα θεραπειῶν, χαρίσματα προστασίας τῶν ὀρφανῶν, τῶν χηρῶν, τῶν πτωχῶν, τῶν παντὸς εἴδους ἀσθενῶν· χαρίσματα κυβερνήσεως καὶ διοικήσεως ἐν τῇ Ἐκκλησίᾳ· χαρίσματα διαφόρων γλωσσῶν.

29 μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες διδάσκαλοι; μὴ πάντες δυνάμεις;

29 Εἰς τὸν καθένα ὁ Κύριος ἔδωκε τὸ ἰδικόν του χάρισμα. Μήπως εἶναι ὅλοι Ἀπόστολοι; Μήπως εἶναι ὅλοι προφῆται; Μήπως εἶναι ὅλοι διδάσκαλοι; Μήπως ἔχουν ὅλοι χαρίσματα θαυματουργικά;

30 μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσι;

30 Μήπως ἔχουν ὅλοι χαρίσματα θεραπειῶν; Μήπως ὅλοι ὁμιλοῦν γλώσσας; Μήπως ὅλοι ἔχουν τὸ χάρισμα νὰ διερμηνεύουν γλώσσας;

31 ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα. καὶ ἔτι

31 Ἐπιδιώκετε δὲ μὲ ζῆλον τὰ χαρίσματα, ποὺ φέρουν μεγαλυτέραν ὠφέλειαν, δι' αὐτὸ δὲ εἶναι καὶ ἀνώτερα χαρίσματα. Καὶ

[27]) 12. Ῥμ. ιβ΄ 4. 5. [28-30]) 9. 10. 14 - 20. θ΄ 1. 5. ιε΄ 7. Ἐφ. δ΄ 11. 12. Πρ. ιγ΄ 1. [31]) ιδ΄ 1. 12. 39.

καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.

σᾶς δεικνύω ἀκόμη δρόμον καὶ μέσον ἔξοχον καὶ ὑπέροχον, μὲ τὸ ὁποῖον ἀποκτῶνται τὰ καλύτερα χαρίσματα. Καὶ τὸ μέσον αὐτὸ εἶναι ἡ ἀγάπη.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Στίχ. 1-13. Ὑπέροχος ὕμνος τῆς ἀγάπης.

Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον.

Ἐὰν ὑποθέσωμεν, ὅτι ὁμιλῶ τὰς γλώσσας τῶν ἀνθρώπων καὶ τῶν ἀγγέλων, δὲν ἔχω ὅμως ἀγάπην, ἔγινα ὅμοιος πρὸς τὸν ἄψυχον χαλκόν, ποὺ βουΐζει, ὅταν τὸν κτυποῦν, ἢ πρὸς τὸ κύμβαλον, ποὺ βγάζει θορυβώδη καὶ χωρὶς σημασίαν ἦχον.

2 καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι.

2 Καὶ ἐὰν ἔχω τὸ χάρισμα τῆς προφητείας καὶ ἐὰν γνωρίζω ὅλα τὰ μυστικὰ σχέδια τῶν βουλῶν τοῦ Θεοῦ καὶ ἔχω ὅλην τὴν γνῶσιν, ποὺ ἠμπορεῖ νὰ ἀποκτήσῃ ὁ ἄνθρωπος, καὶ ἐὰν ἔχω κάθε βαθμὸν πίστεως, ὥστε νὰ μεταθέτω καὶ βουνὰ ἀκόμη, δὲν ἔχω ὅμως ἀγάπην, δὲν εἶμαι τίποτε.

3 καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσομαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.

3 Καὶ ἐὰν διαθέσω ὅλα τὰ ὑπάρχοντά μου διὰ νὰ θρέψω μὲ ψωμιὰ τοὺς πτωχούς, καὶ ἐὰν παραδώσω τὸ σῶμα μου διὰ νὰ καῶ, δὲν ἔχω ὅμως ἀγάπην, δὲν ὠφελοῦμαι τίποτε ἀπὸ τὰς θυσίας αὐτάς.

4 Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται,

4 Ἐκεῖνος, ποὺ ἔχει τὴν ἀγάπην, εἶναι μεγαλόψυχος, ἀνεκτικὸς καὶ μὲ πλατειὰ καρδιά· γίνεται εὐεργετικὸς καὶ ὠφέλιμος· ἡ ἀγάπη δὲν φθονεῖ, ἡ ἀγάπη δὲν ξιππάζεται καὶ δὲν φέρεται μὲ ἀλαζονείαν καὶ προπέτειαν· δὲν φουσκώνει ἀπὸ οἴησιν καὶ ὑπερηφάνειαν·

5 οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν,

5 δὲν πράττει τίποτε τὸ ἄσχημον, δὲν ζητεῖ τὰ ἰδικά της συμφέροντα, δὲν ἐρεθίζεται ἀπὸ θυμὸν καὶ ὀργήν, δὲν σκέπτεται ποτὲ κακὸν κατὰ τοῦ πλησίον, οὔτε λογαριάζει τὸ κακὸν ποὺ ἔπαθε ἀπὸ αὐτόν.

6 οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ·

6 Δὲν χαίρει, ὅταν βλέπῃ νὰ γίνεται κάτι ἄδικον, χαίρει δὲ ὅταν βλέπῃ τὴν ἀλήθειαν νὰ ἐπικρατῇ.

7 πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει.

7 Σκεπάζει ὅλας τὰς ἐλλείψεις τοῦ πλησίον καὶ δὲν τὸν διαπομπεύει δι' αὐτάς· σχηματίζει εὐμενῆ πεποίθησιν ὑπὲρ τοῦ ἀγαπωμένου εἰς ὅλα· καὶ ὅταν εὑρίσκεται ἐνώπιον παρεκτροπῶν τοῦ πλησίον ἐλπίζει, ὅτι ἀπὸ ὅλας αὐτὰς θὰ διορθωθῇ οὗτος· εἰς ὅλα δεικνύει ὑπομονὴν διὰ τὸν πλησίον.

8 ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. εἴτε δὲ προφητεῖαι, καταργηθήσονται· εἴτε

8 Ἡ ἀγάπη δὲν ξεπέφτει ποτέ, ἀλλὰ μένει πάντοτε βεβαία καὶ ἰσχυρά, ἀκόμη καὶ μετὰ τὸν θάνατόν μας. Εἴτε προφητεῖαι ὑπάρχουν τώρα ὡς χαρίσματα τοῦ Πνεύματος, θὰ καταργη

ΙΓ΄. [1-2]) 8. ιβ΄ 8 - 10. Γλ. α΄ 8. Μτ. ζ΄ 22. ιγ΄ 11. ιζ΄ 20. [3]) Δν. γ΄ 28. 2 Μκ. ζ΄ 37. Μτ. ς΄ 2. ις΄ 26. [4]) δ΄ 6. 18. 19. η΄ 1. [5]) Ζχ. η΄ 17. 1 Κρ. ι΄ 24. 33. 2 Κρ. ε΄ 19. 1 Πτ. δ΄ 8. [6]) Ῥμ. α΄ 32. ιβ΄ 9. [7]) Πρμ. ι΄ 12. 1 Κρ. θ΄ 12. 2 Τμ. β΄ 10. Ῥμ. ιε΄ 1. [8]) 1 2. 9. 13.

γλῶσσαι, παύσονται· εἴτε γνῶσις, καταργηθήσεται.

θοῦν· εἴτε χαρίσματα γλωσσῶν ὑπάρχουν, καὶ αὐτὰ θὰ παύσουν· εἴτε γνῶσις ὑπάρχει θὰ καταργηθῇ καὶ αὐτή.

9 ἐκ μέρους δὲ γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν·

9 Θὰ καταργηθοῦν ὅλα αὐτὰ εἰς τὴν μέλλουσαν ζωήν. Διότι τώρα μερικῶς καὶ ἀτελῶς γνωρίζομεν καὶ μερικῶς προφητεύομεν. Εἰς τὸν βίον αὐτὸν ἡ γνῶσις μας εἶναι περιωρισμένη καὶ οἱ προφῆται μέρος μόνον τῶν μυστηρίων τῆς θείας σοφίας μᾶς ἀποκαλύπτουν.

10 ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται.

10 Ὅταν δὲ εἰς τὸν μέλλοντα βίον ἔλθῃ τὸ τέλειον καὶ μᾶς δοθῇ ἡ τελεία γνῶσις, τότε τὸ μερικὸν καὶ ἀτελὲς θὰ καταργηθῇ.

11 ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου.

11 Αὐτὸ δὲ ποὺ σᾶς γράφω, θὰ τὸ καταλάβετε καλύτερα μὲ τὸ ἑξῆς παράδειγμα: Ὅταν ἤμην νήπιον, ὡς νήπιον ὡμίλουν, ὡς νήπιον ἐσκεπτόμην, ὡς νήπιον ἔκρινα καὶ ἐσυλλογιζόμην. Ὅταν ὅμως ἔγινα ἄνδρας, κατήργησα πλέον ἐκεῖνα τὰ νηπιώδη. Δὲν ὁμιλῶ πλέον σὰν νήπιον, ἡ σκέψις μου δὲ καὶ ὁ συλλογισμός μου εἶναι τώρα ὥριμα καὶ ἀνδρικά. Κατ' ἀναλογίαν ἠμπορεῖτε νὰ σχηματίσετε κάποιαν ἰδέαν διὰ τὴν γνῶσιν καὶ τὴν ἄλλην τελειότητα, ποὺ θὰ μᾶς δοθῇ εἰς τὴν ἄλλην ζωήν.

12 βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην.

12 Διότι τώρα βλέπομεν σὰν εἰς μετάλλινον καθρέπτην θαμπὰ καὶ τόσον ἀτελῶς, ὥστε μᾶς μένουν πολλὰ αἰνίγματα, ποὺ δὲν ἠμποροῦμεν νὰ τὰ ἐξηγήσωμεν. Τότε ὅμως θὰ ἴδωμεν φανερὰ καὶ καθαρά, διότι θὰ ἴδωμεν κατ' εὐθεῖαν πρόσωπον μὲ πρόσωπον. Τώρα γνωρίζω μόνον ἕνα μέρος τῆς ἀληθείας. Τότε ὅμως θὰ λάβω τόσον τελείαν γνῶσιν, ὅσον τέλεια μὲ ἐγνώριζεν ὁ παντογνώστης Κύριος, ὅταν ἐνεργοῦσε τὴν ἐπιστροφήν μου καὶ μὲ ἐκαλοῦσεν εἰς τὸ ἀποστολικὸν ἀξίωμα.

13 νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.

13 Αὐτὰ θὰ γίνουν εἰς τὴν μέλλουσαν ζωήν. Τώρα δὲ εἰς τὴν παροῦσαν ζωὴν μένουν ἡ πίστις, ἡ ἐλπίς, καὶ ἡ ἀγάπη, αὐτὰ τὰ τρία. Μεγαλυτέρα δὲ ἀπὸ αὐτὰ εἶναι ἡ ἀγάπη.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

Στίχ. 1-25. Ἡ προφητεία καὶ ἡ γλωσσολαλιά.

Διώκετε τὴν ἀγάπην· ζηλοῦτε δὲ τὰ πνευματικά, μᾶλλον δὲ ἵνα προφητεύητε.

Ἀφοῦ λοιπὸν τόσον πολὺ ὑπερέχει ἡ ἀγάπη, ἐπιδιώκετε μὲ ἐπιμονὴν νὰ τὴν ἀποκτήσετε. Νὰ ἐπιθυμῆτε δὲ μὲ ζῆλον τὰ πνευματικὰ χαρίσματα, περισσότερον δὲ τὴν ἔμπνευσιν τοῦ προφητικοῦ χαρίσματος, διὰ νὰ διδάσκετε τοὺς πιστούς.

2 ὁ γὰρ λαλῶν γλώσσῃ οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ τῷ Θεῷ· οὐδεὶς γὰρ ἀκούει, πνεύματι δὲ λαλεῖ μυστήρια·

2 Τὸ προφητικὸν χάρισμα εἶναι ἀνώτερον ἀπὸ τὸ χάρισμα τῶν γλωσσῶν, ποὺ πολλοὶ ἀπὸ σᾶς ζηλεύουν νὰ τὸ εἶχαν. Διότι ἐκεῖνος, ποὺ ὁμιλεῖ γλώσσας, δὲν ὁμιλεῖ πρὸς τοὺς ἀνθρώπους, ἀλλὰ πρὸς τὸν Θεόν. Δὲν ὁμιλεῖ δὲ πρὸς τοὺς ἀνθρώπους, διότι κανεὶς ἀπὸ ἐκείνους, ποὺ ἀκούουν, δὲν καταλαβαίνει τὰ λεγόμενα, ἀλλὰ μὲ τὴν ψυχήν του, ποὺ διευθύνεται ἀπὸ τὸ χάρισμα τοῦ Ἁγίου Πνεύματος, λαλεῖ αὐτὸς μυστηριώδεις ἀληθείας.

[9-11]) 12. ιδ΄ 20. Ἐφ. δ΄ 13. 14. [12]) Γν. λβ΄ 30. Ἀρ. ιβ΄ 6 - 8. 1 Κρ. η΄ 3. 2 Κρ. ε΄ 7. Ἰκ. α΄ 23. [13]) Ῥμ. η΄ 24. Γλ. ε΄ 6. 1 Θσ. α΄ 3. 1 Ἰν. δ΄ 7. 8.

ΙΔ΄. [1]) 5. 39. ιβ΄ 31. ιγ΄ 13. [2-3]) 11. 16. 28. Ῥμ. η΄ 26. 27.

3 ὁ δὲ προφητεύων ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν.

4 ὁ λαλῶν γλώσσῃ ἑαυτὸν οἰκοδομεῖ, ὁ δὲ προφητεύων ἐκκλησίαν οἰκοδομεῖ.

5 θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε· μείζων γὰρ ὁ προφητεύων ἢ ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερμηνεύει, ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ.

6 νυνὶ δέ, ἀδελφοί, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λαλήσω ἢ ἐν ἀποκαλύψει ἢ ἐν γνώσει ἢ ἐν προφητείᾳ ἢ ἐν διδαχῇ;

7 ὅμως τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλὸς εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ διδῷ, πῶς γνωσθήσεται τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον;

8 καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρασκευάσηται εἰς πόλεμον;

9 οὕτω καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ εὔσημον λόγον δῶτε, πῶς γνωσθήσεται τὸ λαλούμενον; ἔσεσθε γὰρ εἰς ἀέρα λαλοῦντες.

10 τοσαῦτα εἰ τύχοι γένη φωνῶν ἔστιν ἐν κόσμῳ, καὶ οὐδὲν αὐτῶν ἄφωνον·

11 ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος καὶ ὁ λαλῶν ἐν ἐμοὶ βάρβαρος.

3 Ἐκεῖνος ὅμως, ποὺ προφητεύει, λέγει πρὸς τοὺς ἀνθρώπους λόγους, οἱ ὁποῖοι στηρίζουν εἰς τὴν πίστιν καὶ προτρέπουν καὶ ἐνισχύουν εἰς τὴν ἀρετὴν καὶ παρηγοροῦν εἰς τοὺς πειρασμούς.

4 Ἐκεῖνος ποὺ λαλεῖ γλῶσσαν, αἰσθάνεται βέβαια τὴν ἐπενέργειαν τοῦ Ἁγίου Πνεύματος, ἡ ὁποία θερμαίνει καὶ ἐμπνέει τὸ ἐσωτερικόν του. Ἀλλ' ἡ ἐπενέργεια αὐτὴ οἰκοδομεῖ μόνον τὸν ἑαυτόν του. Ἐκεῖνος ὅμως, ποὺ προφητεύει καὶ διδάσκει τὰς ἀληθείας τῆς πίστεως, οἰκοδομεῖ ὁλόκληρον σύναξιν πιστῶν.

5 Ἀφοῦ δὲ τὸ θέλετε σεῖς, τὸ θέλω καὶ ἐγὼ νὰ λαλῆτε ὅλοι σας γλώσσας, περισσότερον ὅμως θέλω νὰ προφητεύετε. Διότι ἀνώτερος ἐξ ἐπόψεως τῆς ὠφελείας ποὺ γίνεται εἰς τοὺς ἀδελφούς, εἶναι ἐκεῖνος ποὺ προφητεύει καὶ διδάσκει, παρὰ ἐκεῖνος ποὺ λαλεῖ γλώσσας, ἐκτὸς ἐὰν ὁ ἴδιος διερμηνεύῃ καὶ ἐξηγῇ τὰ ὅσα λέγει, ὥστε ἡ σύναξις τῶν πιστῶν κατανοοῦσα τὰ λεγόμενα νὰ λάβῃ οἰκοδομὴν καὶ ὠφέλειαν.

6 Τώρα ὅμως, ἀδελφοί, ἐὰν ἔλθω πρὸς σᾶς καὶ ὁμιλῶ γλώσσας, ποὺ δὲν τὰς καταλαβαίνετε, τί θὰ σᾶς ὠφελήσω, ἐὰν δὲν σᾶς ὁμιλήσω ἢ μὲ ἀποκάλυψιν ἢ μὲ γνῶσιν καταληπτὴν εἰς ὅλους τοὺς πιστοὺς ἢ μὲ προφητείαν ἢ μὲ διδασκαλίαν;

7 Τὰ ἄψυχα μουσικὰ ὄργανα, καίτοι εἶναι ἄψυχα, ὅμως ὅταν βγάνουν φωνὴν καὶ παράγουν ἦχον, εἴτε αὐλὸς εἶναι τὸ ὄργανον, εἴτε κιθάρα, ἐὰν δὲν δώσουν διάκρισιν εἰς τοὺς ἤχους καὶ δὲν διαχωρίσουν τοὺς τόνους, πῶς θὰ γίνῃ ἀντιληπτὸν τὸ μουσικὸν μέλος, ποὺ παίζεται μὲ τὸν αὐλὸν ἢ μὲ τὴν κιθάραν;

8 Διότι καὶ ἐὰν κάποια σάλπιγγα δώσῃ ἄγνωστον καὶ χωρὶς σημασίαν σάλπισμα, ποῖος θὰ παρασκευασθῇ διὰ νὰ πολεμήσῃ καὶ λάβῃ μέρος εἰς τὴν μάχην;

9 Ἔτσι καὶ σεῖς μὲ τὸ χάρισμα τῆς γλώσσης, ἐὰν δὲν εἴπετε λόγον σαφῆ καὶ καταληπτόν, πῶς θὰ καταλάβουν οἱ ἄλλοι ἐκεῖνο, ποὺ λέγετε; Θὰ λέγετε χωρὶς καμμίαν ὠφέλειαν, διότι τότε θὰ ὁμιλῆτε εἰς τὸν ἀέρα καὶ θὰ ματαιοπονῆτε.

10 Τόσον πολλά — ἂν τύχῃ κανεὶς νὰ ξεύρῃ πόσα — εἴδη γλωσσῶν ὑπάρχουν εἰς τὸν κόσμον. Καὶ ἡ κάθε μία γλῶσσα ἔχει τὴν σημασίαν της καὶ ἐκεῖνοι ποὺ τὴν ξεύρουν, συνεννοοῦνται μὲ αὐτήν.

11 Ἐὰν λοιπὸν δὲν γνωρίζω τὴν σημασίαν τῆς γλώσσης, θὰ εἶμαι βάρβαρος δι' ἐκεῖνον, ποὺ ὁμιλεῖ τὴν ξένην γλῶσσαν, καθὼς καὶ αὐτὸς ὁ ξενόγλωσσος θὰ εἶναι δι' ἐμὲ βάρβαρος.

[4]) 17 - 19. [5]) Ἀρ. ια΄ 29. 1 Κρ. ιδ΄ 1. 12. 13. 19. 26. 31. Ἐφ. δ΄ 12. [6]) ιβ΄ 8. 28. [9]) θ΄ 26. [10]) ιε΄ 37.

12 οὕτω καὶ ὑμεῖς ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς ἐκκλησίας ζητεῖτε ἵνα περισσεύητε.

13 Διόπερ ὁ λαλῶν γλώσσῃ προσευχέσθω ἵνα διερμηνεύῃ.

14 ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι.

15 τί οὖν ἐστι; προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ.

16 ἐπεὶ ἐὰν εὐλογήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ; ἐπειδὴ τί λέγεις οὐκ οἶδε·

17 σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται.

18 εὐχαριστῶ τῷ Θεῷ μου πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν·

19 ἀλλ' ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ.

20 Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε.

21 ἐν τῷ νόμῳ γέγραπται ὅτι ***ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ'*** *οὕτως* ***εἰσακούσονταί*** *μου λέγει Κύριος.*

12 Ἔτσι καὶ σεῖς, ἀφοῦ μὲ πολὺν ζῆλον ἐπιδιώκετε τὰ πνευματικὰ χαρίσματα, νὰ ζητῆτε νὰ σᾶς δώσῃ ὁ Θεὸς περίσσια ἐκεῖνα τὰ χαρίσματα ποὺ συντελοῦν εἰς τὸ νὰ οἰκοδομῆται ἡ Ἐκκλησία.

13 Ἀκριβῶς δὲ δι' αὐτὸ ἐκεῖνος, ποὺ ἔχει τὸ χάρισμα τοῦ νὰ ὁμιλῇ γλῶσσαν, ἂς προσεύχεται νὰ τοῦ δοθῇ καὶ τὸ χάρισμα τοῦ νὰ διερμηνεύῃ τὴν γλῶσσαν.

14 Διότι, ἐὰν προσεύχωμαι μὲ τὸ χάρισμα τῆς γλώσσης, προσεύχεται μὲν ἡ ψυχή μου, ποὺ εὑρίσκεται ὑπὸ τὴν ἐπίδρασιν τοῦ Πνεύματος καὶ αἰσθάνεται τὸν ἑαυτόν της ἑνωμένον μὲ τὸ Πνεῦμα, ἀλλ' ὁ νοῦς μου δὲν κατανοεῖ ἐκεῖνα ποὺ λέγω καὶ συνεπῶς παραμένει ἄκαρπος καὶ χωρὶς ὠφέλειαν.

15 Τί λοιπὸν εἶναι τὸ ὠφελιμώτερον καὶ τὸ περισσότερον καρποφόρον; Θὰ προσευχηθῶ μὲ τὸ πνευματικὸν χάρισμα, ἀλλὰ θὰ προσευχηθῶ καὶ μὲ τὸν νοῦν, κατανοῶν καὶ ἐξηγῶν τὰ λεγόμενα. Θὰ ψάλω μὲ τὸ πνευματικὸν χάρισμα, θὰ ψάλω ὅμως καὶ μὲ τὸν νοῦν.

16 Καὶ πρέπει νὰ ψάλῃς καὶ μὲ τὸν νοῦν, μὲ λέξεις δηλαδὴ ποὺ ὅλοι τὰς ἐννοοῦν, διότι, ἐὰν δοξολογήσῃς τὸν Θεὸν μὲ τὸ πνευματικὸν χάρισμα τῆς γλώσσης, ποὺ δὲν τὴν ἐννοεῖ κανείς, τότε ἐκεῖνος, ποὺ ἔχει τὴν θέσιν τοῦ ἀκροατοῦ, πῶς θὰ εἴπῃ τὸ Ἀμὴν διὰ τὴν εὐχαριστίαν σου; Ἀσφαλῶς δὲν θὰ τὸ εἴπῃ, διότι δὲν γνωρίζει τί λέγεις.

17 Ἡ ἐμπνευσμένη εὐχαριστία σου λοιπὸν πηγαίνει χαμένη. Διότι σὺ μὲν καλὰ εὐχαριστεῖς τὸν Θεόν, ἀλλ' ὁ ἄλλος, ἀφοῦ δὲν νοιώθει τὰ ὅσα λέγεις, δὲν οἰκοδομεῖται πνευματικῶς.

18 Εὐχαριστῶ τὸν Θεόν μου, διότι μοῦ ἔδωκε τὸ χάρισμα τῶν γλωσσῶν καὶ ὁμιλῶ γλώσσας περισσότερον ἀπὸ ὅλους σας.

19 Ἐν τούτοις εἰς τὴν σύναξιν τῶν πιστῶν προτιμῶ νὰ εἴπω πέντε λόγους, ποὺ νὰ τοὺς καταλαβαίνῃ ὁ νοῦς μου, διὰ νὰ διδάξω καὶ ἄλλους, παρὰ νὰ εἴπω μὲ τὸ χάρισμα τῆς γλώσσης χιλιάδας λόγους, ποὺ δὲν τοὺς νοιώθει κανείς.

20 Καὶ διὰ νὰ τελειώνω μὲ τὸ ζήτημα αὐτό, ἀδελφοί, σᾶς προτρέπω νὰ μὴ συμπεριφέρεσθε σὰν νὰ εἶσθε ἀκόμη παιδιὰ εἰς τὸ μυαλό, ἀνίκανοι νὰ σκεφθῆτε σοβαρὰ καὶ συνετά, ἀλλὰ νὰ γίνεσθε μόνον ὡς πρὸς τὴν κακίαν ἀπονήρευτοι καὶ ἄθῷοι σὰν τὰ νήπια. Εἰς τὰ μυαλὰ ὅμως καὶ τὴν φρόνιμον καὶ συνετὴν σκέψιν φροντίζετε πάντοτε νὰ γίνεσθε τέλειοι ἄνδρες.

21 Σκεφθῆτε καὶ τώρα ὡριμώτερα. Εἰς τὴν Παλαιὰν Διαθήκην ἔχει γραφῆ, ὅτι μὲ ἀνθρώπους ποὺ ὁμιλοῦν ξένας γλώσσας καὶ μὲ χείλη ξένων λαῶν θὰ ὁμιλήσω πρὸς τὸν λαὸν αὐτόν, ἀλλ' οὐδὲ μὲ τὸν τρόπον αὐτὸν θὰ μὲ ἀκούσουν, λέγει ὁ Κύριος.

[12-13]) 1 - 5. [15]) Ἐφ. ε΄ 19. Κλ. γ΄ 16. [16]) 23. — Νεμ. η΄ 6. [19]) 5. [20]) Ῥμ. ιϛ΄ 19. Ἐφ. δ΄ 14. Μτ. ι΄ 16. [21]) (Δτ. κη΄ 49). Ἡσ. κη΄ 11. 12. Ῥμ. γ΄ 19. Ἰν. ι΄ 34.

22 ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις, ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν.

22 Ὥστε αἱ ξέναι γλῶσσαι δίδονται διὰ νὰ εἶναι θαῦμα καὶ ὑπερφυσικὸν σημάδι ὄχι εἰς ἐκείνους ποὺ πιστεύουν, ἀλλ' εἰς τοὺς ἀπίστους διὰ νὰ παρακινηθοῦν ἀπὸ αὐτὸ καὶ νὰ πιστεύσουν. Ἡ προφητεία ὅμως καὶ τὸ διδακτικὸν χάρισμα δίδεται ὄχι διὰ τοὺς ἀπίστους, ἀλλὰ δι' ἐκείνους ποὺ πιστεύουν, διὰ νὰ φωτισθοῦν καὶ οἰκοδομηθοῦν περισσότερον.

23 Ἐὰν οὖν συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ καὶ πάντες γλώσσαις λαλῶσιν, εἰσέλθωσι δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν ὅτι μαίνεσθε;

23 Ἐὰν λοιπὸν συναθροισθῇ εἰς τὸ αὐτὸ μέρος ὁλόκληρος ἡ Ἐκκλησία τῶν πιστῶν καὶ ὅλοι ὁμιλοῦν γλώσσας, ἔμβουν δὲ μέσα ἄνθρωποι, ποὺ δὲν ξεύρουν τί εἶναι τὰ πνευματικὰ χαρίσματα, ἢ ἄνθρωποι ἄπιστοι, δὲν θὰ εἴπουν, ὅτι ἐπάθατε μανίαν καὶ εἶσθε τρελλοί;

24 ἐὰν δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων,

24 Ἐὰν ὅμως ὅλοι προφητεύουν, ἔμβῃ δὲ εἰς τὸν τόπον τῆς συνάξεως κάποιος ἄπιστος ἢ κάποιος ποὺ δὲν ἔχει ἰδέαν περὶ χαρισμάτων, φανερώνεται μὲ τὸ προφητικὸν χάρισμα ἀπὸ ὅλους ὅ,τι ἔχει ὁ ξένος αὐτὸς εἰς τὴν καρδίαν του, ἐξετάζεται καὶ ἐρευνᾶται ἀπὸ ὅλους τὸ ἐσωτερικὸν τοῦ ἀνθρώπου αὐτοῦ.

25 καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστι.

25 Καὶ ἔτσι τὰ ἀπόκρυφα τῆς καρδίας του γίνονται φανερά. Καὶ τὸ ἀποτέλεσμα θὰ εἶναι, ὅτι αὐτός, ἀφοῦ πέσῃ μὲ τὸ πρόσωπον εἰς τὴν γῆν, θὰ προσκυνήσῃ τὸν Θεὸν καὶ θὰ διακηρύττῃ δημοσίᾳ, ὅτι πραγματικῶς ὑπάρχει μεταξύ σας ὁ Θεός.

Στίχ. 26-40. Πρακτικοὶ κανόνες διὰ τὴν καλὴν χρῆσιν τῶν χαρισμάτων.

26 Τί οὖν ἐστιν, ἀδελφοί; ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν ἔχει· πάντα πρὸς οἰκοδομὴν γινέσθω.

26 Σύμφωνα λοιπὸν μὲ αὐτά, ποῖον εἶναι τὸ ὠφέλιμον, ἀδελφοί; Ὅταν συναθροίζεσθε πρὸς λατρείαν καὶ κοινὴν προσευχήν, καθένας ἀπὸ σᾶς εἴτε ἔχει ἀπὸ ἔμπνευσιν τοῦ Ἁγίου Πνεύματος ψαλμόν, εἴτε ἔχει διδασκαλίαν οἰκοδομητικήν, εἴτε ἔχει γλῶσσαν, εἴτε ἔχει κάποιαν ἀποκάλυψιν, εἴτε ἔχει χάρισμα νὰ διερμηνεύῃ τὰς γλώσσας, ὅ,τι καὶ ἐὰν ἔχῃ ὁ καθένας, ἂς γίνωνται ὅλα πρὸς οἰκοδομὴν τῆς συνάξεως.

27 εἴτε γλώσσῃ τις λαλεῖ, κατὰ δύο ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, καὶ εἷς διερμηνευέτω·

27 Εἴτε ὁμιλεῖ κανεὶς γλῶσσαν, ἂς ὁμιλοῦν ἀπὸ δύο ἢ τὸ πολὺ τρεῖς εἰς κάθε σύναξιν, καὶ κατὰ σειρὰν ὁ ἕνας κατόπιν ἀπὸ τὸν ἄλλον. Καὶ ἕνας ἂς διερμηνεύῃ τὰ ὅσα λέγει ἐκεῖνος, ποὺ ἔχει τὸ χάρισμα τῆς γλώσσης.

28 ἐὰν δὲ μὴ ᾖ διερμηνευτής, σιγάτω ἐν ἐκκλησίᾳ, ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ.

28 Ἐὰν ὅμως δὲν ὑπάρχῃ διερμηνεύς, τότε ἐκεῖνος, ποὺ ἔχει τὸ χάρισμα τῆς γλώσσης, ἂς σιωπᾷ κατὰ τὴν σύναξιν. Ἂς ὁμιλῇ δὲ μὲ τὸν ἑαυτόν του καὶ μὲ τὸν Θεόν, ὥστε μόνος αὐτὸς καὶ ὁ Θεὸς νὰ ἀκούῃ.

29 προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν·

29 Προφῆται δὲ δύο ἢ τρεῖς ἂς ὁμιλοῦν εἰς κάθε σύναξιν καὶ οἱ ἄλλοι ἂς ἀκούουν καὶ ἂς διακρίνουν, ἂν ὁ προφήτης εἶναι ἀληθὴς καὶ ὄχι πλανεμένος καὶ ἀγύρτης.

30 ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω.

30 Ἐὰν δὲ ἐν τῷ μεταξὺ γίνῃ ἀποκάλυψις εἰς ἄλλον ποὺ κάθηται, ὁ πρῶτος ἂς σιωπᾷ.

[22]) Πρ. β΄ 6 - 12. [23]) 16. Πρ. β΄ 13. [24]) Ἰν. ις΄ 8. 9. [25]) Ζχ. η΄ 23. Ἠσ. με΄ 14. Δν. β΄ 47. Ἰν. δ΄ 17 - 19. [26-27]) 5. Πρ. κα΄ 22. [28]) 2. 4.

31 δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι καὶ πάντες παρακαλῶνται·

31 Διότι ἠμπορεῖτε ὁ ἕνας κατόπιν τοῦ ἄλλου νὰ προφητεύετε καὶ νὰ διδάσκετε ὅλοι, διὰ νὰ μανθάνουν ὅλοι καὶ διὰ νὰ παρηγοροῦνται ὅλοι μὲ ἐκεῖνα ποὺ θὰ λέγουν οἱ περισσότεροι προφῆται.

32 καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται·

32 Εἶναι δὲ δυνατὸν νὰ σιωπᾷ ὁ ἕνας προφήτης διὰ νὰ δώσῃ τὴν θέσιν του εἰς τὸν ἄλλον. Διότι τὰ χαρίσματα τῆς προφητείας ὑποτάσσονται εἰς τοὺς προφήτας καὶ συνεπῶς οἱ προφῆται, ὅταν θέλουν, ἠμποροῦν νὰ σιωπήσουν.

33 οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ Θεός, ἀλλὰ εἰρήνης.

33 Καὶ ὑποτάσσονται τὰ χαρίσματα τῆς προφητείας, διότι ὁ Θεός, ποὺ τὰ δίδει, δὲν εἶναι Θεὸς ἀταξίας καὶ θορύβου, ἀλλὰ Θεὸς εἰρήνης.

34 Ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων, αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν· οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, καθὼς καὶ ὁ νόμος λέγει.

34 Σύμφωνα μὲ τὴν τάξιν καὶ εἰρήνην, ποὺ ἐπικρατεῖ εἰς ὅλας τὰς Ἐκκλησίας τῶν Χριστιανῶν, αἱ γυναῖκες σας εἰς τὰς συνάξεις τῶν πιστῶν ἂς σιωποῦν, διότι δὲν ἔχει ἐπιτραπῇ εἰς αὐτὰς νὰ ὁμιλοῦν, ἀλλὰ πρέπει νὰ ὑποτάσσωνται, καθὼς καὶ ὁ νόμος λέγει εἰς τὸ βιβλίον τῆς Γενέσεως.

35 εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν· αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν.

35 Ἐὰν δὲ θέλουν νὰ μάθουν κάτι, ποὺ ἐλέχθη εἰς τὴν σύναξιν καὶ δὲν τὸ ἐκατάλαβαν, ἂς ἐρωτοῦν δι' αὐτὸ εἰς τὸ σπίτι τοὺς ἄνδρας των. Διότι εἶναι ἀπρεπὲς καὶ ἄσχημον εἰς τὰς γυναῖκας νὰ ὁμιλοῦν εἰς τὴν σύναξιν τῶν πιστῶν.

36 ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν, ἢ εἰς ὑμᾶς μόνους κατήντησεν;

36 Αὐτὸ ἐπικρατεῖ καὶ εἰς τὰς ἄλλας Ἐκκλησίας. Διατί δὲν τὸ τηρεῖτε καὶ σεῖς; Ἢ μήπως ἡ Ἐκκλησία σας εἶναι ἡ μητέρα τῶν ἄλλων Ἐκκλησιῶν καὶ ἀπὸ σᾶς πρωτοεβγῆκεν ὁ λόγος τοῦ Θεοῦ; Ἢ εἰς σᾶς μόνους ἐκατάντησε καὶ ἐμείνατε οἱ μοναδικοὶ εἰς τὴν οἰκουμένην πιστοί, ὥστε ἀπὸ σᾶς νὰ ἐξαρτᾶται ἡ τακτοποίησις τῆς Ἐκκλησίας;

37 Εἴ τις δοκεῖ προφήτης εἶναι ἢ πνευματικός, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν, ὅτι τοῦ Κυρίου εἰσὶν ἐντολαί·

37 Ἐὰν κανεὶς νομίζῃ, ὅτι εἶναι προφήτης ἢ ὅτι ἔχει χάρισμα πνευματικόν, ἂς φωτισθῇ ἀπὸ τὸ χάρισμά του καὶ ἂς καταλάβῃ καλά, ὅτι ὅσα σᾶς γράφω εἶναι ἐντολαὶ τοῦ Κυρίου.

38 εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω.

38 Ἐὰν δὲ κανεὶς ἐπιμένῃ νὰ μὴ μανθάνῃ, ἂς μένῃ εἰς τὴν ἄγνοιαν καὶ ἂς ἔχῃ αὐτὸς τὴν βαρεῖαν εὐθύνην τῆς ἀγνοίας του.

39 Ὥστε, ἀδελφοί, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε·

39 Ὥστε, ἀδελφοί, ἐπιδιώκετε μὲ ζῆλον τὸ νὰ προφητεύετε, ἀλλὰ μὴ ἐμποδίζετε καὶ τὸ νὰ ὁμιλοῦν γλώσσας.

40 πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

40 Ὅλα ἂς γίνωνται κόσμια καὶ μὲ τάξιν.

[33]) 40. δ΄ 17. Ῥμ. ιε΄ 33. [34]) Γν. γ΄ 16. 1 Κρ. ια΄ 3. 16. 1 Τμ. β΄ 11. 12. Ττ. β΄ 5. [35-36]) ια΄ 5. 6. 1 Θσ. α΄ 8. [37-38]) γ΄ 1. 18. ς΄ 10. ια΄ 16. 2 Τμ. β΄ 7. 1 Ἰν. δ΄ 6. Ἰζ. γ΄ 2. [39-40]) 1 - 5. 33. Κλ. β΄ 5.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Στίχ. 1-28. Ἡ Ἀνάστασις τοῦ Κυρίου ἀπόδειξις τῆς ἀναστάσεως τῶν νεκρῶν.

Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε,

2 δι' οὗ καὶ σῴζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε.

3 παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς,

4 καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς,

5 καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα·

6 ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν·

7 ἔπειτα ὤφθη Ἰακώβῳ, εἶτα τοῖς ἀποστόλοις πᾶσιν·

8 ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί.

9 ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ·

10 χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι· καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα, οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί.

Σᾶς γνωστοποιῶ δέ, ἀδελφοί, τὸ εὐαγγέλιον ποὺ σᾶς ἐδίδαξα, τὸ ὁποῖον καὶ παρελάβετε, εἰς τὸ ὁποῖον καὶ στέκεσθε ἀπὸ τότε,

2 διὰ τοῦ ὁποίου καὶ θὰ σωθῆτε, ἐὰν τὸ κρατῆτε στερεά, ὅπως ἐγὼ σᾶς τὸ ἐκήρυξα, ἐκτὸς ἐὰν μάταια καὶ χωρὶς λόγον ἐπιστεύσατε. Ἐλησμονήσατε ἐν τούτοις μίαν οὐσιώδη ἀλήθειαν τοῦ εὐαγγελίου μου τούτου.

3 Διότι μὲ τὴν προφορικήν μου διδασκαλίαν σᾶς παρέδωκα πρῶτον ἐκεῖνο, ποὺ καὶ ἐγὼ παρέλαβον, ὅτι δηλαδὴ ὁ Χριστὸς ἀπέθανε διὰ τὰς ἁμαρτίας μας, σύμφωνα μὲ ὅσα ἐπροφητεύθησαν εἰς τὰς Γραφάς.

4 Καὶ ὅτι ἐτάφη καὶ ὅτι ἀνέστη τὴν τρίτην ἡμέραν σύμφωνα μὲ τὰς Γραφάς.

5 Καὶ ὅτι ἐνεφανίσθη μετὰ τὴν Ἀνάστασίν του εἰς τὸν Κηφᾶν, ἔπειτα δὲ εἰς τοὺς δώδεκα Ἀποστόλους.

6 Ἔπειτα ἐνεφανίσθη μίαν φορὰν εἰς περισσοτέρους ἀπὸ πεντακοσίους ἀδελφούς, ἀπὸ τοὺς ὁποίους ζοῦν ἕως τώρα οἱ περισσότεροι, μερικοὶ δὲ ἀπὸ αὐτοὺς καὶ ἀπέθαναν.

7 Ἔπειτα ἐνεφανίσθη εἰς τὸν Ἰάκωβον, ὕστερον εἰς ὅλους τοὺς Ἀποστόλους.

8 Τελευταῖον δὲ ἀπὸ ὅλους, σὰν εἰς ἔμβρυον ποὺ παράκαιρα ἀπεβλήθη ἀπὸ τὴν κοιλίαν τῆς μητρός του, ἐνεφανίσθη καὶ εἰς ἐμέ.

9 Διότι ἐγὼ εἶμαι ὁ πιὸ μικρὸς ἀπὸ ὅλους τοὺς Ἀποστόλους, ποὺ δὲν εἶμαι ἄξιος νὰ λέγωμαι Ἀπόστολος, διότι κατεδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ.

10 Διὰ τῆς χάριτος δὲ τοῦ Θεοῦ εἶμαι ὅ,τι εἶμαι τώρα, δηλαδὴ Ἀπόστολος ἴσος πρὸς τοὺς ἄλλους. Καὶ ἡ χάρις, τὴν ὁποίαν μοῦ ἔδειξεν ὁ Κύριος, δὲν ἔμεινεν ἄκαρπος καὶ χωρὶς ἀποτελέσματα, ἀλλὰ περισσότερον ἀπὸ ὅλους αὐτοὺς ἐκοπίασα. Δὲν εἰργάσθην δὲ τὸ ἔργον αὐτὸ ἐγώ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ, ποὺ εἶναι μαζί μου καὶ μὲ ἐνίσχυε.

ΙΕ΄. [1]) δ΄ 15. θ΄ 18. Γλ. α΄ 11. [2]) α΄ 18. Γλ. γ΄ 4. δ΄ 11. Ῥμ. α΄ 16. [3-4]) ια΄ 2. 23. Ῥμ. γ΄ 23 - 26. δ΄ 24. 25. Μτ. α΄ 21. Λκ. κδ΄ 25 - 27. 46. [5]) Λκ. κδ΄ 34. 36 - 43. Ἰν. κ΄ 19 - 29. κα΄ 1 - 23. [7]) Πρ. ιε΄ 13. κα΄ 18. [8]) Ἀρ. ιβ΄ 12. Ἰβ. γ΄ 16. 1 Κρ. θ΄ 1. [9]) Ἐφ. γ΄ 8. 1 Τμ. α΄ 13 - 15. Πρ. η΄ 3. [10]) Ῥμ. α΄ 5. 2 Κρ. ια΄ 5. 23. Γλ. β΄ 2. 9. Φλ. β΄ 16. 1 Θσ. γ΄ 5. Μτ. ι΄ 20.

11 εἴτε οὖν ἐγὼ εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν καὶ οὕτως ἐπιστεύσατε.

12 Εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσί τινες ἐν ὑμῖν ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν;

13 εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται·

14 εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν.

15 εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ Θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ Θεοῦ, ὅτι ἤγειρε τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται·

16 εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται.

17 εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν· ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν.

18 ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο.

19 εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν.

20 Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο.

11 Ἀφοῦ λοιπὸν καὶ εἰς τοὺς ἄλλους Ἀποστόλους καὶ εἰς ἐμὲ ἐνεφανίσθη ὁ Κύριος καὶ ὅλοι ἀπὸ ἐκεῖνον ἀνεδείχθημεν Ἀπόστολοί του, εἴτε ἐγὼ ἀσκῶ τὸ ἀποστολικὸν ἔργον, εἴτε ἐκεῖνοι, κατὰ τὸν ἴδιον τρόπον καὶ τὸ αὐτὸ Εὐαγγέλιον κηρύττομεν ὅλοι, καὶ ὅπως κηρύττομεν ἔτσι καὶ σεῖς ἐπιστεύσατε.

12 Ἐὰν δὲ ἀπὸ ὅλους τοὺς Ἀποστόλους κηρύττεται, ὅτι ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν, πῶς λέγουν μερικοὶ μεταξύ σας, ὅτι ἀνάστασις νεκρῶν δὲν ὑπάρχει καὶ ὅτι οἱ πεθαμένοι δὲν θὰ ἀναστηθοῦν;

13 Ἐὰν ἀνάστασις νεκρῶν δὲν ὑπάρχῃ, τότε λοιπὸν οὔτε ὁ Χριστὸς ἀνέστη, ἀφοῦ καὶ αὐτὸς εἶχε σῶμα σὰν τὸ ἰδικόν μας.

14 Ἐὰν δὲ ὁ Χριστὸς δὲν ἀνέστη, εἶναι χωρὶς πραγματικὸν περιεχόμενον καὶ χωρὶς νόημα τὸ κήρυγμά μας, κούφια καὶ χωρὶς οὐσιαστικὸν περιεχόμενον εἶναι καὶ ἡ πίστις σας, ἀφοῦ καὶ τὸ κήρυγμά μας καὶ ἡ πίστις σας θεμέλιον καὶ βάσιν ἔχει τὴν Ἀνάστασιν τοῦ Χριστοῦ.

15 Ἐπὶ πλέον ἡμεῖς οἱ Ἀπόστολοι συλλαμβανόμεθα καὶ ψευδομάρτυρες, οἱ ὁποῖοι δίδομεν μαρτυρίαν ψευδῆ διὰ τὸν Θεόν, διότι ἐμαρτυρήσαμεν εἰς βάρος τοῦ Θεοῦ, ὅτι ἀνέστησε τὸν Χριστόν, τὸν ὁποῖον δὲν ἀνέστησε. Καὶ ἀσφαλῶς δὲν τὸν ἀνέστησεν, ἐὰν ὑποτεθῇ, ὅτι οἱ νεκροὶ δὲν ἀνασταίνονται.

16 Διότι ἐὰν οἱ νεκροὶ δὲν ἀνασταίνωνται, οὔτε ὁ Χριστὸς ἀνέστη.

17 Ἐὰν δὲ ὁ Χριστὸς δὲν ἀνέστη, εἶναι ματαία καὶ κούφια ἀπὸ περιεχόμενον ἡ πίστις σας. Ἀκόμη εἶσθε βυθισμένοι εἰς τὰς ἁμαρτίας σας.

18 Συνεπῶς καὶ ἐκεῖνοι, ποὺ ἀπέθαναν μὲ τὴν πίστιν καὶ ἐλπίδα τους εἰς τὸν Χριστόν, ἐχάθησαν.

19 Ἀλλὰ καὶ ἡμεῖς, ἐὰν εἰς τὴν ζωὴν αὐτὴν ἔχωμεν στηρίξει τὰς ἐλπίδας μας μόνον εἰς τὸν Χριστόν, εἴμεθα οἱ περισσότερον ἄθλιοι καὶ ἀξιολύπητοι ἀπὸ ὅλους τοὺς ἀνθρώπους.

20 Ἀλλ' ὄχι· δὲν εἴμεθα οἱ ἐλεεινότεροι ἀπὸ τοὺς ἀνθρώπους. Διότι τώρα ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Ὅπως οἱ πρώϊμοι καρποί, ποὺ ὡριμάζουν προτήτερα ἀπὸ τοὺς ἄλλους καὶ μᾶς προαναγγέλλουν, ὅτι θὰ ἀκολουθήσῃ καὶ ὁλόκληρος ἡ συγκομιδή, ἔτσι καὶ ὁ Χριστός, ἀνέστη πρῶτος ἀπὸ τοὺς ἄλλους καὶ βεβαιώνει μὲ τὴν Ἀνάστασίν του, ὅτι θὰ ἀκολουθήσῃ ἔπειτα ἡ ἀνάστασις καὶ τῶν ἄλλων ἀποθαμένων.

---

[11]) ιδ΄ 15. Πρ. β΄ 32. ιγ΄ 32. [12]) 2 Τμ. β΄ 18. Πρ. ιζ΄ 32. κγ΄ 6 - 8. [13-14]) 16 - 18. 29 - 32. ς΄ 14. Ῥμ. δ΄ 14. [15]) 11. Πρ. α΄ 22. [16-18]) 13. 14. ια΄ 30. Ῥμ. δ΄ 25. Ἐφ. β΄ 1 - 6. 1 Θσ. δ΄ 13 - 15. Ἰν. η΄ 21. [19]) 32. Ῥμ. ε΄ 2 - 5. Ἀπ. ιδ΄ 13. Μτ. ε΄ 10. 12. [20]) 23. Κλ. α΄ 18. Ἀπ. α΄ 5. Πρ. κς΄ 23. Ῥμ. ια΄ 16. ις΄ 5.

21 ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν.

21 Περὶ αὐτοῦ δὲν πρέπει νὰ ἀμφιβάλλωμεν. Διότι, ἀφοῦ διὰ μέσου ἀνθρώπου, τοῦ πρώτου Ἀδάμ, ποὺ παρέβη τὴν θείαν ἐντολήν, ἦλθεν εἰς τὸ ἀνθρώπινον γένος ὁ θάνατος, ἔτσι διὰ μέσου ἀνθρώπου, τοῦ νέου Ἀδὰμ τῆς χάριτος, θὰ ἔλθῃ καὶ ἡ ἀνάστασις τῶν νεκρῶν.

22 ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται.

22 Καθὼς δηλαδὴ ἕνεκα τῆς σχέσεως καὶ ἑνώσεώς των μὲ τὸν Ἀδὰμ ὅλοι οἱ ἀπόγονοί του ἀποθνήσκουν, ἔτσι καὶ διὰ μέσου τῆς σχέσεως καὶ ἑνώσεώς των μὲ τὸν Χριστὸν ὅλοι θὰ ζωοποιηθοῦν.

23 ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ Χριστός, ἔπειτα οἱ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ·

23 Ὁ καθένας δὲ εἰς τὸ τάγμα του. Πρῶτος ἀνεστήθη σὰν πρώϊμος καρπὸς καὶ πρωτολοῦβι τῆς ἀναστάσεως ὁ Χριστός. Ἔπειτα ὅσοι ἀνήκουν εἰς τὸν Χριστόν, θὰ ἀναστηθοῦν κατὰ τὴν ἔνδοξον παρουσίαν του.

24 εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρί, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν.

24 Ἔπειτα θὰ ἔλθῃ τὸ τέλος, ὅταν τελειώσῃ πλέον τὸ ἀρχιερατικὸν ἔργον τοῦ Χριστοῦ καὶ θὰ ἔχῃ συντελεσθῆ ἡ θεία οἰκονομία τῆς σωτηρίας τῶν ἀνθρώπων. Ὁπότε καὶ θὰ παραδώσῃ ὁ Χριστὸς ὡς ἄνθρωπος τὴν βασιλείαν εἰς τὸν Θεὸν καὶ Πατέρα. Τότε πλέον θὰ ἔχῃ καταργήσει ὁ Χριστὸς μὲ τὸ βασιλικὸν καὶ ἀρχιερατικὸν ἀξίωμά του κάθε ἀρχὴν καὶ κάθε ἐξουσίαν καὶ δύναμιν. Μέχρι τῆς στιγμῆς ὅμως αὐτῆς θὰ ἀσκῇ τὸ ἀρχιερατικὸν καὶ βασιλικόν του ἀξίωμα.

25 δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ.

25 Διότι πρέπει αὐτὸς νὰ βασιλεύῃ μέχρις ὅτου θέσῃ ὅλους τοὺς ἐχθροὺς κάτω ἀπὸ τοὺς πόδας του.

26 ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος·

26 Τελευταῖος ἀπὸ ὅλους τοὺς ἐχθροὺς καταργεῖται καὶ ἐκμηδενίζεται ὁ θάνατος.

*27 **πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ.** ὅταν δὲ εἴπῃ ὅτι **πάντα ὑποτέτακται,** δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα.*

27 Διότι, καθὼς διακηρύττεται εἰς τοὺς ψαλμούς, ὅλα, ἄρα δὲ καὶ τὸν θάνατον, ὑπέταξεν ὁ Πατὴρ κάτω ἀπὸ τοὺς πόδας τοῦ Χριστοῦ. Ὅταν δὲ ὁ Θεὸς καὶ Πατὴρ εἴπῃ εἰς τὸν Χριστόν, ὅτι ὅλα πλέον ἔχουν ὑποταχθῆ εἰς σέ, θὰ εἶναι φανερὸν ὅτι ἀπὸ τὴν ὑποταγὴν αὐτὴν θὰ ἐξαιρῆται ὁ Θεὸς καὶ Πατήρ, ὁ ὁποῖος ὑπέταξεν εἰς τὸν Χριστὸν τὰ πάντα.

28 ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.

28 Ὅταν δὲ ὑποταχθοῦν εἰς αὐτὸν τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς θὰ ἀποθέσῃ πλέον τὸ ἀρχιερατικὸν καὶ βασιλικὸν ἀξίωμα καὶ θὰ ὑποταχθῇ κατὰ τὴν ἀνθρωπίνην του φύσιν εἰς ἐκεῖνον, ποὺ ὑπέταξεν εἰς αὐτὸν τὰ πάντα, διὰ νὰ εἶναι ὁ Θεὸς τὰ πάντα εἰς ὅλους, ὥστε ὁ καθένας νὰ ἀναγνωρίζῃ καὶ νὰ διακηρύττῃ, ὅτι ὁ Θεὸς εἶναι τὸ πᾶν δι' ἐμέ.

Στίχ. 29-34. Ἡ συμπεριφορὰ τῶν Ἀποστόλων καὶ τῶν πιστῶν ἀπόδειξις τῆς ἀναστάσεως τῶν νεκρῶν.

29 Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν, εἰ ὅλως νεκροὶ οὐκ

29 Τέτοιο ἔνδοξον μέλλον καὶ τέτοια ἀνάστασις μᾶς περιμένει. Διότι, ἐὰν δὲν ἀνασταίνωνται διόλου οἱ νεκροί, τί θὰ κάμουν καὶ ποίαν ὠφέλειαν θὰ ἔχουν ὅσοι ἀβάπτιστοι μέχρι τῶν τελευ-

[21-22]) 45 - 49. Ῥμ. ε΄ 12 - 19. ς΄ 23. Ἰν. ε΄ 28. 29. [23]) 20. 1 Θσ. β΄ 19. γ΄ 13. δ΄ 15. 16. Ἀπ. κ΄ 5. Μτ. κδ΄ 3. [24]) Δν. β΄ 44. ζ΄ 14. Ἀπ. κ΄ 11 - 15. [25]) Ψ. ρθ΄ 1. Ἑβ. α΄ 13. ι΄ 13. Πρ. γ΄ 21. Μτ. κβ΄ 44. [26]) 54. 55. Ἀπ. κ΄ 14. κα΄ 4. [27]) Ψ. η΄ 7. Ἑβ. β΄ 8. Μτ. κη΄ 18. [28]) γ΄ 23. ια΄ 3. ιβ΄ 6. Ἐφ. α΄ 23. Κλ. γ΄ 11. [29]) 13. 14. 16 - 19.

ἐγείρονται; τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν;

ταίων των στιγμῶν δέχονται νὰ ὑποστοῦν τὸ βάπτισμα τοῦ μαρτυρίου καὶ τοῦ αἵματος καὶ θυσιάζουν τὴν ζωήν τους μὲ τὴν ἐλπίδα καὶ πίστιν, ὅτι θὰ ἑνωθοῦν μὲ τὴν Ἐκκλησίαν τῶν πεθαμένων, οἱ ὁποῖοι ὅμως εἶναι ζωντανοὶ εἰς τοὺς οὐρανοὺς καὶ μίαν ἡμέραν θὰ ἀναστηθοῦν; Πρὸς τί βαπτίζονται τὸ βάπτισμα τοῦ αἵματος, ἀφοῦ μὲ αὐτὸ δὲν πρόκειται νὰ ἔμβουν εἰς Ἐκκλησίαν, ποὺ ἀποτελεῖται ἀπὸ ζῶντας ἀνθρώπους, ἀλλὰ ἐμβαίνουν δι' αὐτοῦ εἰς Ἐκκλησίαν νεκρῶν, ποὺ δὲν θὰ ἀναστηθοῦν ποτέ;

30 τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν;

30 Πρὸς τί καὶ ἡμεῖς οἱ Ἀπόστολοι νὰ ἐκθέτωμεν εἰς κίνδυνον τὴν ζωήν μας εἰς κάθε ὥραν;

31 καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

31 Κάθε ἡμέραν ἀντικρύζω κινδύνους τῆς ζωῆς τέτοιους, ποὺ χάνω κάθε ἐλπίδα, ὅτι θὰ ἀποφύγω τὸν θάνατον. Καὶ ἔτσι κατὰ πρόθεσιν πεθαίνω κάθε ἡμέραν, μὰ τὴν καύχησιν, τὴν ὁποίαν ἔχω διὰ σᾶς διὰ μέσου τῆς βοηθείας καὶ χάριτος τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας.

*32 εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος; εἰ νεκροὶ οὐκ ἐγείρονται, **φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν.***

32 Ἐὰν ἀπὸ ἐλατήρια καὶ ὑπολογισμούς, ποὺ κάνουν οἱ ἄνθρωποι, οἱ ὁποῖοι ζητοῦν ἐπιγείους τιμὰς καὶ ἀπολαβάς, ἐκινδύνευσα νὰ κατασπαραχθῶ μαχόμενος πρὸς θηρία εἰς τὴν Ἔφεσον, τί ἐκέρδησα ἀπὸ αὐτό; Ἐὰν οἱ νεκροὶ δὲν ἀνασταίνωνται, τότε ἂς ἐφαρμόσωμεν ἐκεῖνο, ποὺ λέγουν οἱ ἄπιστοι καὶ ὑλισταί: Ἂς φάγωμεν καὶ ἂς πίωμεν, διότι αὔριον πεθαίνομεν.

33 μὴ πλανᾶσθε· φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί.

33 Μὴ πλανᾶτε τὸν ἑαυτόν σας μὲ ψέματα. Καὶ μὴ συναναστρέφεσθε μὲ τοὺς παλαιοὺς φίλους, ποὺ εἴχετε ὅταν ἦσθε εἰδωλολάτραι. Μὴ λησμονῆτε, ὅτι διαφθείρουσι τὰ καλὰ ἤθη αἱ κακαὶ συναναστροφαί.

34 ἐκνήψατε δικαίως καὶ μὴ ἁμαρτάνετε· ἀγνωσίαν γὰρ Θεοῦ τινες ἔχουσι· πρὸς ἐντροπὴν ὑμῖν λέγω.

34 Συνέλθετε εἰς τὸν ἑαυτόν σας, ὅπως εἶναι δίκαιον καὶ συμφέρον σας. Καὶ μὴ ἁμαρτάνετε. Σᾶς κάνω τὴν προτροπὴν αὐτήν, διότι μερικοὶ λόγῳ τῆς ἀπιστίας των εἰς τὴν ἀνάστασιν, ἔχουν ἄγνοιαν τῆς δυνάμεως ἀλλὰ καὶ τῆς δικαιοσύνης καὶ ἀγαθότητος τοῦ Θεοῦ. Σᾶς ὁμιλῶ ἔτσι διὰ νὰ ἐντραπῆτε.

Στίχ. 35-49. Πῶς θὰ εἶναι τὰ ἀναστημένα σώματα.

35 Ἀλλ' ἐρεῖ τις· πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται;

35 Ἀλλὰ θὰ προβάλῃ κανεὶς ἔνστασιν καὶ θὰ εἴπῃ: Μὲ ποίαν δύναμιν καὶ μὲ ποῖον τρόπον ἀνασταίνονται οἱ νεκροί; Μὲ ποῖον δὲ σῶμα ἐπανέρχονται οὗτοι εἰς τὴν ζωήν;

36 ἄφρον, σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται ἐὰν μὴ ἀποθάνῃ·

36 Ἀνόητε, ἐκεῖνο ποὺ σπέρνεις σύ, δὲν λαμβάνει ζωήν, ἐὰν δὲν ἀποθάνῃ καὶ δὲν σαπῇ μέσα εἰς τὴν γῆν.

37 καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι σίτου ἤ τινος τῶν λοιπῶν·

37 Καὶ αὐτὸ ποὺ σπέρνεις δὲν εἶναι τὸ σῶμα ποὺ πρόκειται νὰ φυτρώσῃ, ἀλλὰ σπέρνεις γυμνὸν καὶ χωρὶς φύλλα κόκκον σίτου ἐπὶ παραδείγματι ἢ κάποιου ἄλλου ἀπὸ τοὺς λοιποὺς σπόρους.

[30-31]) δ΄ 9. 11. 12. 2 Κρ. δ΄ 11. ζ΄ 4. 14. ια΄ 23 - 27. 1 Θσ. β΄ 19. - Γν. μβ΄ 15. 16. [32]) Ἠσ. κβ΄ 13. Σφ. Σλ. β΄ 1 - 9. 1 Κρ. ιζ΄ 9. 2 Τμ. δ΄ 17. Ττ. α΄ 12. Πρ. ιθ΄ 23 - 40. κ΄ 19. [33]) ς΄ 9. θ΄ 8. Πρ. ιζ΄ 28. [34]) Σφ. Σλ. ιγ΄ 1. 1 Κρ. ς΄ 5. Ῥμ. ιγ΄ 11. Πρ. κς΄ 8. Μτ. κβ΄ 29. [35]) Ἰκ. β΄ 18. Ῥμ. θ΄ 19. [36]) Ἰν. ιβ΄ 24. Λκ. ια΄ 40. ιβ΄ 20. [37-38]) ιδ΄ 10. Μτ. ς΄ 28. 30.

38 ὁ δὲ Θεὸς αὐτῷ δίδωσι σῶμα καθὼς ἠθέλησε, καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα.

38 Ὁ Θεὸς δὲ δίδει εἰς τὸν κόκκον αὐτὸν σῶμα, καθὼς ἀπὸ τὴν ἀρχὴν τῆς δημιουργίας ἠθέλησε καὶ διέταξε, καὶ εἰς καθένα ἀπὸ τοὺς σπόρους τὸ ἰδιαίτερόν του σῶμα.

39 οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ, ἀλλὰ ἄλλη μὲν ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πετεινῶν.

39 Ὅλα ὅσα ἔχουν σάρκα, δὲν ἔχουν τὴν ἰδίαν μορφὴν καὶ τὸ αὐτὸ κρέας ὅλα. Ἀλλ' ἄλλη μὲν εἶναι ἡ σάρκα τοῦ ἀνθρώπου, ἄλλη δὲ ἡ σάρκα τῶν κτηνῶν, ἄλλη δὲ τῶν ψαριῶν, ἄλλη δὲ τῶν πετεινῶν.

40 καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων.

40 Ὑπάρχουν καὶ σώματα ἐπουράνια καὶ σώματα ἐπίγεια. Ἀλλ' ἄλλη μὲν εἶναι ἡ λάμψις τῶν ἐπουρανίων, ἄλλη δὲ ἡ λάμψις τῶν ἐπιγείων.

41 ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ.

41 Ἄλλη εἶναι ἡ λάμψις καὶ τὸ φῶς τοῦ ἡλίου καὶ ἄλλη ἡ λάμψις τῆς σελήνης καὶ ἄλλη ἡ λάμψις τῶν ἀστέρων. Διότι ἄστρον ἀπὸ ἄστρον διαφέρει εἰς τὴν λάμψιν.

42 οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ·

42 Ἔτσι κατ' ἀναλογίαν θὰ γίνῃ καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. Σπέρνεται τὸ σῶμα εἰς τὸν τάφον εἰς κατάστασιν φθορᾶς. Ἐγείρεται εἰς κατάστασιν ἀφθαρσίας.

43 σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει·

43 Σπέρνεται καὶ θάπτεται εἰς κατάστασιν ἀτιμίας καὶ δυσωδίας. Ἐγείρεται εἰς κατάστασιν δόξης. Σπέρνεται εἰς κατάστασιν ἀσθενείας, ἐγείρεται γεμᾶτο δύναμιν.

44 σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν. ἔστι σῶμα ψυχικόν, καὶ ἔστι σῶμα πνευματικόν.

44 Σπέρνεται σῶμα, ποὺ ἐζωοποιεῖτο καὶ διευθύνετο ἀπὸ τὰς κατωτέρας ζωϊκὰς τῆς ψυχῆς δυνάμεις. Ἐγείρεται σῶμα, ποὺ θὰ ζωοποιῆται καὶ θὰ διευθύνεται ἀπὸ τὰς πνευματικὰς δυνάμεις τῆς ψυχῆς. Ὑπάρχει σῶμα ζωϊκὸν καὶ ὑπάρχει σῶμα πνευματικόν.

*45 οὕτω καὶ γέγραπται· **ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν**· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν.*

45 Ἔτσι εἶναι καὶ γραμμένον εἰς τὴν Γένεσιν: Ἔγινεν ὁ πρῶτος ἄνθρωπος, ὁ Ἀδάμ, ἐμψυχωμένος μὲ ψυχὴν ζωντανήν, ποὺ δίδει ζωὴν καὶ εἰς τὸ σῶμα. Ὁ ἔσχατος Ἀδάμ, ὁ Κύριος δηλαδή, ποὺ ἐδέχθη ὅλην τὴν παρουσίαν καὶ κατοίκησιν τοῦ Ἁγίου Πνεύματος, ἔγινε γεμᾶτος Πνεῦμα, ποὺ μεταδίδει ζωὴν πνευματικήν.

46 ἀλλ' οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν.

46 Ἀλλὰ δὲν ἔγινε πρῶτον τὸ πνευματικὸν σῶμα, ἀλλὰ τὸ ζωϊκόν, εἰς τὸ ὁποῖον κυριαρχοῦν αἱ κατώτεραι τῆς ψυχῆς δυνάμεις. Ἔπειτα ἔγινε τὸ πνευματικὸν σῶμα, ποὺ κυβερνᾶται ἀπὸ τὰς ἀνωτέρας δυνάμεις τῆς ψυχῆς, τὰς ἐξαγιαζομένας ἀπὸ τὸ Ἅγιον Πνεῦμα.

47 ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ.

47 Ὁ πρῶτος ἄνθρωπος ἐπλάσθη ἀπὸ τὴν γῆν, χωματένιος. Ὁ δεύτερος ἄνθρωπος εἶναι ὁ Κύριος, ὁ ὁποῖος κατέβη ἀπὸ τὸν οὐρανὸν καὶ μαζὶ μὲ τὴν θείαν του φύσιν προσέλαβε καὶ τὴν ἀνθρωπίνην.

---

39) 41. 40-41) Δτ. δ΄ 19. Ἰβ. λη΄ 7. Μτ. ς΄ 26. ι΄ 31. ιβ΄ 12. κβ΄ 30. κδ΄ 29. 42-44) 36 - 41. 50. 52. 53. Φλ. γ΄ 21. Ῥμ. η΄ 19 21. 45) Γν. β΄ 7. Ῥμ. ε΄ 14. Ἰν. ς΄ 63. 47-49) Γν. β΄ 7. γ΄ 13. ε΄ 9. Ἐκκ. ιβ΄ 7. Σρ. λς΄ 10. 2 Κρ. ε΄ 1. 2. Φλ. γ΄ 20. 21. Ἑβ. ιβ΄ 22. 23. Ῥμ. η΄ 29. Ἰν. γ΄ 31. 1 Ἰν. γ΄ 2.

48 οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι·

48 Ὁποῖος ὑπῆρξεν ὁ Ἀδάμ, δηλαδὴ φθαρτὸς καὶ θνητός, τέτοιοι εἶναι καὶ οἱ χωματένιοι, ποὺ κατάγονται ἀπὸ αὐτόν. Εἶναι λοιπὸν καὶ αὐτοὶ φθαρτοὶ καὶ θνητοί. Καὶ ὁποῖος εἶναι ὁ ἐπουράνιος Κύριος, δηλαδὴ ἄφθαρτος καὶ ἔνδοξος, τέτοιοι θὰ εἶναι καὶ οἱ ἄνθρωποι, ποὺ ἀναγεννῶνται διὰ μέσου αὐτοῦ καὶ γίνονται ἐπουράνιοι.

49 καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.

49 Καὶ καθὼς ἐφορέσαμεν σὰν ἄλλο ροῦχο τὴν ὁμοιότητα τοῦ χωματένιου, ἤτοι τὴν φθορὰν καὶ τὸν θάνατόν του, ἔτσι θὰ φορέσωμεν καὶ τὴν ὁμοιότητα τοῦ ἐπουρανίου, ἤτοι τὴν ἀνάστασιν, ἀφθαρσίαν καὶ ἀθανασίαν του.

Στίχ. 50-58. Πῶς θὰ γίνῃ ἡ ἀνάστασις τῶν νεκρῶν.

50 Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ.

50 Μὲ αὐτὸ δὲ τὸ τελευταῖον, ποὺ σᾶς εἶπα, ἀδελφοί, ἐννοῶ τοῦτο· ὅτι ὀργανισμός, ποὺ σύγκειται ἀπὸ σάρκα καὶ αἷμα, εἶναι φυσικῶς ἀδύνατον νὰ κληρονομήσῃ τὴν πνευματικὴν καὶ ἀθάνατον βασιλείαν τοῦ Θεοῦ, οὔτε ἡ φθορὰ κληρονομεῖ τὴν ἀφθαρσίαν.

51 ἰδοὺ μυστήριον ὑμῖν λέγω· πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα,

51 Ἰδοὺ σᾶς λέγω ἀλήθειαν, ποὺ ἦτο ἄγνωστος καὶ μὲ θείαν ἀποκάλυψιν μᾶς ἐφανερώθη. Καὶ ἡ ἀλήθεια αὐτὴ εἶναι ἡ ἐξῆς· Ὅλοι μὲν δὲν θὰ ἀποθάνωμεν. Διότι ὅταν θὰ ἔλθῃ ὁ Κύριος κατὰ τὴν δευτέραν παρουσίαν του, θὰ προλάβῃ εἰς τὴν ζωὴν τὴν γενεὰν ἐκείνην τῶν ἀνθρώπων ποὺ θὰ ζοῦν τότε. Αὐτοὶ λοιπὸν δὲν θὰ ἀποθάνουν. Πλὴν ὅμως ὅλοι, καὶ αὐτοὶ δηλαδὴ ποὺ θὰ ζοῦν τότε καὶ ὅσοι θὰ ἔχωμεν ἀποθάνει, θὰ ἀλλάξωμεν σῶμα καὶ θὰ πάρωμεν ἀντὶ τοῦ φθαρτοῦ τὸ ἄφθαρτον.

52 ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα.

52 Καὶ θὰ γίνῃ ἡ ἀλλαγὴ αὐτή, ὅταν θὰ ἀκουσθῇ ἡ ἐσχάτη ὑπερφυσικὴ σάλπιγγα, εἰς μίαν στιγμήν, ὅσον χρειάζεται κανένας νὰ ἀνοιγοκλείσῃ τὸ βλέφαρόν του. Διότι θὰ σαλπίσῃ ὁ ἄγγελος καὶ οἱ νεκροὶ θὰ ἀναστηθοῦν ἄφθαρτοι, καὶ ὅσοι θὰ ζῶμεν κατὰ τὴν παρουσίαν τοῦ Κυρίου θὰ ἀλλάξωμεν.

53 δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.

53 Καὶ θὰ ἀλλάξωμεν, διότι πρέπει τὸ φθαρτὸν αὐτὸ σῶμα νὰ ἐνδυθῇ ἀφθαρσίαν καὶ τὸ θνητὸν αὐτὸ σῶμα νὰ ἐνδυθῇ ἀθανασίαν.

54 ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος· ***κατεπόθη ὁ θάνατος εἰς νῖκος.***

54 Ὅταν δὲ ἡ φθαρτὴ αὐτὴ φύσις μας ἐνδυθῇ τὴν ἀφθαρσίαν καὶ ἡ θνητὴ αὐτὴ φύσις μας ἐνδυθῇ τὴν ἀθανασίαν, τότε θὰ πραγματοποιηθῇ ὁ λόγος τοῦ Ἡσαΐου, ποὺ περιέχεται εἰς τὴν Ἁγίαν Γραφήν: Ἐξηφανίσθη ὁλότελα ὁ θάνατος καὶ κατενικήθη, ὥστε δὲν φαίνεται πλέον πουθενά.

55 ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος;

55 Ποῦ εἶναι, θάνατε, τὸ φαρμακερὸν κεντρί σου; Ποῦ εἶναι, ᾅδη, ἡ νίκη σου;

---

50) 42. 43. 53. ς΄ 9. 13. Μτ. ις΄ 17. 51-52) 1 Θσ. δ΄ 15 - 17. Ῥμ. ια΄ 25. Ἰν. ε΄ 28. Μτ. κδ΄ 31. 53) 50. 2 Κρ. ε΄ 4. 54-55) Ἡσ. κε΄ 8. Ὠσ. ιγ΄ 14. 1 Κρ. ιε΄ 26. 53. α΄ 20. Ἑβ. β΄ 14. 15.

56 τὸ δὲ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία, ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος.

57 τῷ δὲ Θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

58 Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε, εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ.

56 Δὲν ἔχει πλέον ὁ θάνατος κεντρί. Διότι τὸ κεντρὶ τοῦ θανάτου εἶναι ἡ ἁμαρτία. Ἡ δύναμις δὲ τῆς ἁμαρτίας εἶναι ὁ νόμος. Διότι ἂν δὲν ὑπῆρχε νόμος, δὲν θὰ ἐλογαριάζετο ἡ ἁμαρτία καὶ δὲν θὰ ἡμάρταναν οἱ ἄνθρωποι ἐν γνώσει.

57 Ἂς ἀναπέμπεται δὲ εὐχαριστία εἰς τὸν Θεόν, ὁ ὁποῖος δίδει εἰς ἡμᾶς τὴν νίκην διὰ μέσου τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ.

58 Ὥστε σύμφωνα μὲ τὰ ἀνωτέρω, ἀδελφοί μου ἀγαπητοί, στερεωθῆτε εἰς τὸ περὶ ἀναστάσεως δόγμα· γίνεσθε ἀμετακίνητοι, μὲ περισσὴν προθυμίαν ἐργαζόμενοι πάντοτε εἰς τὸ ἔργον, τὸ ὁποῖον ὁ Κύριος ζητεῖ. Νὰ γνωρίζετε δέ, ὅτι ὁ κόπος σας δὲν εἶναι χωρὶς καρπὸν καὶ ὠφέλειαν καὶ περὶ τούτου ἐγγυᾶται ὁ σύνδεσμός σας καὶ ἡ ἕνωσίς σας μὲ τὸν Κύριον.

ΚΕΦΑΛΑΙΟΝ ΙΣΤ΄.

Στίχ. 1-4. Ἡ συνεισφορὰ διὰ τὴν Ἐκκλησίαν τῶν Ἱεροσολύμων.

Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, ὥσπερ διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας οὕτω καὶ ὑμεῖς ποιήσατε.

Διὰ τὴν συνεισφορὰν δὲ ὑπὲρ τῶν Χριστιανῶν (τῶν Ἱεροσολύμων), καθὼς ἐκανόνισα εἰς τὰς Ἐκκλησίας τῆς Γαλατίας, ἔτσι κάμετε καὶ σεῖς.

2 κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων ὅ,τι ἂν εὐοδῶται, ἵνα μὴ ὅταν ἔλθω τότε λογίαι γίνωνται.

2 Κατὰ τὴν πρώτην ἡμέραν τῆς ἑβδομάδος, τὴν Κυριακὴν δηλαδή, ἕκαστος ἀπὸ σᾶς ἂς ξεχωρίζῃ εἰς τὸ σπίτι του κάποιο ποσὸν καὶ ἂς μαζεύῃ σιγὰ - σιγὰ θησαυρὸν μὲ ὅ,τι εὐκολύνεται, διὰ νὰ μὴ γίνωνται συνεισφοραὶ ὅταν ἔλθω.

3 ὅταν δὲ παραγένωμαι, οὓς ἐὰν δοκιμάσητε, δι' ἐπιστολῶν τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἱερουσαλήμ·

3 Ὅταν δὲ ἔλθω εἰς Κόρινθον, ἐκείνους ποὺ θὰ ἐκλέξετε, αὐτοὺς μὲ συστατικὰς ἐπιστολάς μου θὰ στείλω διὰ νὰ μεταφέρουν τὸ δῶρον τῆς ἀγάπης σας εἰς τὴν Ἱερουσαλήμ.

4 ἐὰν δὲ ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται.

4 Ἐὰν δὲ τὸ ποσόν, ποὺ θὰ συνάξετε, εἶναι μεγάλο καὶ ἀξίζῃ νὰ ὑπάγω καὶ ἐγώ, τότε θὰ ταξιδεύσουν μαζί μου.

Στίχ. 5-9. Τὸ ταξίδιον τοῦ Παύλου εἰς Κόρινθον.

5 Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς ὅταν Μακεδονίαν διέλθω· Μακεδονίαν γὰρ διέρχομαι·

5 Θὰ ἔλθω δὲ πρὸς σᾶς, ὅταν περάσω τὴν Μακεδονίαν. Διότι σκοπεύω ἐντὸς ὀλίγου νὰ περιοδεύσω τὴν Μακεδονίαν.

6 πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ ἢ καὶ παραχειμάσω, ἵνα ὑμεῖς με προπέμψητε οὗ ἐὰν πορεύωμαι.

6 Πλησίον σας ὅμως θὰ παραμείνω ἴσως χρόνον ἀρκετὸν ἢ καὶ θὰ περάσω ὅλον τὸν χειμῶνα, διὰ νὰ μὲ προπέμψετε καὶ κατευοδώσετε σεῖς ὁπουδήποτε ὑπάγω.

[56] Ῥμ. δ΄ 15. ε΄ 12. ς΄ 23. ζ΄ 7 - 13. [57] Ῥμ. ζ΄ 25 - η΄ 4. Ἰν. ις΄ 11. [58] 2 Πρ. ιε΄ 7. 1 Κρ. ις΄ 13. Γλ. ς΄ 9. Φλ. β΄ 16. Κλ. α΄ 23. 2 Πτ. α΄ 10. Ἀπ. ιδ΄ 13.

ΙΣΤ΄. [1] 2 Κρ. η΄ 4. θ΄ 1. Γλ. β΄ 10. Ῥμ. ιε΄ 26. [2] 2 Κρ. η΄ 12. 13. θ΄ 3 - 5. Πρ. κ΄ 7. [3-4] 2 Κρ. η΄ 7. 19. Ῥμ. ιε΄ 25. [5-6] 2 Κρ. α΄ 15. 16. β΄ 13. η΄ 1. θ΄ 2. 4. Ττ. γ΄ 12. Ῥμ. ιε΄ 24.

7 οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν, ἐλπίζω δὲ χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος ἐπιτρέπῃ.

7 Καὶ δι' αὐτὸ δὲν θὰ ἔλθω ἀμέσως τώρα, διότι δὲν θέλω νὰ σᾶς ἴδω περαστικὸς καὶ σὰν διαβάτης, ἀλλ' ἐλπίζω νὰ μείνω κοντά σας κάμποσον καιρόν, ἐὰν τὸ ἐπιτρέψῃ ὁ Κύριος.

8 ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς πεντηκοστῆς·

8 Θὰ παραμείνω δὲ εἰς τὴν Ἔφεσον μέχρι τῆς Πεντηκοστῆς.

9 θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργής, καὶ ἀντικείμενοι πολλοί.

9 Διότι μοῦ παρουσιάσθη εὐκαιρία νὰ κηρύξω καὶ μοῦ ἠνοίχθη πόρτα μεγάλη μὲ ἀποτελεσματικὴν καὶ καρποφόρον δρᾶσιν. Καὶ διὰ τοῦτο, λόγῳ τοῦ φθόνου, ποὺ ἔχει ὁ σατανᾶς διὰ κάθε καλόν, πολλοὶ καὶ τώρα παρουσιάζονται οἱ ἐναντίοι καὶ πολέμιοι.

Στίχ. 10-18. Παραγγελίαι καὶ προτροπαί.

10 Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς· τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται ὡς κἀγώ· μή τις οὖν αὐτὸν ἐξουθενήσῃ.

10 Ἐὰν δὲ ἔλθῃ ὁ Τιμόθεος, προσέχετε νὰ μείνῃ μαζί σας σὰν στὸ σπίτι του, χωρὶς νὰ αἰσθάνεται δειλίαν ἢ συστολήν. Εἶναι δὲ δίκαιον ἡ δρᾶσις του αὐτόθι νὰ εἶναι ἀνεμπόδιστος καὶ χωρὶς φόβον, διότι ἐργάζεται καὶ αὐτὸς τὸ ἔργον τοῦ Κυρίου, ὅπως καὶ ἐγώ. Κανεὶς λοιπὸν ἂς μὴ τὸν περιφρονήσῃ.

11 προπέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ ἵνα ἔλθῃ πρός με· ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν.

11 Ὅταν δὲ θὰ πρόκειται νὰ ἐπιστρέψῃ πρὸς συνάντησίν μου, κατευοδώσατέ τον μὲ εἰρήνην διὰ νὰ ἔλθῃ πρὸς ἐμέ. Διότι τὸν περιμένω μαζὶ μὲ τοὺς ἐδῶ ἀδελφούς.

12 Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ, πολλὰ παρεκάλεσα αὐτὸν ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν· καὶ πάντως οὐκ ἦν θέλημα ἵνα νῦν ἔλθῃ, ἐλεύσεται δὲ ὅταν εὐκαιρήσῃ.

12 Διὰ δὲ τὸν ἀδελφὸν Ἀπολλὼ ἔχω νὰ σᾶς γράψω, ὅτι τοῦ ἔκαμα πολλὰς παρακλήσεις νὰ σᾶς ἔλθῃ μαζὶ μὲ τοὺς ἀδελφούς. Καὶ μὲ ὅλα ποὺ ἔκαμα, δὲν ἐστάθη δυνατὸν νὰ θελήσῃ καὶ νὰ ἀποφασίσῃ νὰ ἔλθῃ τώρα, θὰ ἔλθῃ ὅμως ὅταν τοῦ δοθῇ εὐκαιρία.

13 Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε.

13 Προσέχετε σὰν ἄγρυπνοι φρουροί. Μένετε στερεοὶ καὶ ὄρθιοι εἰς τὴν πίστιν. Ἀγωνίζεσθε σὰν ἄνδρες γενναῖοι. Πάρετε δύναμιν καὶ θάρρος.

14 πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω.

14 Ὅλα ὅσα κάνετε, ἂς γίνωνται μὲ ἀγάπην.

15 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί· οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς·

15 Σᾶς ἀπευθύνω δὲ καὶ μίαν ἄλλην παράκλησιν, ἀδελφοί. Γνωρίζετε τὸ σπίτι τοῦ Στεφανᾶ, ὅτι εἶναι ἡ οἰκογένεια, ποὺ πρώτη εἰς τὴν Ἀχαΐαν ἐπίστευσεν εἰς τὸν Χριστὸν καὶ ἀφιέρωσαν τὸν ἑαυτόν τους εἰς τὸ νὰ ὑπηρετοῦν τοὺς Χριστιανούς.

16 ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι.

16 Σᾶς παρακαλῶ λοιπὸν νὰ ὑποτάσσεσθε καὶ σεῖς εἰς τοὺς τοιούτους διακεκριμένους Χριστιανούς, καθὼς καὶ εἰς κάθε ἄλλον, ποὺ συνεργάζεται καὶ κοπιάζει εἰς μίαν τόσον θεάρεστον διακονίαν.

[7-8] δ΄ 19. Πρ. β΄ 1. ιθ΄ 1. 21. 22. κ΄ 1 - 3. 16. [9] ιε΄ 32. 2 Κρ. β΄ 12. Πρ. ιδ΄ 27. [10-11] δ΄ 17. ιε΄ 58. 1 Τμ. δ΄ 12. Πρ. ιε΄ 33. ιθ΄ 22. [12] α΄ 12. γ΄ 5. 6. Μτ. ιη΄ 14. [13] Ψ. λ΄ 25. 1 Κρ. ιε΄ 58. 2 Κρ. α΄ 24. Ἐφ. γ΄ 16. ς΄ 10. 1 Πτ. ε΄ 8. Μτ. κδ΄ 42. [14] η΄ 1. ι΄ 32. 33. Κλ. γ΄ 12 - 14. [15-16] α΄ 16. ιε΄ 23. Ῥμ. ις΄ 5. 6. 12. Φλ. β΄ 29. 1 Τμ. ε΄ 17. Ἑβ. ιγ΄ 17.

17 χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν·

17 Χαίρω δέ, διότι εἶναι παρόντες ἐδῶ ὁ Στεφανᾶς καὶ ὁ Φουρτουνᾶτος καὶ ὁ Ἀχαϊκός, διότι αὐτοὶ ἀνεπλήρωσαν τὸ κενὸν ποὺ αἰσθάνομαι, ἐπειδὴ δὲν σᾶς ἔχω πλησίον μου.

18 ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν. ἐπιγινώσκετε οὖν τοὺς τοιούτους.

18 Διότι μὲ τὰς πληροφορίας καὶ εἰδήσεις των ἀνέπαυσαν τὰ βάθη τῆς ψυχῆς μου καὶ μὲ τὴν ἐπιστολήν μου αὐτήν, ποὺ θὰ σᾶς φέρουν, εἶμαι βέβαιος, ὅτι θὰ ἀναπαύσουν καὶ τὰ βάθη τῆς ἰδικῆς σας ψυχῆς. Νὰ ἐκτιμᾶτε λοιπὸν τοὺς τοιούτους Χριστιανοὺς καὶ νὰ ἀναγνωρίζετε τὴν ἀξίαν τους.

Στίχ. 19-24. Διάφοροι χαιρετισμοί.

19 Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας. ἀσπάζονται ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ.

19 Σᾶς στέλλουν ἐγκαρδίους χαιρετισμοὺς αἱ Ἐκκλησίαι τῆς Ἀσίας. Σᾶς στέλλουν πολλοὺς χαιρετισμοὺς ἐν Κυρίῳ ὁ Ἀκύλας καὶ ἡ Πρίσκιλλα μαζὶ μὲ τοὺς Χριστιανούς, ποὺ συνάζονται εἰς τὸ σπίτι των.

20 ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ.

20 Σᾶς στέλλουν ἐγκαρδίους χαιρετισμοὺς ὅλοι οἱ ἀδελφοί. Ἀσπασθῆτε ὁ ἕνας τὸν ἄλλον μὲ φίλημα ἅγιον.

21 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου.

21 Ὁ χαιρετισμὸς αὐτὸς ἐγράφη μὲ τὸ χέρι ἐμοῦ τοῦ Παύλου.

22 εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν Χριστόν, ἤτω ἀνάθεμα. μαρὰν ἀθᾶ.

22 Ἐὰν κανεὶς δὲν ἀγαπᾷ μὲ τὴν καρδιά του τὸν Κύριον Ἰησοῦν Χριστόν, ἂς εἶναι χωρισμένος ἀπὸ τὸ σῶμα τῆς Ἐκκλησίας. Ὁ Κύριος θὰ ἔλθῃ καὶ θὰ ἀπολέσῃ κάθε ἀναθεματισμένον.

23 Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν.

23 Ἡ χάρις τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ εἴθε νὰ εἶναι μαζί σας.

24 ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ· ἀμήν.

24 Ἡ ἐν Χριστῷ ἀγάπη μου ἂς εἶναι μὲ ὅλους σας. Ἀμήν.

---

Γ'. [1-2]) β' 12. 20. Ἐφ. α' 20. Φλ. γ' 14. 20. Ῥμ. β' 7. Μτ. ς' 20. 33. [3-4]) β' 20. 2 Θσ. α' 7. 1 Ἰν. γ' 2. Φλ. γ' 21. Ῥμ. ς' 3. 5. η' 17 - 19. Ἰν. ια' 25. Μτ. κε' 31 - 34. [5-6]) β' 11. Ἐφ. δ' 19. ε' 3. 6. Ῥμ. ς' 16. 19. ζ' 5. η' 13. Μτ. γ' 7.

πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρία,

καθαρσίαν, κάθε πάθος καὶ ὑποδούλωσιν εἰς τὸ κακόν, κάθε κακὴν ἐπιθυμίαν, καὶ τὴν πλεονεξίαν, ἡ ὁποία εἶναι λατρεία εἰς τὸ εἴδωλον τοῦ χρήματος.

6 δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας,

6 Διὰ τὰ ἁμαρτήματα αὐτὰ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ εἰς αὐτούς, ποὺ συστηματικῶς καὶ μὲ ἐπιμονὴν ἀπειθοῦν.

7 ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς·

7 Εἰς τὰ ἁμαρτήματα αὐτὰ καὶ σεῖς ἐπεριπατήσατε καὶ ἐδουλεύσατε κάποτε, ὅταν ἐζῆτε μεταξὺ αὐτῶν τῶν ἀπειθῶν ἀνθρώπων.

8 νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν·

8 Τώρα ὅμως βγάλετε ἀπὸ ἐπάνω σας καὶ σεῖς, σὰν ἄλλο ἀκάθαρτον ἔνδυμα, ὅλα αὐτὰ τὰ κακά, τὴν ὀργήν, τὸν θυμόν, τὴν στρεβλότητα καὶ πονηρίαν, τὴν κακολογίαν, τὴν αἰσχρολογίαν ἀπὸ τὸ στόμα σας.

9 μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ

9 Μὴ ψεύδεσθε μεταξύ σας ὁ ἕνας εἰς τὸν ἄλλον, ἀφοῦ πλέον ἐγδυθήκατε τὸν παλαιὸν διεφθαρμένον ἄνθρωπον μαζὶ μὲ τὰς πράξεις του,

10 καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν,

10 καὶ ἀφοῦ ἐνδυθήκατε τὸν νέον ἄνθρωπον, ποὺ συνεχῶς ἀνανεοῦται καὶ γίνεται καινούργιος, ὥστε νὰ προοδεύῃ εἰς τὴν τελείαν γνῶσιν τοῦ Θεοῦ. Καὶ γίνεται καινούργιος μὲ τὸ νὰ λαμβάνῃ τὴν αὐτὴν μορφὴν πρὸς τὴν εἰκόνα τοῦ Χριστοῦ, ποὺ τὸν ἔκτισεν.

11 ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός.

11 Εἰς αὐτὸν δὲ τὸν νέον ἄνθρωπον δὲν ὑπάρχει διάκρισις Ἕλληνος καὶ Ἰουδαίου, περιτμημένου Ἰσραηλίτου καὶ ἀπεριτμήτου ἐθνικοῦ, βαρβάρου καὶ Σκύθου, δούλου καὶ ἐλευθέρου, ἀλλὰ καὶ ἐθνικότης καὶ καταγωγὴ καὶ ἀξίωμα καὶ τὰ πάντα, καθὼς καὶ εἰς πάντας τοὺς πιστοὺς εἶναι ὁ Χριστός.

12 Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην, πρᾳότητα, μακροθυμίαν,

12 Ἐνδυθῆτε λοιπὸν σὰν ἐκλεκτοὶ τοῦ Θεοῦ, ποὺ εἶσθε συγχρόνως καὶ ἁγιασμένοι καὶ ἀγαπημένοι ἀπὸ τὸν Θεόν, καρδίαν πονετικὴν καὶ συμπαθῆ, διάθεσιν ἀγαθὴν εἰς τὸ νὰ εὐεργετῆτε, ταπεινοφροσύνην, πρᾳότητα, μακροθυμίαν.

13 ἀνεχόμενοι ἀλλήλων καὶ χαριζόμενοι ἑαυτοῖς ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς·

13 Νὰ ἀνέχεσθε ὁ ἕνας τὰς ἀδυναμίας τοῦ ἄλλου καὶ νὰ χαρίζεσθε καὶ συγχωρῆσθε μεταξύ σας, ἐὰν κανένας ἔχῃ κάτι παράπονον κατὰ τοῦ ἄλλου. Καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσθη εἰς σᾶς καὶ σᾶς συνεχώρησεν, ἔτσι καὶ σεῖς νὰ συγχωρῆτε ὁ ἕνας τὸν ἄλλον.

14 ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος.

14 Ἐπάνω δὲ εἰς ὅλα αὐτὰ νὰ ἐνδυθῆτε τὴν ἀγάπην, ἡ ὁποία εἶναι σὰν ἕνας κρίκος, ποὺ δένει μαζὶ ὅλας τὰς ἀρετὰς εἰς τέλειον σύνολον.

[7]) Ἐφ. β' 2. 3. δ' 17. [8]) Ἐφ. δ' 29. 31. [9-10]) Ἐφ. δ' 13. 22 - 25. [11]) Γλ. γ' 28. 1 Κρ. ιβ' 13. [12-13]) 1 Θσ. α' 4. 2 Θσ. β' 13. 1 Πτ. β' 9. Φλ. β' 1. Ἐφ. α' 4. δ' 2. 32. Ῥμ. η' 33. Λκ. α' 78. Μρ. ια' 25. 26. [14]) Ἐφ. δ' 3. Ῥμ. ιγ' 8 - 10.

15 καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι· καὶ εὐχάριστοι γίνεσθε·

15 Καὶ ἡ εἰρήνη, τὴν ὁποίαν δίδει ὁ Θεός, ἂς ἐπιστατῇ καὶ ἂς κυριαρχῇ μέσα εἰς τὰς καρδίας σας. Δι' αὐτὴν δὲ τὴν εἰρήνην προσεκλήθητε, ὥστε νὰ γίνετε ἕνα σῶμα. Προσπαθεῖτε ἀκόμη νὰ γίνεσθε καὶ εὐχάριστοι μεταξύ σας.

16 ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ἐν χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

16 Ὁ λόγος καὶ ἡ διδασκαλία τοῦ Ἰησοῦ Χριστοῦ ἂς διαμένῃ μέσα σας πλούσια μὲ πᾶσαν σοφίαν. Εἰς τοῦτο δὲ θὰ συντελέσῃ καὶ τὸ νὰ διδάσκετε καὶ συμβουλεύετε ὁ ἕνας τὸν ἄλλον μὲ ψαλμοὺς καὶ ὕμνους καὶ πνευματικὰς ᾠδάς, ποὺ θὰ ἐκφράζετε μὲ αὐτὰς τὴν εὐχαριστίαν σας πρὸς τὸν Θεὸν καὶ θὰ τὰς ψάλλετε μὲ τὴν καρδίαν σας εἰς τὸν Κύριον.

17 καὶ πᾶν ὅ,τι ἂν ποιῆτε ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι Κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ πατρὶ δι' αὐτοῦ.

17 Καὶ κάθε τι ποὺ κάνετε μὲ λόγον ἢ μὲ ἔργον, ὅλα νὰ τὰ πράττετε διὰ νὰ ἀρέσκετε εἰς τὸν Κύριον Ἰησοῦν καὶ πρὸς δόξαν αὐτοῦ, εὐχαριστοῦντες δι' αὐτοῦ τὸν Θεὸν καὶ Πατέρα, ποὺ τόσον πολὺ μᾶς ἠγάπησεν.

Στίχ. 18-25, δ΄ 1. Τὰ καθήκοντα τῶν συζύγων, γονέων καὶ τέκνων, κυρίων καὶ δούλων.

18 Αἱ γυναῖκες ὑποτάσσεσθε τοῖς ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ.

18 Αἱ γυναῖκες νὰ ὑποτάσσεσθε εἰς τοὺς ἄνδρας σας, καθὼς ἁρμόζει εἰς ἀνθρώπους, ποὺ σχετίζονται στενὰ μὲ τὸν Κύριον.

19 Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς.

19 Οἱ ἄνδρες νὰ ἀγαπᾶτε τὰς γυναῖκάς σας καὶ νὰ μὴ δεικνύεσθε πικροὶ πρὸς αὐτάς.

20 Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον τῷ Κυρίῳ.

20 Τὰ τέκνα νὰ ὑπακούετε εἰς τοὺς γονεῖς καθ' ὅλα, διότι τοῦτο εἶναι ἀρεστὸν εἰς τὸν Κύριον.

21 Οἱ πατέρες μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν.

21 Οἱ πατέρες μὴ ἐρεθίζετε τὰ τέκνα σας, διὰ νὰ μὴ χάνουν τὸ θάρρος των καὶ ἀπελπίζωνται.

22 Οἱ δοῦλοι ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλίαις, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν.

22 Οἱ δοῦλοι ὑπακούετε καθ' ὅλα εἰς τοὺς κατὰ σάρκα κυρίους, ὄχι μόνον ὅταν οἱ ὀφθαλμοὶ τῶν κυρίων σᾶς βλέπουν, σὰν ἐκείνους δηλαδὴ ποὺ δουλεύουν γιὰ τὰ μάτια. Ὄχι σὰν ἀνθρωπάρεσκοι, ἀλλὰ μὲ εἰλικρίνειαν καρδίας, φοβούμενοι τὸν Θεόν.

23 καὶ πᾶν ὅ,τι ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις,

23 Καὶ κάθε τι ποὺ κάνετε, νὰ τὸ ἐργάζεσθε πρόθυμα καὶ μὲ τὴν καρδίαν σας, σὰν νὰ τὸ ἐργάζεσθε εἰς τὸν Κύριον καὶ ὄχι εἰς ἀνθρώπους,

24 εἰδότες ὅτι ἀπὸ Κυρίου ἀπολήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας· τῷ

24 γνωρίζοντες ὅτι ἀπὸ τὸν Κύριον θὰ ἀπολαύσετε τὴν ἀνταμοιβήν, ἡ ὁποία συνίσταται εἰς τὴν κληρονομίαν τῆς βασιλείας τῶν οὐρανῶν, διότι δουλεύετε εἰς τὸν Κύριον Ἰησοῦν

[15]) 17. Φλ. δ΄ 7. Ἐφ. β΄ 16. 1 Κρ. ιβ΄ 13. [16]) Ἐφ. ε΄ 19. 1 Κρ. ιδ΄ 26. [17]) 15. Ἐφ. ε΄ 20. 1 Κρ. ι΄ 31. [18]) Ἐφ. ε΄ 22. [19]) Ἐφ. ε΄ 25. 1 Πτ. γ΄ 7. [20]) Ἐφ. ς΄ 1. [21]) Ἐφ. ς΄ 4. [22-25]) Ἐφ. ς΄ 5 - 9. Φλμ. 16. Ῥμ. β΄ 11.

γὰρ Κυρίῳ Χριστῷ δουλεύετε·

Χριστόν, ὁ ὁποῖος ἐνομοθέτησε τὴν ὑποταγὴν ταύτην τῶν δούλων εἰς τοὺς κυρίους.

25 ὁ δὲ ἀδικῶν κομιεῖται ὃ ἠδίκησε, καὶ οὐκ ἔστι προσωποληψία.

25 Διὰ δὲ τὰς ἀδικίας, ποὺ γίνονται εἰς βάρος τῶν δούλων, ἂς μὴ λησμονῇ κάθε ἄδικος κύριος, ὅτι ὁποιος ἀδικεῖ θὰ λάβῃ τὴν ἀνταπόδοσιν τῆς ἀδικίας ποὺ ἔκαμε, καὶ δὲν εἶναι προσωποληψία ἐνώπιον τοῦ Θεοῦ, διότι ὁ Θεὸς δὲν χαρίζεται εἰς κανένα.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Οἱ κύριοι τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν οὐρανοῖς.

Οἱ κύριοι παρέχετε εἰς τοὺς δούλους τὸ δίκαιον καὶ τὴν ἀνταμοιβὴν τὴν ἴσην πρὸς τοὺς κόπους των, γνωρίζοντες, ὅτι καὶ σεῖς ἔχετε Κύριον εἰς τοὺς οὐρανούς.

Στίχ. 2-6. Προτροπαὶ διὰ προσευχὴν καὶ συνετὴν συμπεριφοράν.

2 Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ,

2 Ὅλοι σας δὲ νὰ καταγίνεσθε ἀκούραστα εἰς τὴν προσευχήν. Νὰ ἀγρυπνῆτε εἰς αὐτὴν καὶ νὰ τὴν συνοδεύετε μὲ εὐχαριστίαν εἰς τὸν Θεόν.

3 προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ, δι' ὃ καὶ δέδεμαι,

3 Νὰ προσεύχεσθε δὲ συγχρόνως καὶ ὑπὲρ ἡμῶν, διὰ νὰ μᾶς ἀνοίξῃ ὁ Θεὸς τὴν θύραν τοῦ εὐαγγελικοῦ λόγου, δηλαδὴ νὰ ἀπομακρύνῃ κάθε ἐμπόδιον ἀπὸ τὸ κήρυγμα καὶ νὰ δημιουργήσῃ εὐκαιρίας, διὰ νὰ λαλήσωμεν τὸ μυστήριον τῆς διὰ τοῦ Χριστοῦ σωτηρίας πάντων, διὰ τὸ ὁποῖον καὶ εἶμαι δεμένος.

4 ἵνα φανερώσω αὐτὸ ὡς δεῖ με λαλῆσαι.

4 Νὰ ἀνοίξῃ τὴν θύραν διὰ νὰ φανερώσω τὸ μυστήριον αὐτὸ ἄφοβα καὶ νὰ τὸ ἐκθέσω, ὅπως πρέπει νὰ ὁμιλήσω δι' αὐτό.

5 Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι.

5 Νὰ συμπεριφέρεσθε μὲ φρόνησιν πρὸς τοὺς ἔξω τῆς Ἐκκλησίας ἀνθρώπους, ἐπωφελούμενοι τὰς εὐκαιρίας ποὺ παρουσιάζονται διὰ τὴν ἐργασίαν τοῦ ἀγαθοῦ.

6 ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

6 Ὁ λόγος σας ἂς εἶναι πάντοτε χαριτωμένος, ἀρτυμένος μὲ τὸ ἁλάτι τῆς φρονήσεως, ὥστε νὰ εἶναι μὲν εὐχάριστος, ἀλλ' ὄχι καὶ βρωμερός· νὰ ξεύρετε, πῶς πρέπει σεῖς νὰ ἀποκρίνεσθε εἰς τὸν καθένα.

Στίχ. 7-18. Προσωπικαὶ πληροφορίαι τοῦ Ἀποστόλου καὶ χαιρετισμοί.

7 Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν Κυρίῳ,

7 Τὰς περὶ ἐμοῦ εἰδήσεις θὰ σᾶς τὰς γνωστοποιήσῃ ὅλας ὁ Τυχικός, ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος καὶ σύνδουλός μου ἐν Κυρίῳ,

8 ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῷ τὰ περὶ ὑμῶν καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν,

8 τὸν ὁποῖον σᾶς τὸν ἀπέστειλα ἀκριβῶς δι' αὐτό, διὰ νὰ μάθῃ πῶς εἶσθε καὶ νὰ παρηγορήσῃ τὰς καρδίας σας.

9 σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐ-

9 Σᾶς τὸν ἔστειλα μαζὶ μὲ τὸν Ὀνήσιμον, τὸν πιστὸν καὶ ἀγαπητὸν ἀδελφόν, ὁ ὁποῖος εἶναι συμπολίτης σας, ἀπὸ τὰς Κο-

Δ΄. [1]) Ἐφ. ς΄ 9. 1 Κρ. ζ΄ 22. [2-4]) Ἐφ. ς΄ 18 - 20. 1 Κρ. ις΄ 9. [5]) Ἐφ. ε΄ 15. 16. 1 Θσ. δ΄ 12. 1 Κρ. ε΄ 12. 13. [6]) Ἐκ. ι΄ 12. Ἐφ. δ΄ 29. 1 Πτ. γ΄ 15. Μρ. θ΄ 50. [7-9]) Ἐφ. ς΄ 21. 22. Φλμ. 10 - 12.

στιν ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε.

10 Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου, καὶ Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα, — περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν, —

11 καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος, οἱ ὄντες ἐκ περιτομῆς, οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία.

12 ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς ὁ ἐξ ὑμῶν, δοῦλος Χριστοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παντὶ θελήματι τοῦ Θεοῦ·

13 μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν καὶ τῶν ἐν Λαοδικείᾳ καὶ τῶν ἐν Ἱεραπόλει.

14 ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς καὶ Δημᾶς.

15 ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς καὶ Νυμφᾶν καὶ τὴν κατ' οἶκον αὐτοῦ ἐκκλησίαν·

16 καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολή, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε.

17 καὶ εἴπατε Ἀρχίππῳ· βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς.

18 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. μνημονεύετέ μου τῶν δεσμῶν. Ἡ χάρις μεθ' ὑμῶν· ἀμήν.

λασσάς καὶ αὐτός. Αὐτοὶ θὰ σᾶς γνωστοποιήσουν ὅλα τὰ ἐδῶ συμβαίνοντα.

10 Σᾶς ἀσπάζεται ὁ Ἀρίσταρχος, ποὺ μὲ συντροφεύει καὶ μὲ ὑπηρετεῖ καὶ ἔγινεν ἔτσι αἰχμάλωτος μαζί μου εἰς τὴν φυλακήν, καὶ ὁ Μᾶρκος, ὁ ἀνεψιὸς τοῦ Βαρνάβα, διὰ τὸν ὁποῖον ἐλάβατε παραγγελίας, ἐὰν ἔλθῃ πρὸς σᾶς, φιλοξενήσατέ τον.

11 Σᾶς ἀσπάζεται καὶ ὁ Ἰησοῦς, ποὺ λέγεται καὶ Ἰοῦστος. Εἶναι καὶ οἱ τρεῖς Χριστιανοὶ ἀπὸ τοὺς περιτμημένους. Καὶ αὐτοὶ μόνοι ἀπὸ τοὺς ἐξ Ἰουδαίων εἶναι ἐδῶ συνεργάται μου διὰ τὴν διάδοσιν τῆς βασιλείας τοῦ Θεοῦ, οἱ ὁποῖοι μοῦ ἔγιναν παρηγορία.

12 Σᾶς ἀσπάζεται ὁ Ἐπαφρᾶς, ὁ ὁποῖος εἶναι ἀπὸ σᾶς δοῦλος τοῦ Χριστοῦ, ποὺ ἀγωνίζεται πάντοτε εἰς τὰς προσευχὰς διὰ σᾶς, διὰ νὰ σταθῆτε τέλειοι καὶ τηρηταὶ ἀκριβεῖς κάθε θελήματος τοῦ Θεοῦ.

13 Διότι μαρτυρῶ περὶ αὐτοῦ, ὅτι ἔχει πολὺν ζῆλον καὶ θερμὸν ἐνδιαφέρον διὰ σᾶς καὶ τοὺς ἐν Λαοδικείᾳ καὶ τοὺς ἐν Ἱεραπόλει πιστούς.

14 Σᾶς ἀσπάζεται ὁ Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς καὶ ὁ Δημᾶς.

15 Ἀσπασθῆτε ἐκ μέρους μου τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς καὶ τὸν Νυμφᾶν καὶ τὴν ἐκκλησίαν τῶν πιστῶν, ποὺ συνέρχονται εἰς τὸ σπίτι του.

16 Καὶ ὅταν ἀναγνωσθῇ μεταξύ σας ἡ ἐπιστολή μου αὐτή, φροντίσατε νὰ ἀναγνωσθῇ καὶ εἰς τὴν Ἐκκλησίαν τῶν Λαοδικέων. Καὶ τὴν ἐπιστολήν, ποὺ θὰ σᾶς στείλουν ἀπὸ τὴν Λαοδίκειαν, φροντίσατε νὰ τὴν ἀναγνώσετε καὶ σεῖς.

17 Καὶ εἴπατε εἰς τὸν Ἄρχιππον· Πρόσεχε τὴν διακονίαν, ποὺ παρέλαβες μὲ θέλημα τοῦ Κυρίου, νὰ τὴν ἐκπληρώνῃς τέλεια.

18 Ὁ ἀσπασμὸς ἐγράφη μὲ τὸ ἰδικόν μου χέρι τοῦ Παύλου. Ἐνθυμεῖσθε τὰ δεσμά μου. Εἴθε ἡ χάρις τοῦ Κυρίου μας νὰ εἶναι μαζί σας. Ἀμήν.

10) Φλμ. 24. 2 Τμ. δ' 11. Πρ. δ' 36. ιβ' 12. ιε' 37. ιη' 27. ιθ' 29. κζ' 2. 11) Φλ. α' 15. 16. β' 21. Πρ. ι' 45. ια' 2. 12) α' 7. Φλμ. 23. Ῥμ. ιε' 30. ις' 7. 13) 15. 16. β' 1. 14) Φλμ. 24. 2 Τμ. δ' 10. 11. 15) 13. Φλμ. 2. 1 Κρ. ις' 19. 16) 1 Θσ. ε' 27. 17) Φλμ. 2. 18) 2 Θσ. γ' 17. Ἑβ. ιγ' 3. 1 Κρ. ις' 21. 23.

ΑΙ ΔΥΟ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΑΙ

Τὴν Θεσσαλονίκην ὁ Παῦλος ἐπεσκέφθη διὰ πρώτην φορὰν περὶ τὸ ἔτος 52 μ. Χ. κατὰ τὴν δευτέραν ἀποστολικὴν ὁδοιπορίαν του, ὅταν συνοδευόμενος ἀπὸ τὸν Σίλαν καὶ τὸν Τιμόθεον εἶχεν ἀναχωρήσει ἀπὸ τοὺς Φιλίππους μετὰ τὰς κακοπαθείας καὶ τὴν ἐκεῖ φυλάκισιν. Κατὰ τὰς ἐκ τῶν Πράξεων πληροφορίας (κεφ. ιζ' 1-10), ὁ θεῖος Ἀπόστολος ἐλθὼν εἰς Θεσσαλονίκην ἀπηυθύνθη πρῶτον εἰς τοὺς Ἰουδαίους, πρὸς τοὺς ὁποίους ἐπὶ τρία κατὰ συνέχειαν Σάββατα ὡμίλησεν ἐπὶ τῇ βάσει τῶν προφητειῶν τῆς Ἁγίας Γραφῆς καταγγέλλων εἰς αὐτοὺς τὸν Κύριον. Ἱδρύθη οὕτω ἡ Ἐκκλησία τῆς Θεσσαλονίκης, ἡ ὁποία περιέλαβεν ὀλίγους μὲν Ἰουδαίους, πλῆθος ὅμως πολὺ ἐκ τῶν προσηλύτων καὶ ἐκ τῶν ἐθνικῶν καὶ ἐκ τῶν γυναικῶν τῆς ἀνωτέρας πιθανώτατα τάξεως. Τοῦτο διήγειρε τὸν φανατισμὸν τῶν ἀπιστησάντων Ἰουδαίων, οἵτινες ὑπεκίνησαν κατὰ τοῦ Παύλου διωγμόν, ὅστις ἐντὸς ὀλίγου ἐπεξετάθη καὶ κατὰ πάντων τῶν ἐν Θεσσαλονίκῃ Χριστιανῶν. Ἀναγκασθεὶς ἕνεκα τοῦ διωγμοῦ τούτου νὰ φύγῃ ὁ θεῖος Ἀπόστολος οὐ μόνον ἐκ Θεσσαλονίκης ἀλλὰ καὶ ἐκ Βεροίας, ὅταν ἦλθεν εἰς Ἀθήνας, ἀπέστειλεν ἐκεῖθεν τὸν Τιμόθεον εἰς Θεσσαλονίκην, ὅπως ἐνισχύσῃ τοὺς διωκομένους ἐν αὐτῇ Χριστιανούς. Αἱ εἰδήσεις δέ, τὰς ὁποίας μετέδωκεν ὁ Τιμόθεος περὶ τῶν Θεσσαλονικέων εἰς τὸν Παῦλον, εὑρισκόμενον ἤδη ἐν Κορίνθῳ, ἔδωκαν εἰς αὐτὸν ἀφορμὴν νὰ γράψῃ περὶ τὰ τέλη τοῦ 52 μ. Χ. τὴν πρώτην πρὸς αὐτοὺς ἐπιστολὴν καὶ νὰ ἐκφράσῃ μὲν τὴν χαράν του διὰ τὴν σταθερότητά των ἐν μέσῳ τῶν διωγμῶν καὶ τῶν πειρασμῶν, νὰ ἐπιστήσῃ δὲ τὴν προσοχήν των εἰς μερικὰ ὀλέθρια ὑπολείμματα ἀπὸ τὰς προτέρας εἰδωλολατρικάς των συνηθείας καὶ κακίας, ἀλλὰ καὶ νὰ πληροφορήσῃ αὐτοὺς περὶ τῆς κατὰ τὴν δευτέραν παρουσίαν τοῦ Κυρίου ἀναστάσεως τῶν νεκρῶν.

Καὶ τὴν δευτέραν ἐπιστολήν του πρὸς τοὺς Θεσσαλονικεῖς ἔγραψεν ὁ Ἀπόστολος ἐκ Κορίνθου, ὀλίγους μῆνας μετὰ τὴν πρώτην, λαβὼν ἀφορμὴν εἴτε ἐξ ἐπιστολῆς, τὴν ὁποίαν τοῦ ἔστειλαν οὗτοι μετὰ τὴν λῆψιν τῆς πρώτης ἐπιστολῆς, εἴτε ἐκ πληροφοριῶν, τὰς ὁποίας ἐν τῷ μεταξὺ ἔλαβεν ὁ Ἀπόστολος περὶ τῆς ἐν Θεσσαλονίκῃ καταστάσεως.

ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α΄.

ΚΕΦΑΛΑΙΟΝ Α΄

Στίχ. 1-10. Εὐχαριστεῖ τὸν Θεὸν διὰ τοὺς ἐν Θεσσαλονίκῃ Χριστιανούς.

Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ πατρὶ καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος πρὸς τὴν Ἐκκλησίαν τῶν Θεσσαλονικέων, τὴν ἑνωμένην μὲ τὸν Θεὸν Πατέρα καὶ τὸν Κύριον Ἰησοῦν Χριστόν. Εἴθε νὰ εἶναι εἰς σᾶς χάρις καὶ εἰρήνη ἀπὸ τὸν Θεὸν Πατέρα μας καὶ ἀπὸ τὸν Κύριον Ἰησοῦν Χριστόν.

Α΄. 1) 2 Θσ. α' 1. 2. Κλ. α' 1. 2. 2 Κρ. α' 19. Πρ. ιζ' 1 - 4. ιη' 5.

2 Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν,

2 Διὰ τὰς πνευματικὰς προόδους ὅλων σας εὐχαριστοῦμεν πάντοτε τὸν Θεόν, ὁσάκις σᾶς ἐνθυμούμεθα εἰς τὰς προσευχάς μας.

3 ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως καὶ τοῦ κόπου τῆς ἀγάπης καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν,

3 Καὶ δὲν λησμονοῦμεν ποτέ, ἀλλ' ἐνθυμούμεθα ἀκατάπαυστα τὸ ἔργον, ποὺ παρήγαγεν ἡ πίστις σας, καὶ τὸν κόπον εἰς τὸν ὁποῖον ὑπεβλήθητε ἐξ αἰτίας τῆς ἀγάπης σας, καὶ τὴν ὑπομονήν, εἰς τὴν ὁποίαν ἐστηρίχθητε ἀπὸ τὴν ἐλπίδα εἰς τὸν Κύριόν μας Ἰησοῦν Χριστόν. Ἐνθυμούμεθα δὲ ταῦτα ἐνώπιον τοῦ Θεοῦ, ὁ ὁποῖος εἶναι καὶ πατήρ μας.

4 εἰδότες, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Θεοῦ, τὴν ἐκλογὴν ὑμῶν,

4 Καὶ εὐχαριστοῦμεν αὐτόν, διότι γνωρίζομεν, ὦ ἀδελφοὶ ἀγαπημένοι ἀπὸ τὸν Θεόν, τὴν ἐκλογὴν ποὺ σᾶς ἔκαμε.

5 ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει καὶ ἐν Πνεύματι Ἁγίῳ καὶ ἐν πληροφορίᾳ πολλῇ, καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς·

5 Γνωρίζομεν δέ, ὅτι πράγματι εἶσθε ἐκλεκτοὶ τοῦ Θεοῦ, διότι τὸ εὐαγγέλιον, ποὺ σᾶς ἐκηρύξαμεν, δὲν ἐκηρύχθη μὲ λόγον μόνον, ἀλλὰ καὶ μὲ δύναμιν, ποὺ ἔδιδε καρποφορίαν εἰς τὸν λόγον, μὲ Πνεῦμα Ἅγιον τὸ ὁποῖον σᾶς μετέδωκε τὰ χαρίσματά του, καὶ μὲ πληροφορίαν πολλήν, τὴν ὁποίαν ἐγέννα εἰς τὸ ἐσωτερικόν σας ἡ χάρις τοῦ Πνεύματος. Ἠξεύρετε δὲ πῶς ἡμεῖς συμπεριεφέρθημεν μεταξύ σας διὰ νὰ σᾶς ὠφελήσωμεν.

6 καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ μετὰ χαρᾶς Πνεύματος Ἁγίου,

6 Ἀλλ' ἡ ἐκλογή σας φαίνεται καὶ ἀπὸ τὴν συμπεριφοράν, ποὺ ἐδείξατε. Καὶ σεῖς δηλαδὴ ἐγίνατε μιμηταί μας καὶ μιμηταὶ τοῦ Κυρίου, διότι ἐδέχθητε τὸν λόγον τοῦ εὐαγγελίου ἐν μέσῳ πολλῆς θλίψεως, ποὺ σᾶς ἐδημιούργουν οἱ διωγμοὶ τῶν μὴ πιστευσάντων συμπολιτῶν σας. Καὶ τὸν ἐδέχθητε μὲ χαράν, τὴν ὁποίαν ἐγέννα εἰς τὰς καρδίας σας τὸ Ἅγιον Πνεῦμα.

7 ὥστε γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ.

7 Καὶ τόσον πολὺ ἐμιμήθητε ἡμᾶς καὶ τὸν Κύριον, ὥστε νὰ γίνετε σεῖς τύπος καὶ παράδειγμα εἰς ὅλους, ὅσοι πιστεύουν εἰς τὴν Μακεδονίαν καὶ τὴν Ἀχαΐαν.

8 ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Κυρίου· οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι·

8 Καὶ ἐγίνατε παράδειγμα εἰς ὅλους αὐτούς, διότι ἀπὸ σᾶς καὶ τὴν πόλιν σας ἔχει διασαλπισθῆ ὁ λόγος τοῦ Κυρίου ὄχι μόνον εἰς τὴν Μακεδονίαν καὶ εἰς τὴν Ἀχαΐαν, ἀλλὰ καὶ εἰς κάθε τόπον ἔχει διαδοθῆ καὶ ἔχει φθάσει ἡ φήμη τῆς πρὸς τὸν Θεὸν πίστεώς σας, ὥστε νὰ μὴ ἔχωμεν ἡμεῖς ἀνάγκην νὰ εἴπωμεν τίποτε δι' αὐτήν.

9 αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς

9 Διότι αὐτοὶ διηγοῦνται δι' ἡμᾶς ὑπὸ ποίας κινδυνώδεις περιστάσεις ἤλθομεν πρὸς σᾶς, καὶ πῶς σεῖς, παρὰ τοὺς κινδύνους καὶ τὰς ἀπειλὰς ἐκείνας, μὲ ὅλην σας τὴν καρδίαν ἐφύγατε ἀπὸ τὰ εἴδωλα καὶ ἐπεστρέψατε εἰς τὸν ἀληθινὸν Θεόν, διὰ νὰ δου-

[2-3]) β΄ 13. γ΄ 6. ε΄ 8. 2 Θσ. α΄ 3. Κλ. α΄ 3 - 5. Ἐφ. α΄ 15. 16. [4]) 2 Θσ. β΄ 13. 2 Πτ. α΄ 10. Κλ. γ΄ 12. Ῥμ. α΄ 7. [5]) 9. β΄ 1. Ἑβ. ς΄ 11. ι΄ 22. Κλ. β΄ 2. 1 Κρ. β΄ 4. 5. δ΄ 20. [6-7]) β΄ 13. 14. δ΄ 10. 2 Θσ. α΄ 4. γ΄ 7. 9. Ἑβ. ι΄ 34. 1 Πτ. ε΄ 3. 1 Κρ. δ΄ 16. Ῥμ. ιε΄ 26. Πρ. ιγ΄ 52. ιζ΄ 5. 6. 11. [8]) 1 Κρ. ιδ΄ 36. Ῥμ. α΄ 8. ις΄ 19. [9]) 5. β΄ 1. 1 Κρ. ιβ΄ 2. Πρ. ιδ΄ 15. Ἰν. ιζ΄ 3.

τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ,

λεύετε ὄχι εἰς ἄψυχα εἴδωλα, ἀλλ' εἰς Θεὸν ζωντανὸν καὶ ἀληθινόν,

10 καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν, Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.

10 καὶ διὰ νὰ περιμένετε τὸν Υἱόν του ἀπὸ τοὺς οὐρανούς, τὸν ὁποῖον ἀνέστησεν ἐκ τῶν νεκρῶν, δηλαδὴ τὸν Ἰησοῦν, ὁ ὁποῖος μᾶς γλυτώνει ἀπὸ τὴν ὀργήν, ποὺ πρόκειται νὰ ἔλθῃ κατὰ τὴν ἐσχάτην Κρίσιν.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Στίχ. 1-12. Τὸ ἔργον τοῦ Παύλου καὶ τῶν συνεργῶν του ἐν Θεσσαλονίκῃ.

Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς ὅτι οὐ κενὴ γέγονεν,

Πράγματι δὲ τὸ εὐαγγελικὸν κήρυγμά μας εἰς σᾶς δὲν ἔγινε μὲ λόγους μόνον. Διότι σεῖς οἱ ἴδιοι γνωρίζετε, ἀδελφοί, ὅτι ἡ ἐπίσκεψίς μας πρὸς σᾶς δὲν ὑπῆρξεν ἄδειανὴ καὶ κούφια ἀπὸ καρποφόρα καὶ σωτήρια ἀποτελέσματα.

2 ἀλλὰ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε, ἐν Φιλίπποις, ἐπαρρησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι.

2 Ἀλλὰ καίτοι προηγουμένως εἰς τοὺς Φιλίππους ἐκακοποιήθημεν καὶ ὑβρίσθημεν, καθὼς ἠξεύρετε, ἐδείξαμεν θάρρος καὶ ἀφοβίαν, ποὺ μᾶς τὰ ἐνέπνεεν ἡ κοινωνία καὶ σχέσις μας μὲ τὸν Θεόν μας. Καὶ μὲ τὸ θάρρος αὐτὸ ἐκηρύξαμεν εἰς σᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν μέσῳ πολλοῦ ἀγῶνος ἐξ αἰτίας τῶν θλίψεων καὶ πειρασμῶν ποὺ μᾶς ἦλθαν.

3 ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε ἐν δόλῳ,

3 Καὶ εἴχαμεν τὸ θάρρος καὶ τὴν ἀφοβίαν αὐτήν, διότι τὸ κήρυγμά μας, μὲ τὸ ὁποῖον σᾶς προετρέψαμεν νὰ πιστεύσετε, δὲν προήρχετο ἐκ πλάνης, ἀλλ' ἦτο αὐτὴ ἡ ἀλήθεια. Οὔτε ὑπέθαλπε τὴν ἀνηθικότητα καὶ τὴν λατρείαν πρὸς βρωμεροὺς θεούς. Ἀλλ' οὔτε εἶχε σχέσιν μὲ δόλια ἐλατήρια καὶ σκοπούς.

4 ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν.

4 Ἀλλὰ καθὼς ἔχομεν εὑρεθῆ ἀπὸ τὸν Θεὸν δόκιμοι καὶ ἄξιοι διὰ νὰ μᾶς ἐμπιστευθῇ τὸ κήρυγμα τοῦ εὐαγγελίου, ἔτσι διδάσκομεν. Διδάσκομεν δηλαδὴ ὡς κήρυκες, ποὺ ζητοῦν νὰ ἀρέσκουν ὄχι εἰς ἀνθρώπους, ἀλλὰ εἰς τὸν Θεόν, ὁ ὁποῖος ἐξετάζει καὶ γνωρίζει τὰς καρδίας μας.

5 οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας, Θεὸς μάρτυς,

5 Ναί· δὲν ζητοῦμεν νὰ ἀρέσωμεν εἰς ἀνθρώπους· διότι καθὼς ἠξεύρετε καὶ σεῖς, οὔτε ἐπλησιάσαμεν κανένα μὲ λόγον κολακείας διὰ νὰ ὑποθάλψωμεν τὰς ἀδυναμίας του, οὔτε ἐχρησιμοποιήσαμεν τὸ κήρυγμα ὡς πρόσχημα διὰ νὰ καλύψωμεν κάτω ἀπὸ αὐτὸ πλεονεξίαν ἢ φιλοχρηματίαν. Ὁ Θεὸς εἶναι μάρτυς περὶ τούτου.

6 οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν

6 Οὔτε ἐζητήσαμεν νὰ μᾶς δοξάσουν καὶ νὰ μᾶς τιμήσουν οἱ ἄνθρωποι, οὔτε σεῖς οὔτε ἄλλοι, καίτοι ἠδυνάμεθα νὰ ἀπολαμ-

[10]) 2 Θσ. α΄ 7.Ττ. β΄ 13. Φλ. γ΄ 20. Κλ. γ΄ 6. 1 Κρ. α΄ 7. Ῥμ. ε΄ 9. Πρ. α΄ 11.

Β΄. [1-2]) α΄ 5. 9. ε΄ 2. Φλ. α΄ 30. δ΄ 19. Ἐφ. ς΄ 20. Πρ. ις΄ 20 - 24. [3]) 5. 6. 2 Θσ. β΄ 11. Ἐφ. δ΄ 14. 2 Κρ. β΄ 17. δ΄ 2. ε΄ 20. ιβ΄ 16. Πρ. δ΄ 36. ιγ΄ 15. [4]) 1 Τμ. α΄ 11. 12. Ττ. α΄ 3. Ἐφ. ς΄ 6. Γλ. α΄ 10. β΄ 7. Ῥμ. η΄ 27. [5-6]) 3. 10. 2 Κρ. α΄ 23. ζ΄ 2. Πρ. κ΄ 33. Ἰν. ε΄ 41. 44. Μρ. ιβ΄ 40.

οὔτε ἀπὸ ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι,

βάνωμεν τὴν δόξαν, ποὺ μᾶς δίδει ἡ βαρύτης τοῦ ἀξιώματος, ποὺ ἔχομεν ὡς Ἀπόστολοι τοῦ Χριστοῦ.

7 ἀλλ' ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα·

7 Ἀλλ' ὑπήρξαμεν πρᾶοι καὶ ταπεινοὶ μεταξύ σας, σὰν μητέρα, ποὺ περιθάλπει τὰ παιδιά της.

8 οὕτως ὁμειρόμενοι ὑμῶν εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς, διότι ἀγαπητοὶ ἡμῖν γεγένησθε.

8 Ἔτσι διὰ μητρικῆς στοργῆς συνδεόμενοι μὲ σᾶς ἐδεχόμεθα μὲ ὅλην μας τὴν καρδιὰν νὰ σᾶς μεταδώσωμεν ὄχι μόνον τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ψυχάς μας, διότι μᾶς εἴχατε γίνει ἀγαπητοί.

9 μνημονεύετε γάρ, ἀδελφοί, τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον· νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ.

9 Δὲν πιστεύω δὲ νὰ ἀμφιβάλλετε διὰ τὴν ἀγάπην μας αὐτήν. Διότι ἐνθυμεῖσθε, ἀδελφοί, τὸν κόπον καὶ τὸν μόχθον, ποὺ ὑπεφέραμεν διὰ σᾶς. Διότι νύκτα καὶ ἡμέραν εἰργαζόμεθα διὰ νὰ μὴ δώσωμεν βάρος εἰς κανένα ἀπὸ σᾶς καὶ μὲ τόσους κόπους ἐκηρύξαμεν εἰς σᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ.

10 ὑμεῖς μάρτυρες καὶ ὁ Θεὸς ὡς ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν,

10 Εἶσθε μάρτυρες σεῖς καὶ ὁ Θεός, ὅτι συμπεριεφέρθημεν εἰς σᾶς τοὺς πιστεύοντας μὲ ἀφοσίωσιν καὶ εὐλάβειαν ἀπέναντι τοῦ Θεοῦ καὶ μὲ δικαιοσύνην ἀπέναντι τῶν ἀνθρώπων, ἀλλὰ καὶ ἀμέμπτως ἐν σχέσει πρὸς ὅλα τὰ καθήκοντά μας.

11 καθάπερ οἴδατε ὡς ἕνα ἕκαστον ὑμῶν ὡς πατὴρ τέκνα ἑαυτοῦ παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι

11 Καθὼς βεβαίως ἠξεύρετε, ὅτι καθένα ἀπὸ σᾶς, σὰν πατέρας τὰ παιδιά του, σᾶς ἐπροτρέπαμεν καὶ σᾶς ἐπαρηγορούσαμεν

12 καὶ μαρτυρόμενοι εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν.

12 καὶ σᾶς ἐξωρκίζαμεν διὰ νὰ πολιτευθῆτε, ὅπως ἤξιζε καὶ ἔπρεπε εἰς τὸν Θεόν, ποὺ σᾶς ἐκάλεσεν εἰς τὴν ἰδικήν του βασιλείαν καὶ δόξαν.

Στίχ. 13-16. Ὁ ζῆλος τῶν Θεσσαλονικέων.

13 Διὰ τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ Θεῷ ἀδιαλείπτως, ὅτι παραλαβόντες λόγον ἀκοῆς παρ' ἡμῶν τοῦ Θεοῦ ἐδέξασθε οὐ λόγον ἀνθρώπων, ἀλλὰ καθώς ἐστιν ἀληθῶς, λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν.

13 Ἐπειδὴ δὲ ἀνταπεκρίθητε εἰς τὴν κλῆσιν τοῦ Θεοῦ, διὰ τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τὸν Θεὸν ἀκατάπαυστα, διότι μὲ προθυμίαν ἠκούσατε ἀπὸ ἡμᾶς λόγον Θεοῦ, καὶ τὸν ἐδέχθητε ὄχι σὰν λόγον ἀνθρώπων, ἀλλά, καθὼς καὶ πράγματι εἶναι, ὡς λόγον Θεοῦ, ποὺ παράγει τὰ θαυμαστὰ ἀποτελέσματά του μεταξὺ ὑμῶν, οἱ ὁποῖοι τὸν πιστεύετε.

[7-8]) 10. 17. 2 Κρ. ι΄ 1. 2. 10. 11. ιβ΄ 15. 1 Κρ. β΄ 3. δ΄ 21. Ῥμ. α΄ 11. – Δτ. κβ΄ 6. [9]) 2 Θσ. γ΄ 8. 9. 2 Κρ. ια΄ 7. 9. 27. Πρ. ιη΄ 3. κ΄ 34. [10]) 5. Ττ. β΄ 12. Ἰν. ιε΄ 26. 27. [11-12]) 7. δ΄ 1. 2 Θσ. β΄ 14. 1 Τμ. ς΄ 12. 1 Πτ. ε΄ 10. Κλ. α΄ 10. 13. Ἐφ. δ΄ 1. 17. 1 Κρ. α΄ 9. δ΄ 14. 15. Πρ. κ΄ 18. 20. 31. [13]) α΄ 2. 6. 2 Θσ. β΄ 13. Γλ. α΄ 11. δ΄ 14. Ῥμ. ι΄ 16. 17. Πρ. η΄ 14. ια΄ 1.

14 ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοί, τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ ἐν Χριστῷ Ἰησοῦ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων,

14 Λέγω ὅτι τὸν ἐδέχθητε σὰν λόγον Θεοῦ, διότι σεῖς, ἀδελφοί, ἐγίνατε μιμηταὶ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ, ποὺ εἶναι εἰς τὴν Ἰουδαίαν ἑνωμέναι μὲ τὸν Ἰησοῦν Χριστόν. Καὶ ἐγίνατε μιμηταὶ ἐκείνων, διότι καὶ σεῖς ἐπάθατε τὰ ἴδια ἀπὸ τοὺς ὁμοεθνεῖς σας, καθὼς καὶ ἐκεῖνοι ἀπὸ τοὺς ἀπιστήσαντας Ἰουδαίους,

15 τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων,

15 οἱ ὁποῖοι καὶ τὸν Κύριον Ἰησοῦν καὶ τοὺς προφήτας των ἐθανάτωσαν, καὶ ἡμᾶς σκληρὰ κατεδίωξαν καὶ εἰς τὸν Θεὸν δὲν ἀρέσκουν καὶ εἶναι ἐναντίοι πρὸς ὅλους τοὺς ἀνθρώπους, ἀφοῦ καταπολεμοῦν τὸν Σωτῆρα τοῦ κόσμου.

16 κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσιν, εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε. ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.

16 Αὐτοὶ μᾶς ἐμποδίζουν νὰ λαλήσωμεν τὸν λόγον τοῦ Θεοῦ εἰς τοὺς ἐθνικοὺς διὰ νὰ σωθοῦν καὶ αὐτοί. Πράττουν δὲ ταῦτα διὰ νὰ γεμίσουν ἕως ἐπάνω τὸ μέτρον τῶν ἁμαρτιῶν των, πάντοτε καὶ εἰς κάθε ἐποχὴν ἁμαρτάνοντες. Ἔφθασεν ὅμως ἡ θεία ὀργὴ ἐπάνω των, διὰ νὰ ἐπιφέρῃ τὸ τέλος καὶ τὴν καταστροφήν των.

Στίχ. 17-20. Σφοδρὰ ἐπιθυμία τοῦ Παύλου νὰ ἐπανέλθῃ εἰς Θεσσαλονίκην.

17 Ἡμεῖς δέ, ἀδελφοί, ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ.

17 Ἡμεῖς ὅμως, ἀδελφοί, ὅταν ἐχωρίσθημεν ἀπὸ σᾶς καὶ ἐμείναμεν σὰν ὀρφανὰ παιδιά, μακρὰν ἀπὸ σᾶς προσωρινὰ καὶ μὲ τὸ σῶμα μόνον, ὄχι ὅμως καὶ μὲ τὴν καρδίαν, εἰς μεγάλον βαθμὸν καὶ μὲ πολλὴν ἐπιθυμίαν ἐποθήσαμεν νὰ ἴδωμεν τὸ πρόσωπόν σας.

18 διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, ἐγὼ μὲν Παῦλος καὶ ἅπαξ καὶ δίς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ σατανᾶς.

18 Δι' αὐτὸ ἠθελήσαμεν νὰ ἔλθωμεν πρὸς σᾶς, ἐγὼ μὲν ὁ Παῦλος καὶ μίαν καὶ δύο φοράς, καὶ μᾶς ἠμπόδισεν ὁ σατανᾶς.

19 τίς γὰρ ἡμῶν ἐλπὶς ἢ χαρὰ ἢ στέφανος καυχήσεως ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ αὐτοῦ παρουσίᾳ;

19 Ἠθελήσαμεν δὲ νὰ ἔλθωμεν εἰς συνάντησίν σας, διότι ποῖος ἄλλος εἶναι ἡ ἐλπίδα μας ἢ χαρά μας ἢ στέφανός μας, διὰ τὸν ὁποῖον δυνάμεθα νὰ καυχώμεθα παρὰ καὶ σεῖς μαζὶ μὲ τοὺς ἄλλους, εἰς τοὺς ὁποίους ἐκηρύξαμεν; Διὰ σᾶς ἐλπίζομεν νὰ εὕρωμεν ἔλεος καὶ δόξαν ἐνώπιον τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ εἰς τὴν δευτέραν παρουσίαν του.

20 ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ χαρά.

20 Καὶ ἐλπίζομεν αὐτὸ διὰ τότε, διότι καὶ τώρα σεῖς εἶσθε ἡ δόξα μας καὶ ἡ χαρά μας.

---

[14]) α΄ 6. Ἑβ. ι΄ 34. Γλ. α΄ 22. Πρ. η΄ 1. ιβ΄ 1. ιζ΄ 5 - 9. [15-16]) Πρ. β΄ 23. ζ΄ 51. 52. θ΄ 23 - 30. ιγ΄ 45. 50. ιδ΄ 19. ιζ΄ 5. 13. ιθ΄ 8. 9. Μτ. κγ΄ 32. 33. 37. 38. – Γν. ιε΄ 16. Δν. η΄ 23. 2 Μκ. ς΄ 14. [17-18]) 7. γ΄ 6. 10. 11. Φλμ. 15. Φλ. δ΄ 16. Γλ. β΄ 5. 2 Κρ. ζ΄ 8. Ῥμ. α΄ 11. 13. ιε΄ 22. 23. [19-20]) Πρμ. ις΄ 31. Ἰζ. ις΄ 12. κγ΄ 42. 1 Θσ. γ΄ 13. ε΄ 23. 2 Θσ. α΄ 4. Φλ. β΄ 16. δ΄ 1. 2 Κρ. α΄ 14. 1 Κρ. θ΄ 25.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Στίχ. 1-5. Ἐπειδὴ ὁ ἴδιος ἠμποδίσθη, ἔστειλε τὸν Τιμόθεον.

Διὸ μηκέτι στέγοντες εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι,

Διότι λοιπὸν σᾶς ἐπεθυμήσαμεν πολύ, δι' αὐτό, ἐπειδὴ δὲν ὑπεφέραμεν πλέον νὰ εἴμεθα χωρισμένοι ἀπὸ σᾶς, ἐπροτιμήσαμεν νὰ μείνωμεν μόνοι εἰς τὰς Ἀθήνας.

2 καὶ ἐπέμψαμεν Τιμόθεον, τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον τοῦ Θεοῦ καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑμᾶς περὶ τῆς πίστεως ὑμῶν,

2 Καὶ ἐστείλαμεν τὸν Τιμόθεον τὸν ἀδελφόν μας καὶ διάκονον τοῦ Θεοῦ καὶ συνεργάτην μας εἰς τὸ κήρυγμα τοῦ εὐαγγελίου τοῦ Χριστοῦ, διὰ νὰ σᾶς στηρίξῃ καὶ σᾶς παρηγορήσῃ καὶ σᾶς ἐνισχύσῃ εἰς τὴν πίστιν σας,

3 τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα·

3 ὥστε νὰ μὴ κλονίζεται κανεὶς εἰς τὰς θλίψεις αὐτάς. Διότι σεῖς ἠξεύρετε, ὅτι διὰ τοῦτο, διὰ νὰ ὑποφέρωμεν δηλαδὴ θλίψεις, ἔχομεν ταχθῆ.

4 καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν ὅτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο καὶ οἴδατε.

4 Τὸ ἠξεύρετε δέ, διότι καὶ ὅταν ἤμεθα πλησίον σας, σᾶς ἐπρολέγαμεν, ὅτι μέλλομεν νὰ ὑποφέρωμεν θλίψεις, καθὼς καὶ ἔγινε καὶ τὸ γνωρίζετε πλέον ἐκ πείρας.

5 διὰ τοῦτο κἀγὼ μηκέτι στέγων ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μήπως ἐπείρασεν ὑμᾶς ὁ πειράζων καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν.

5 Ἐπειδὴ δὲ σᾶς ἦλθαν θλίψεις, δι' αὐτὸ καὶ ἐγὼ δὲν ἠμποροῦσα πλέον νὰ ὑποφέρω τὰς φροντίδας καὶ τοὺς φόβους, ποὺ εἶχα διὰ σᾶς, καὶ ἔστειλα τὸν Τιμόθεον, διὰ νὰ μάθω περὶ τῆς πίστεώς σας καὶ πληροφορηθῶ, μήπως σᾶς ἐπείρασε καὶ σᾶς ἐκλόνισεν αὐτός, ποὺ πειράζει τοὺς ἀνθρώπους, καὶ καταντήσῃ ἔτσι ἀνωφελὴς καὶ χαμένος ὁ διὰ σᾶς κόπος μας.

Στίχ. 6-13. Αἱ καλαὶ εἰδήσεις τοῦ Τιμοθέου παρηγόρησαν τὸν Ἀπόστολον.

6 Ἄρτι δὲ ἐλθόντος Τιμοθέου πρὸς ἡμᾶς ἀφ' ὑμῶν καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι ἔχετε μνείαν ἡμῶν ἀγαθὴν πάντοτε, ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν καθάπερ καὶ ἡμεῖς ὑμᾶς,

6 Τώρα δέ, ὅταν μᾶς ἦλθεν ἀπὸ σᾶς ὁ Τιμόθεος καὶ μᾶς ἔφερε χαροποιὰς εἰδήσεις διὰ τὴν πίστιν καὶ τὴν ἀγάπην σας καὶ μᾶς ἐβεβαίωσεν, ὅτι ἔχετε πάντοτε ἀγαθὴν ἀνάμνησιν ἡμῶν καὶ ποθεῖτε πολὺ νὰ μᾶς ἴδετε, καθὼς καὶ ἡμεῖς ποθοῦμεν νὰ σᾶς ἴδωμεν,

7 διὰ τοῦτο παρεκλήθημεν, ἀδελφοί, ἐφ' ὑμῖν ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν διὰ τῆς ὑμῶν πίστεως·

7 διὰ τὰς εἰδήσεις αὐτάς, ἀδελφοί, λόγῳ τῆς ἀκλονήτου πίστεώς σας ἐπαρηγορήθημεν ἐξ αἰτίας σας εἰς ὅλην τὴν θλῖψιν καὶ στενοχωρίαν μας.

Γ΄. [1-2]) 5. 2 Θσ. β΄ 17. Κλ. δ΄ 7. 8. Φλ. β΄ 19. 20. Πρ. ιγ΄ 43. ιζ΄ 15. 16. [3-4]) 2 Τμ. γ΄ 12. 1 Πτ. δ΄ 12. Φλ. α΄ 16. 28. 29. Πρ. ιδ΄ 22. [5]) 1. Φλ. β΄ 16. 2 Κρ. β΄ 11. Λκ. κβ΄ 31. [6]) 10. 12. α΄ 3. β΄ 17. 2 Κρ. ζ΄ 7. Πρ. ιη΄ 5. [7]) 2 Κρ. ζ΄ 4. 6.

8 ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκετε ἐν Κυρίῳ.

8 Καὶ ἐπαρηγορήθημεν, διότι ὁ στηριγμός σας εἰς τὴν πίστιν εἶναι ζωή μας. Καὶ τώρα ζῶμεν, ἐὰν σεῖς μένετε στερεοὶ εἰς τὴν μετὰ τοῦ Κυρίου σχέσιν καὶ κοινωνίαν.

9 τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ Θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν ἐπὶ πάσῃ τῇ χαρᾷ ᾗ χαίρομεν δι' ὑμᾶς ἔμπροσθεν τοῦ Θεοῦ ἡμῶν,

9 Πράγματι δὲ ἡ πίστις σας εἶναι ζωὴ εὐφρόσυνος δι' ἡμᾶς. Διότι ποίαν εὐχαριστίαν δυνάμεθα νὰ ἀνταποδώσωμεν εἰς τὸν Θεὸν διὰ σᾶς, δι' ὅλην τὴν χαράν, ποὺ χαίρομεν ἐξ αἰτίας σας ἐμπρὸς εἰς τὸν Θεόν, τοῦ ὁποίου δῶρον εἶναι ἡ προκοπὴ σας καὶ ὁ στηριγμός σας εἰς τὴν πίστιν;

10 νυκτὸς καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν;

10 Καὶ αὐτὸν νύκτα καὶ ἡμέραν παρακαλοῦμεν θερμῶς νὰ μᾶς κατευοδώσῃ διὰ νὰ ἴδωμεν τὸ πρόσωπόν σας καὶ νὰ τελειοποιήσωμεν τὰς ἐλλείψεις τῆς πίστεώς σας.

11 Αὐτὸς δὲ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς·

11 Εἴθε δὲ ὁ Θεὸς καὶ πατήρ μας καὶ ὁ Κύριός μας Ἰησοῦς Χριστὸς νὰ ἀπομακρύνῃ κάθε ἐμπόδιον ἀπὸ τὸν δρόμον μας καὶ νὰ διευκολύνῃ τὸ ταξίδιον μας πρὸς σᾶς.

12 ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς,

12 Εἰς σᾶς δὲ εἴθε νὰ δώσῃ ὁ Κύριος μὲ τὸ παραπάνω καὶ νὰ περισσεύσῃ τὴν ἀγάπην ἀναμεταξύ σας καὶ πρὸς ὅλους τοὺς ἀνθρώπους, καθὼς καὶ ἡμεῖς τὴν ἔχομεν πρὸς σᾶς.

13 εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.

13 Καὶ ἔτσι νὰ στηρίξῃ τὰς καρδίας σας, ὥστε νὰ εἶσθε ἄμεμπτοι, ἁγιασμένοι ἐνώπιον τοῦ Θεοῦ καὶ πατρός μας κατὰ τὴν ἔνδοξον παρουσίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁπότε θὰ ἔλθῃ μὲ ὅλους τοὺς ἁγίους του.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Στίχ. 1-8. Προτροπαὶ ἵνα ἔχουν ἁγνὰ ἤθη.

Τὸ λοιπὸν οὖν, ἀδελφοί, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ, καθὼς παρελάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον·

Μένει τώρα νὰ σᾶς κάμω καὶ μερικὰς ἄλλας συστάσεις. Σᾶς παρακαλοῦμεν λοιπόν, ἀδελφοί, καὶ σᾶς προτρέπομεν μὲ τὸ κῦρος, ποὺ μᾶς δίδει ἡ μετὰ τοῦ Κυρίου Ἰησοῦ κοινωνία, καθὼς παρελάβετε μὲ τὴν προφορικὴν διδασκαλίαν μας, περὶ τοῦ πῶς πρέπει νὰ συμπεριφέρεσθε καὶ νὰ ἀρέσκετε εἰς τὸν Θεόν, ἔτσι ἀκριβῶς νὰ προοδεύετε ὅσον τὸ δυνατὸν περισσότερον εἰς τὴν χριστιανικὴν τελειότητα.

[8]) Φλ. δ΄ 1. 2 Κρ. ς΄ 9. [9-10]) 6. α΄ 2. 3. β΄ 17. 3 Ἰν. 4. [11]) β΄ 18. ε΄ 23. 2 Θσ. β΄ 16. γ΄ 16. Ῥμ. α΄ 10. Ἰν. α΄ 23. – Ψ. ριη΄ 5. [12]) 6. δ΄ 1. 9. ε΄ 15. 2 Πτ. α΄ 7. [13]) ε΄ 23. 2 Θσ. α΄ 7. 10. β΄ 17. Φλ. α΄ 10. 2 Κρ. ζ΄ 1. 1 Κρ. α΄ 8. Μτ. ις΄ 27.

Δ΄. [1-2]) 10 - 12. 15. β΄ 12. γ΄ 12. ε΄ 12. Φλ. α΄ 27. 1 Κρ. ιε΄ 1. Ῥμ. ιβ΄ 1. ιε΄ 30.

2 οἴδατε γὰρ τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου Ἰησοῦ.

2 Δὲν σᾶς χρειάζεται ἄλλη διδασκαλία ἐπ' αὐτοῦ. Διότι γνωρίζετε, ποίας παραγγελίας σᾶς ἐδώκαμεν σύμφωνα πρὸς τὸ θέλημα τοῦ Κυρίου Ἰησοῦ.

3 Τοῦτο γάρ ἐστι θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας,

3 Καὶ διὰ νὰ ἐξηγηθῶ καθαρώτερα, τοῦτο εἶναι θέλημα τοῦ Θεοῦ, νὰ ἁγιάζετε τοὺς ἑαυτούς σας μὲ τὴν ἁγνότητα, δηλαδὴ σεῖς οἱ Χριστιανοὶ νὰ ἀπέχετε ἀπὸ τὴν πορνείαν.

4 εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ,

4 Πρέπει νὰ γνωρίζῃ ἕκαστος ἀπὸ σᾶς νὰ συγκρατῇ ὑπὸ τὴν κυριαρχίαν καὶ κατοχήν του τὸ σῶμα του καὶ νὰ τὸ διατηρῇ πάντοτε ἁγιασμένον καὶ τιμημένον.

5 μὴ ἐν πάθει ἐπιθυμίας καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν,

5 Καὶ νὰ μὴ εἶναι κανεὶς ἀπὸ σᾶς αἰχμάλωτος ἐμπαθοῦς καὶ ἀκολάστου ἐπιθυμίας, καθὼς εἶναι οἱ ἐθνικοί, ποὺ δὲν γνωρίζουν τὸν ἀληθινὸν Θεόν.

6 τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ, διότι ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων, καθὼς καὶ προείπομεν ὑμῖν καὶ διεμαρτυράμεθα.

6 Πρέπει νὰ γνωρίζῃ ὁ καθένας σας νὰ μὴ ἐξαπατᾷ καὶ πλεονεκτῇ διὰ τῆς μοιχείας τὸν ἀδελφόν του εἰς τὸ πρᾶγμα αὐτό, διὰ τὸ ὁποῖον ὁμιλοῦμεν. Διότι ὁ Κύριος εἶναι ἐκδικητὴς δι' ὅλας αὐτὰς τὰς πράξεις τῆς ἀκαθαρσίας, σύμφωνα καὶ μὲ ὅσα σᾶς εἴπαμεν, ὅταν ἤμεθα εἰς τὴν πόλιν σας καὶ διεμαρτυρήθημεν εἰς σᾶς.

7 οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ.

7 Διότι δὲν μᾶς ἐκάλεσεν ὁ Θεὸς διὰ νὰ ριπτώμεθα εἰς τὴν ἀκαθαρσίαν, ἀλλὰ διὰ νὰ ζῶμεν εἰς κατάστασιν ἁγιασμοῦ.

8 τοιγαροῦν ὁ ἀθετῶν οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν τὸν καὶ δόντα τὸ Πνεῦμα αὐτοῦ τὸ Ἅγιον εἰς ὑμᾶς.

8 Ὥστε λοιπὸν ἐκεῖνος, ποὺ γίνεται παραβάτης, δὲν ἀθετεῖ ἀνθρώπου ἐντολάς, ἀλλὰ ἀθετεῖ τὴν ἐντολὴν τοῦ Θεοῦ, ὁ ὁποῖος σᾶς ἔδωκε καὶ τὸ Πνεῦμα του τὸ Ἅγιον διὰ νὰ διατηρῆσθε μὲ τὴν χάριν του εἰς τὴν ἁγνότητα καὶ τὸν ἁγιασμόν.

Στίχ. 9-12. Φιλάδελφοι καὶ ἐργατικοί.

9 Περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχετε γράφειν ὑμῖν· αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους·

9 Διὰ τὴν ἀγάπην δὲ πρὸς τοὺς Χριστιανοὺς ἀδελφοὺς δὲν ἔχετε ἀνάγκην νὰ σᾶς γράψωμεν, διότι σεῖς μόνοι σας εἶσθε διδαγμένοι ἀπὸ τὸν Θεὸν εἰς τὸ νὰ ἀγαπᾷ ὁ ἕνας τὸν ἄλλον.

10 καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ. παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, περισσεύειν μᾶλλον
11 καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν καὶ πράσσειν τὰ ἴδια καὶ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν ὑμῶν, καθὼς ὑμῖν παρηγγείλαμεν,

10, 11 Ἀπόδειξις δὲ τούτου εἶναι, τὸ ὅτι καὶ ἐφαρμόζετε τὴν ἀρετὴν αὐτὴν εἰς ὅλους τοὺς ἀδελφοὺς Χριστιανούς, ποὺ εὑρίσκονται εἰς ὅλην τὴν Μακεδονίαν. Σᾶς παρακαλοῦμεν δέ, ἀδελφοί, νὰ ἀσκῆτε μὲ ἀκόμη περισσοτέραν περίσσειαν τὴν ἀρετὴν αὐτὴν καὶ νὰ προσπαθῆτε μὲ φιλοτιμίαν νὰ ἡσυχάζετε καὶ νὰ καταγίνεσθε ὁ καθένας σας εἰς τὰς ἰδικάς του ὑποθέσεις καὶ νὰ ἐργάζεσθε μὲ τὰ ἴδια σας τὰ χέρια σύμφωνα μὲ τὰς προφορικὰς παραγγελίας, ποὺ σᾶς ἐδώκαμεν.

[3-5]) Λτ. ια΄ 44. ιθ΄ 2. 1 Θσ. δ΄ 7. 2 Θσ. α΄ 8. Ἑβ. ιβ΄ 14. ιγ΄ 4. 1 Πτ. α΄ 15. 16. γ΄ 7. Κλ. γ΄ 5. Γλ. δ΄ 8. 1 Κρ. ς΄ 13. 15. ζ΄ 2. Ῥμ. α΄ 24. [6]) 11. Ἐφ. δ΄ 19. Γλ. ε΄ 21. 1 Κρ. ς΄ 8 - 10. Ῥμ. ιγ΄ 4. [7]) 3. [8]) 1 Κρ. ς΄ 19. 20. Λκ. ι΄ 16. [9]) γ΄ 12. ε΄ 1. 2. Ἑβ. ιγ΄ 1. 1 Ἰν. β΄ 20. 27. Ἰν. ς΄ 45. ιγ΄ 34. [10-12]) α΄ 3. 7. γ΄ 12. δ΄ 1. 2. ε΄ 11. 2 Θσ. γ΄ 4. 6 - 12. 1 Πτ. δ΄ 15. Κλ. δ΄ 5. Ἐφ. δ΄ 28. 2 Κρ. ε΄ 9. 1 Κρ. ε΄ 12. Ῥμ. ιγ΄ 13.

12 ἵνα περιπατῆτε εὐσχημόνως πρὸς τοὺς ἔξω καὶ μηδενὸς χρείαν ἔχητε.

12 Βάλετε τὰς προτροπάς μας αὐτὰς εἰς ἐνέργειαν, διὰ νὰ συμπεριφέρεσθε μὲ εὐπρέπειαν πρὸς τοὺς ἔξω τῆς Ἐκκλησίας ἀπίστους καὶ νὰ μὴ λαμβάνετε ἀνάγκην διὰ τίποτε, ἀφοῦ θὰ προμηθεύεσθε ὅλα μὲ τὴν ἰδικήν σας ἐργασίαν.

Στίχ. 13-18. Νὰ μὴ ταράσσωνται περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν.

13 Οὐ θέλομεν δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα.

13 Ἂς ἔλθω τώρα καὶ εἰς ἕνα ἄλλο σοβαρὸν ζήτημα. Δὲν θέλομεν, ἀδελφοί, νὰ ἔχετε σεῖς ἄγνοιαν διὰ τοὺς ἀποθαμένους, διὰ νὰ μὴ λυπῆσθε, καθὼς λυποῦνται καὶ οἱ λοιποί, οἱ ὁποῖοι δὲν ἔχουν ἐλπίδα ἀναστάσεως.

14 εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ.

14 Δὲν πρέπει δὲ νὰ λυπῆσθε σὰν κι' αὐτούς, διότι ἐὰν ἔχωμεν πεποίθησιν, ὅτι ὁ Ἰησοῦς ἀπέθανε καὶ ἀνεστήθη, ἔτσι πρέπει νὰ πιστεύωμεν, ὅτι καὶ ὁ Θεὸς ἐκείνους, ποὺ ἀπέθαναν ἑνωμένοι διὰ τῆς πίστεως μὲ τὸν Ἰησοῦν, θὰ τοὺς φέρῃ ἐνδόξως εἰς τὴν αἰωνίαν ζωὴν μαζὶ μὲ αὐτόν.

15 τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας·

15 Ναί· θὰ τοὺς φέρῃ μαζὶ μὲ τὸν Ἰησοῦν. Διότι τοῦτο σᾶς λέγομεν ὄχι ἀπὸ τὸν ἑαυτόν μας, ἀλλὰ ἀπὸ λόγον ποὺ μᾶς εἶπεν ὁ Κύριος, ὅτι δηλαδὴ ἡμεῖς οἱ ζωντανοί, ποὺ θὰ ἀπομένωμεν κατὰ τὴν δευτέραν παρουσίαν, δὲν θὰ προφθάσωμεν τοὺς ἀποθαμένους, οἱ ὁποῖοι θὰ μᾶς προλάβουν εἰς τὴν προαπάντησιν τοῦ Κυρίου.

16 ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον,

16 Καὶ λέγω, ὅτι δὲν θὰ προφθάσωμεν τοὺς ἀποθαμένους, διότι αὐτὸς ὁ Κύριος μὲ πρόσταγμα, μὲ φωνὴν ἀρχαγγέλου καὶ μὲ σάλπιγγα Θεοῦ θὰ καταβῇ ἀπὸ τὸν οὐρανὸν καὶ οἱ νεκροί, ποὺ ἀπέθαναν μὲ πίστιν εἰς τὸν Χριστόν, αὐτοὶ πρῶτον θὰ ἀναστηθοῦν.

17 ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

17 Ἔπειτα ἡμεῖς, ποὺ θὰ ἀπομένωμεν τότε εἰς τὴν ζωήν, συγχρόνως καὶ μαζὶ μὲ αὐτοὺς θὰ ἁρπαχθῶμεν μὲ σύννεφα διὰ νὰ ἀπαντήσωμεν τὸν Κύριον εἰς τὸ μεταξὺ γῆς καὶ οὐρανοῦ διάστημα, καὶ ἔτσι,ἀφοῦ ἀναβῶμεν μαζί του εἰς τὸν οὐρανόν, θὰ εἴμεθα πάντοτε μετὰ τοῦ Κυρίου.

18 Ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις.

18 Ἀφοῦ λοιπὸν πιστεύετε καὶ ἠξεύρετε αὐτὰ διὰ τοὺς ἀποθαμένους, παρηγορεῖτε ὁ ἕνας τὸν ἄλλον μὲ τοὺς λόγους αὐτοὺς τῆς ἐλπίδος, ποὺ σᾶς γράφω.

[13]) 18. ε΄ 6. 14. Φλ. α΄ 12. Ἐφ. β΄ 3. 12. 1 Κρ. ιε΄ 19. 32. Ῥμ. α΄ 13. Πρ. κγ΄ 6 - 8. Ἰν. ια΄ 13. [14]) 1 Κρ. ς΄ 14. ιε΄ 3. 4. 12 - 20. Ῥμ. η΄ 11. Ἰν. ε΄ 28. 29. ς΄ 39. [15]) 2. 17. 1 Κρ. ζ΄ 10. 52. ιε΄ 51. Ῥμ. ιγ΄ 11. [16]) 2 Θσ. α΄ 7. 1 Κρ. ιε΄ 23. 25. Μτ. κδ΄ 31. [17]) 14. 15. ε΄ 10. Ἀπ. ια΄ 12. Πρ. α΄ 9. 11. Ἰν. ιβ΄ 26. ιδ΄ 3. ιζ΄ 24. [18]) 13. ε΄ 11.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Στίχ. 1-11. Ἡ δευτέρα παρουσία τοῦ Κυρίου ἄγνωστον πότε θὰ γίνῃ. Οἱ Χριστιανοὶ πρέπει νὰ εἶναι πάντοτε ἄγρυπνοι.

Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοί, οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι·

Διὰ τοὺς χρόνους δὲ καὶ τοὺς καιροὺς τῆς δευτέρας παρουσίας, ἀδελφοί, δὲν ἔχετε ἀνάγκην νὰ σᾶς γράφωμεν.

2 αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε ὅτι ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται.

2 Διότι σεῖς ἠξεύρετε ἀπὸ τὴν προφορικὴν διδασκαλίαν, τὴν ὁποίαν μὲ ἀκρίβειαν ἐνθυμεῖσθε, ὅτι ἡ ἡμέρα τῆς παρουσίας τοῦ Κυρίου πρόκειται νὰ ἔλθῃ ἔτσι ἔξαφνα, ὅπως ἔρχεται ὁ κλέπτης κατὰ τὴν νύκτα. Τόσον ἡ συντέλεια τοῦ κόσμου, ὅτε θὰ ἔλθῃ ὁ Κύριος ὡς Κριτής, ὅσον καὶ ἡ ἡμέρα τοῦ θανάτου ἑκάστου ἀνθρώπου, κατὰ τὴν ὁποίαν ἔρχεται διὰ τὸν καθένα μας ὁ Κύριος, θὰ μᾶς καταλάβουν ἔξαφνα.

3 ὅταν γὰρ λέγωσιν, εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσιν.

3 Διότι ὅταν λέγουν οἱ ἄνθρωποι τοῦ κόσμου, ἔχομεν τώρα εἰρήνην καὶ ἀσφάλειαν, τότε ἐπέρχεται ἐξαφνικὴ ἡ καταστροφὴ κατ' αὐτῶν, καθὼς ἔξαφνα ἔρχεται καὶ ὁ πόνος τοῦ τοκετοῦ εἰς τὴν ἔγκυον γυναῖκα· καὶ ἔτσι οἱ ἄνθρωποι αὐτοὶ δὲν θὰ διαφύγουν τὴν καταστροφὴν αὐτήν.

4 ὑμεῖς δέ, ἀδελφοί, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ·

4 Σεῖς ὅμως, ἀδελφοί, δὲν εὑρίσκεσθε εἰς σκότος κακίας καὶ ἁμαρτίας, διὰ νὰ σᾶς καταλάβῃ ἔξαφνα καὶ ἐπάνω εἰς τὰ ἔργα τοῦ σκότους σὰν κλέπτης ἡ ἡμέρα τοῦ Κυρίου.

5 πάντες ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας. οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους.

5 Ὅλοι σεῖς εἶσθε τέκνα φωτὸς καὶ τέκνα ἡμέρας καὶ συνεπῶς, ὁποτεδήποτε καὶ ἂν ἔλθῃ ἡ ἡμέρα τοῦ Κυρίου, θὰ σᾶς εὕρῃ νὰ πράττετε ἔργα ἀρετῆς φωτεινά. Δὲν εἴμεθα τέκνα νυκτὸς οὔτε σκότους.

6 Ἄρα οὖν μὴ καθεύδωμεν ὡς καὶ οἱ λοιποί, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν.

6 Σύμφωνα μὲ αὐτὰ λοιπὸν ἂς μὴ κοιμώμεθα τὸν ὕπνον τῆς ἀδιαφορίας καὶ ἀπροσεξίας, καθὼς καὶ οἱ λοιποὶ ποὺ ἀγνοοῦν τὸν Χριστόν, ἀλλ' ἂς εἴμεθα ἄγρυπνοι καὶ ἂς ἐγκρατευώμεθα.

7 οἱ γὰρ καθεύδοντες νυκτὸς καθεύδουσι, καὶ οἱ μεθυσκόμενοι νυκτὸς μεθύουσιν·

7 Ἂς μὴ κοιμώμεθα, διότι ἐκεῖνοι ποὺ κοιμῶνται, κοιμῶνται ἐν καιρῷ νυκτός, καὶ ἐκεῖνοι ποὺ μεθοῦν, μεθοῦν τὴν νύκτα. Εὑρίσκονται λοιπὸν αὐτοὶ εἰς τὸ σκοτάδι τῆς ἁμαρτίας καὶ εἰς τὸ σκοτάδι θὰ τοὺς εὕρῃ ἡ ἡμέρα τοῦ Κυρίου, ὅταν θὰ ἔλθῃ ἔξαφνα.

8 ἡμεῖς δὲ ἡμέρας ὄντες νήφωμεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης καὶ περικεφαλαίαν ἐλπίδα σωτηρίας·

8 Ἀλλ' ἡμεῖς οἱ Χριστιανοί, ἐφ' ὅσον εἴμεθα τέκνα ἡμέρας, ἂς ἐγκρατευώμεθα ἀπὸ κάθε κακίαν καὶ ἂς ὁπλισθῶμεν μὲ τὰ κατάλληλα πνευματικὰ ὅπλα. Ἂς ἐνδυθῶμεν δηλαδὴ ὡς πνευματικὸν θώρακα, ποὺ θὰ ἀσφαλίζῃ ὁλόκληρον τὸν ἐσωτερικόν μας ἄνθρωπον, τὴν πίστιν καὶ τὴν ἀγάπην, καὶ σὰν περικεφαλαίαν, ποὺ θὰ προφυλάττῃ τὸν νοῦν μας ἀπὸ τὸν κίνδυνον τῆς ἀποθαρρύνσεως καὶ ἀπογνώσεως, τὴν ἐλπίδα ὅτι θὰ ἀπολαύσωμεν τὴν σωτηρίαν.

Ε΄. [1-2]) 4. β΄ 1. δ΄ 9. 2 Θσ. β΄ 2. Φλ. α΄ 6. 10. Μτ. κδ΄ 3. 36. 42 - 44. [3]) Ἰρ. ς΄ 14. Ἰζ. ιγ΄ 10. 2 Θσ. α΄ 9. 1 Τμ. ς΄ 9. Φλ. β΄ 12. Ἰν. ις΄ 21. Λκ. ιζ΄ 26. 27. κα΄ 34. 35. [4]) 2. 3. Κλ. α΄ 13. [5]) 8. 1 Πτ. β΄ 9. Ἐφ. ε΄ 8. Λκ. ις΄ 8. [6-7]) δ΄ 13. 1 Πτ. ε΄ 8. Ἐφ. ε΄ 14. Ῥμ. ιγ΄ 11 - 13. Πρ. β΄ 15. Λκ. κα΄ 36. [8]) 5. Ἐφ. ς΄ 14. 17.

9 ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργήν, ἀλλ' εἰς περιποίησιν σωτηρίας διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

9 Ναί· ποτὲ ἡ ἐλπίς, ὅτι θὰ σωθῶμεν, δὲν πρέπει νὰ σβήσῃ μέσα μας. Διότι ὁ Θεὸς δὲν μᾶς προώρισε δι' ὀργὴν καὶ καταδίκην, ἀλλὰ μᾶς προώρισε διὰ νὰ ἀποκτήσωμεν κτῆμα μας ἀσφαλὲς τὴν σωτηρίαν διὰ μέσου τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ,

10 τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν, ἵνα εἴτε γρηγορῶμεν εἴτε καθεύδωμεν ἅμα σὺν αὐτῷ ζήσωμεν.

10 ὁ ὁποῖος ἀπέθανε δι' ἡμᾶς, διὰ νὰ ζήσωμεν ὅλοι μαζί του, εἴτε μᾶς εὕρῃ κατὰ τὴν δευτέραν του παρουσίαν ζωντανοὺς καὶ ἀγρύπνους, εἴτε μᾶς εὕρῃ ἀποθαμένους.

11 Διὸ παρακαλεῖτε ἀλλήλους καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε.

11 Ἀφοῦ δὲ ἔχομεν τέτοιον ὑψηλὸν προορισμόν, δι' αὐτὸ προτρέπετε ὁ ἕνας τὸν ἄλλον καὶ οἰκοδομεῖτε εἰς τὴν ἀρετὴν ὁ καθένας σας τὸν καθένα, καθὼς καὶ πράττετε.

Στίχ. 12-16. Ὑποχρεώσεις τὰς ὁποίας ἐπιβάλλει ἡ χριστιανικὴ ἀγάπη.

12 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ καὶ νουθετοῦντας ὑμᾶς,

12 Σᾶς παρακαλοῦμεν δέ, ἀδελφοί, νὰ ἀναγνωρίζετε καὶ νὰ σέβεσθε ἐκείνους, ποὺ κοπιάζουν μεταξύ σας καὶ εἶναι προϊστάμενοί σας κατὰ Χριστὸν καὶ σᾶς συμβουλεύουν.

13 καὶ ἡγεῖσθαι αὐτοὺς ὑπερεκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν. εἰρηνεύετε ἐν ἑαυτοῖς.

13 Καὶ νὰ τοὺς τιμᾶτε μὲ τὸ παραπάνω ἐξ ἀγάπης διὰ τὸ ὑψηλὸν των ἔργον. Εἰρηνεύετε μεταξύ σας.

14 Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας.

14 Σᾶς παρακαλοῦμεν δέ, ἀδελφοί, νουθετεῖτε τοὺς ὀκνηροὺς καὶ ἀκαταστάτους, παρηγορεῖτε τοὺς ὀλιγοκάρδους ποὺ τὰ χάνουν εὔκολα, στηρίζετε τοὺς ἀσθενεῖς, δεικνύετε πλατεῖαν καρδίαν πρὸς ὅλους.

15 ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας.

15 Προσέχετε κανεὶς ἀπὸ σᾶς νὰ μὴ ἀνταποδώσῃ εἰς ἄλλον κακὸν ἀντὶ κακοῦ, ἀλλὰ πάντοτε ἐπιδιώκετε νὰ πράττετε τὸ ἀγαθὸν καὶ ἀναμεταξύ σας καὶ εἰς ὅλους, ἀκόμη καὶ εἰς τοὺς μὴ Χριστιανούς.

16 Πάντοτε χαίρετε,

16 Χαίρετε πάντοτε, καὶ εἰς αὐτοὺς ἀκόμη τοὺς πειρασμοὺς καὶ τὰς θλίψεις.

Στίχ. 17-22. Ἄλλαι χριστιανικαὶ ὑποχρεώσεις.

17 ἀδιαλείπτως προσεύχεσθε,

17 Ἀδιαλείπτως καὶ ἀκατάπαυστα νὰ ἐπικοινωνῆτε μὲ τὸν Θεὸν μὲ τὴν προσευχὴν καὶ τὴν εὐλαβῆ διάθεσιν.

18 ἐν παντὶ εὐχαριστεῖτε· τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς.

18 Διὰ κάθε τι νὰ εὐχαριστῆτε τὸν Θεόν. Διότι τοῦτο εἶναι θέλημα τοῦ Θεοῦ, ποὺ μᾶς τὸ ἐδίδαξεν ὁ Ἰησοῦς Χριστὸς διὰ νὰ σᾶς τὸ κηρύξωμεν.

[9-10]) α΄ 10. δ΄ 14. 17. 2 Θσ. β΄ 14. Ἑβ. ι΄ 39. Ῥμ. θ΄ 22. 23. ιδ΄ 8. 9. [11]) δ΄ 10. 18. Ἰδ. 20. 1 Κρ. δ΄ 6. η΄ 1. Ῥμ. ιδ΄ 19. Πρ. κ΄ 32. [12-13]) δ΄ 1. 2 Θσ. β΄ 1. 1 Τμ. ε΄ 17. Ἑβ. ιβ΄ 14. ιγ΄ 7. 17. 2 Κρ. ιγ΄ 11. 1 Κρ. ις΄ 18. Ῥμ. ιβ΄ 18. Μρ. θ΄ 50. [14]) δ΄ 10 - 13. 2 Θσ. γ΄ 6. 11. 15. Ἐφ. δ΄ 2. Γλ. ς΄ 1. 2. Ῥμ. ιδ΄ 1. [15]) γ΄ 12. 1 Πτ. γ΄ 9. Γλ. ς΄ 10. Ῥμ. ιβ΄ 17. 20. Μτ. ε΄ 39. [16-18]) Φλ. δ΄ 4. 6. Ἐφ. ε΄ 20. Ῥμ. ιβ΄ 12. Λκ. ιη΄ 1.

19 τὸ Πνεῦμα μὴ σβέννυτε,	19 Μὴ παρεμποδίζετε τὰ χαρίσματα τοῦ Ἁγίου Πνεύματος καὶ μὴ ματαιώνετε τὴν φανέρωσίν των.
20 προφητείας μὴ ἐξουθενεῖτε.	20 Μὴ περιφρονῆτε τὰς προφητείας, τὰς ὁποίας τὸ Ἅγιον Πνεῦμα διὰ τοῦ χαρίσματός του ἐμπνέει εἰς διάφορα μέλη τῆς Ἐκκλησίας.
21 πάντα δὲ δοκιμάζετε, τὸ καλὸν κατέχετε·	21 Ἐξετάζετε δὲ καὶ διακρίνετε ὅλα τὰ χαρίσματα καὶ τὰς προφητείας, καὶ ὅ,τι θὰ εὕρετε καλόν, κρατεῖτε το σφικτά.
22 ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.	22 Νὰ φεύγετε μακρὰν ἀπὸ κάθε λογῆς πονηρόν.

Στίχ. 23-28. Εὐχαὶ καὶ παραγγελίαι.

23 Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη.	23 Εἴθε δὲ αὐτὸς ὁ Θεός, ἀπὸ τὸν ὁποῖον πηγάζει ἡ πραγματικὴ εἰρήνη, νὰ σᾶς ἁγιάσῃ ὁλοκλήρους· καὶ ὁλόκληρος ὁ νοῦς σας καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα σας εἴθε νὰ διαφυλαχθοῦν ἄμεμπτα κατὰ τὴν παρουσίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ.
24 πιστὸς ὁ καλῶν ὑμᾶς, ὃς καὶ ποιήσει.	24 Ἔχω πεποίθησιν δέ, ὅτι αὐτὸς θὰ σᾶς διαφυλάξῃ ἀμέμπτους κατὰ τὴν δευτέραν παρουσίαν, διότι εἶναι ἄξιος πάσης ἐμπιστοσύνης αὐτός, ποὺ σᾶς προσκαλεῖ διὰ νὰ σᾶς σώσῃ, ὁ ὁποῖος καὶ θὰ πραγματοποιήσῃ ὅ,τι σᾶς ηὐχήθην.
25 Ἀδελφοί, προσεύχεσθε περὶ ἡμῶν.	25 Ἀδελφοί, προσεύχεσθε ὑπὲρ ἡμῶν.
26 Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν φιλήματι ἁγίῳ.	26 Ἀσπασθῆτε ὅλους τοὺς ἀδελφοὺς μὲ φίλημα ἅγιον.
27 Ὁρκίζω ὑμᾶς τὸν Κύριον ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι τοῖς ἁγίοις ἀδελφοῖς.	27 Σᾶς ἐξορκίζω εἰς τὸν Κύριον νὰ ἀναγνωσθῇ ἡ ἐπιστολὴ εἰς ὅλους τοὺς ἁγίους ἀδελφούς.
28 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν· ἀμήν.	28 Εἴθε ἡ χάρις τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ νὰ εἶναι μαζί σας. Ἀμήν.

19-20) 2 Τμ. α΄ 6. Ἐφ. δ΄ 30. 1 Κρ. ιδ΄ 1. 30. 39. 21) 1 Ἰν. δ΄ 1. 1 Κρ. ιβ΄ 10. 22) Ἰβ. α΄ 1. 8. β΄ 3. 23) γ΄ 11. 13. 2 Θσ. γ΄ 16. Φλ. δ΄ 9. 2 Κρ. ζ΄ 1. 1 Κρ. α΄ 8. 24) 2 Θσ. γ΄ 3. 1 Κρ. α΄ 9. ι΄ 13. 25) 2 Θσ. γ΄ 1. Κλ. δ΄ 3. Ῥμ. ιε΄ 30. 26) 1 Κρ. ις΄ 20. Ῥμ. ις΄ 16. 27) Κλ. δ΄ 16. 28) 2 Θσ. γ΄ 18. Ῥμ. ις΄ 20.

ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β΄.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Στίχ. 1-12. Ὁ Παῦλος εὐχαριστεῖ τὸν Θεὸν διὰ τοὺς Χριστιανοὺς τῆς Θεσσαλονίκης καὶ προσεύχεται δι' αὐτούς.

Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ πατρὶ ἡμῶν καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ·	Ὁ Παῦλος καὶ ὁ Σιλουανὸς καὶ ὁ Τιμόθεος γράφομεν τὴν ἐπιστολὴν αὐτὴν εἰς τὴν Ἐκκλησίαν τῶν Θεσσαλονικέων, ἡ ὁποία διατελεῖ ἐν κοινωνίᾳ μὲ τὸν Θεὸν πατέρα μας καὶ τὸν Κύριον Ἰησοῦν Χριστόν.
2 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.	2 Εἴθε νὰ εἶναι εἰς σᾶς χάρις καὶ εἰρήνη ἀπὸ τὸν Θεὸν πατέρα μας καὶ τὸν Κύριον Ἰησοῦν Χριστόν.
3 Εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν ἐστιν, ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους,	3 Ὀφείλομεν νὰ εὐχαριστῶμεν τὸν Θεὸν πάντοτε διὰ σᾶς, ἀδελφοί, καθὼς εἶναι ἄξιον καὶ δίκαιον νὰ πράττωμεν τοῦτο. Καὶ εἶναι ἄξιον νὰ τὸν εὐχαριστῶμεν, διότι αὐξάνει μὲ τὸ παραπάνω ἡ πίστις σας καὶ πλεονάζει ἡ ἀγάπη, τὴν ὁποίαν κάθε ἕνας ἀπὸ ὅλους σας δεικνύει πρὸς τοὺς ἄλλους.
4 ὥστε ἡμᾶς αὐτοὺς ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν καὶ ταῖς θλίψεσιν αἷς ἀνέχεσθε,	4 Καὶ εἶναι τόσον μεγάλη ἡ πίστις σας καὶ ἡ ἀγάπη σας, ὥστε ἡμεῖς οἱ ἴδιοι νὰ καυχώμεθα διὰ σᾶς εἰς τὰς Ἐκκλησίας τοῦ Θεοῦ διὰ τὴν ὑπομονὴν καὶ τὴν πίστιν, ποὺ δεικνύετε εἰς ὅλους τοὺς διωγμούς σας καὶ τὰς θλίψεις, τὰς ὁποίας μὲ καρτερίαν ὑποφέρετε.
5 ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ Θεοῦ, εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ Θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε,	5 Αἱ θλίψεις δὲ αὗται εἶναι φανερὰ ἀπόδειξις τῆς δικαίας κρίσεως τοῦ Θεοῦ, ὁ ὁποῖος ἐπιτρέπει αὐτὰς διὰ νὰ ἀναδειχθῆτε ἄξιοι τῆς βασιλείας τοῦ Θεοῦ, διὰ τὴν ὁποίαν ὑποφέρετε παθήματα.
6 εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν	6 Πράγματι δὲ θὰ ἀξιωθῆτε μὲ τὰ παθήματα αὐτὰ νὰ κληρονομήσετε τὴν βασιλείαν τοῦ Θεοῦ, ἐὰν βεβαίως εἶναι δίκαιον ἐνώπιον τοῦ Θεοῦ νὰ ἀνταποδώσῃ θλῖψιν εἰς ἐκείνους, ποὺ σᾶς θλίβουν,
7 καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ	7 καὶ εἰς σᾶς, ποὺ θλίβεσθε, ἀνάπαυσιν ἀπὸ τὰς παρούσας θλίψεις. Τὴν ἀνάπαυσιν δὲ αὐτὴν θὰ ἀπολαύσετε μαζί μας, ὅταν θὰ ἀποκαλυφθῇ ὁ Κύριος Ἰησοῦς ἀπὸ τὸν οὐρανὸν μαζὶ μὲ τοὺς ἀγγέλους, ποὺ εἶναι ὄργανα τῆς δυνάμεώς του.

Α΄. 1-2) 1 Θσ. α΄ 1. Ῥμ. α΄ 7. 3-4) β΄ 13. 1 Θσ. α΄ 2. 3. 6. 7. β΄ 14. 19. γ΄ 3. δ΄ 10. 2 Κρ. ζ΄ 4. θ΄ 2. 5) Φλ. α΄ 28. Ῥμ. β΄ 5. η΄ 17. Λκ. κα΄ 36. 6-7) Ζχ. β΄ 8. 1 Θσ. γ΄ 13. δ΄ 16. Ἀπ. ιη΄ 6. 7. 2 Κρ. η΄ 13. Ῥμ. β΄ 5 - 8. ιβ΄ 19. Πρ. γ΄ 20.

8 ἐν πυρὶ φλογός, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι Θεὸν καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

8 Θὰ φανερωθῇ δὲ τότε ὁ Κύριος μὲ φωτιάν, ποὺ θὰ κατακαίῃ μὲν τὴν ἁμαρτίαν, θὰ λαμπρύνῃ δὲ τὴν ἀρετήν, καὶ θὰ ἐκδικηθῇ ἐκείνους, ποὺ δὲν γνωρίζουν τὸν Θεὸν καὶ δὲν ὑπακούουν εἰς τὸ Εὐαγγέλιον τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ.

9 οἵτινες δίκην τίσουσιν ὄλεθρον αἰώνιον ἀπὸ προσώπου τοῦ Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ,

9 Αὐτοὶ θὰ τιμωρηθοῦν μὲ αἰώνιον ἐξολοθρευμόν, ποὺ θὰ τοὺς ἐπιβληθῇ ἀπὸ τὸ πρόσωπον τοῦ Κυρίου, καὶ ἀπὸ τὴν ἔνδοξον δύναμίν του,

10 ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύσασιν, ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ' ὑμᾶς, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

2 Ἐκεῖνοι δέ, ποὺ ἔχουν δεσπότας πιστοὺς Χριστιανούς, ἂς μὴ τοὺς καταφρονοῦν, λαμβάνοντες θάρρος ἀπὸ τὸ ὅτι εἶναι ἐν Χριστῷ ἀδελφοί. Ἀλλὰ ἂς δουλεύουν περισσότερον, διότι αὐτοί, ποὺ ἀπολαμβάνουν τὴν καλὴν δουλειάν τῆς προθύμου ὑπηρεσίας των, εἶναι καὶ αὐτοὶ πιστοὶ καὶ ἀγαπητοί.

---

[21]) ς΄ 13. 2 Τμ. β΄ 14. δ΄ 1. 2 Θσ. α΄ 7. [22]) 24. 25. δ΄ 14. 2 Τμ. α΄ 6. [23]) δ΄ 3. 4. – Ψ. ργ΄ 15. [24-25]) 22. Γλ. ε΄ 19.
ΣΤ΄. [1]) ε΄ 17. Ττ. β΄ 9. 10. 2 Πτ. β΄ 2. Ἐφ. ς΄ 5. Ῥμ. β΄ 24. [2]) Φλμ. 16. (Ῥμ. α΄ 7. ια΄ 28).

Στίχ. 3-10. Νέαι ὁδηγίαι κατὰ τῶν ψευδοδιδασκάλων.

3 Ταῦτα δίδασκε καὶ παρακάλει. εἴ τις ἑτεροδιδασκαλεῖ καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ,

3 Δίδασκε καὶ πρότρεπε τοὺς πιστοὺς νὰ τηροῦν αὐτά, ποὺ σοῦ ἔγραψα εἰς τὴν ἐπιστολήν. Ἐὰν κανεὶς διδάσκῃ διαφορετικὰ ἀπὸ τὸ εὐαγγέλιον καὶ δὲν ἀκολουθῇ τοὺς ὑγιεῖς καὶ μὴ μολυσμένους ἀπὸ τὴν ἀρρώστιαν τῆς πλάνης λόγους τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, καὶ τὴν διδασκαλίαν, ποὺ εἶναι σύμφωνος πρὸς τὴν εὐσέβειαν,

4 τετύφωται, μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραί,

4 αὐτὸς εἶναι φουσκωμένος καὶ τυφλωμένος ἀπὸ ὑπερηφάνειαν. Καὶ νομίζει μέν, ὅτι τὰ ἠξεύρει ὅλα, ἀλλὰ δὲν ἠξεύρει τίποτε καὶ ἔχει τὴν ἀσθένειαν τοῦ νὰ συζητῇ καὶ ἐξετάζῃ τὰ μάταια καὶ ἀνωφελῆ καὶ νὰ παρασύρεται εἰς λογομαχίας, ἀπὸ τὰς ὁποίας προέρχονται φθόνος, φιλονεικία, κακολογίαι, ὑποψίαι κακαὶ καὶ ἄδικοι.

5 παραδιατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. ἀφίστασο ἀπὸ τῶν τοιούτων.

5 Προέρχονται ἀκόμη παράλογοι καὶ μάταιαι ἀσχολίαι ἀνθρώπων, ποὺ ἔχουν διεφθαρμένον καὶ χαλασμένον τὸν νοῦν τους καὶ ἔχουν στερηθῆ τελείως τὴν ἀλήθειαν. Αὐτοὶ οἱ ἄνθρωποι νομίζουν, ὅτι ἡ εὐσέβεια εἶναι πηγὴ αἰσχρᾶς ἐκμεταλλεύσεως καὶ ὑλικοῦ πλουτισμοῦ. Στέκε μακρὰν ἀπὸ τοὺς τοιούτους.

6 ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας.

6 Πράγματι δὲ ἡ εὐσέβεια εἶναι πηγὴ μεγάλου πλουτισμοῦ, ὅταν συνοδεύεται ἀπὸ ὀλιγάρκειαν καὶ ὄχι ἀπὸ αἰσχροκερδῆ πλεονεξίαν.

7 οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα·

7 Πρέπει δὲ νὰ εἴμεθα ὀλιγαρκεῖς, διότι τίποτε δὲν ἐφέραμεν εἰς τὸν κόσμον, ὅταν ἐγεννήθημεν. Καὶ εἶναι φανερόν, ὅτι δὲν ἠμποροῦμεν οὔτε νὰ πάρωμεν κοντά μας τίποτα, ὅταν θὰ ἐξέλθωμεν ἐκ τοῦ κόσμου διὰ τοῦ θανάτου.

8 ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα.

8 Ὅταν δὲ ἔχωμεν τροφὰς καθ' ὅλην τὴν ζωήν μας καὶ ἐνδύματα μὲ κατοικίαν διὰ νὰ σκεπαζώμεθα, θὰ εἶναι ταῦτα ἀρκετὰ δι' ἡμᾶς.

9 οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν.

9 Ἐκεῖνοι ὅμως ποὺ ἔχουν προσκόλλησιν εἰς τὸ χρῆμα καὶ θέλουν νὰ γίνουν πλούσιοι, πίπτουν μέσα εἰς πειρασμὸν καὶ εἰς παγίδα καὶ εἰς ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ ἐπιβλαβεῖς, αἱ ὁποῖαι βυθίζουν τοὺς ἀνθρώπους εἰς καταστροφὴν καὶ ἀπώλειαν.

10 ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς.

10 Πίπτουν δὲ εἰς πειρασμὸν καὶ καταστρεπτικὴν παγίδα, διότι ρίζα ὅλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία. Καὶ μερικοὶ κυριευθέντες ἀπὸ τὴν ὄρεξιν καὶ τὴν σφοδρὰν ἐπιθυμίαν, ποὺ γεννᾷ αὐτὴ πρὸς τὸ χρῆμα, ἀπεπλανήθησαν ἀπὸ τὴν πίστιν καὶ ἔμπηξαν εἰς τὸν ἑαυτόν τους σὰν ἄλλα καρφιὰ πολλοὺς πόνους καὶ ἀγωνίας.

[3-5]) α΄ 3. 4. 6. 7. γ΄ 6. δ΄ 2. 2 Τμ. β΄ 14. 23. γ΄ 5. 8. δ΄ 4. Ττ. α΄ 11. 14. γ΄ 9 - 11. 2 Ἰν. 10. 1 Κρ. η΄ 2. Ῥμ. ις΄ 17. [6]) Πρμ. ιε΄ 16. 1 Τμ. δ΄ 8. Φλ. δ΄ 11. 2 Κρ. θ΄ 8. [7]) Ἰβ. α΄ 21. Ψ. μη΄ 18. Ἐκ. ε΄ 14. Λκ. ιβ΄ 20. [8]) Γν. κη΄ 20. Πρμ. λ΄ 8. Ἑβ. ιγ΄ 5. Ἰκ. β΄ 15. [9]) 1 Θσ. ε΄ 3. Φλ. α΄ 28. Μτ. ιγ΄ 22. Μτ. ιθ΄ 23. [10]) Ἐφ. ε΄ 5.

Στίχ. 11-16. Προτροπαὶ πρὸς τὸν Τιμόθεον.

11 Σὺ δέ, ὦ ἄνθρωπε τοῦ Θεοῦ, ταῦτα φεῦγε· δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονήν, πραότητα.

11 Σὺ ὅμως, ὦ ἄνθρωπε τοῦ Θεοῦ, φεῦγε μακρὰν ἀπὸ αὐτὰ τὰ ἐλαττώματα καὶ πάθη, ἐπιδίωκε δὲ τὴν δικαιοσύνην, τὴν εὐσέβειαν, τὴν πίστιν, τὴν ἀγάπην, τὴν ὑπομονήν, τὴν πραότητα.

12 ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως· ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν καὶ ἐκλήθης καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων.

12 Ἀγωνίζου τὸν καλὸν ἀγῶνα, εἰς τὸν ὁποῖον μᾶς καλεῖ ἡ πίστις. Πιάσε καλὰ καὶ κράτησε σφικτὰ τὴν αἰώνιον ζωήν, διὰ τὴν κληρονομίαν τῆς ὁποίας καὶ ἐκλήθης ἀπὸ τὸν Θεὸν καὶ ὡμολόγησες πρὸ τοῦ βαπτίσματός σου τὴν καλὴν ὁμολογίαν ἐμπρὸς εἰς πολλοὺς μάρτυρας.

13 παραγγέλλω σοι ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα καὶ Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν,

13 Παραγγέλλω εἰς σὲ ἐνώπιον τοῦ Θεοῦ, ὁ ὁποῖος μεταδίδει ζωὴν εἰς ὅλα, καὶ ἐνώπιον τοῦ Ἰησοῦ Χριστοῦ, ὁ ὁποῖος ἐμπρὸς εἰς τὸν Πόντιον Πιλᾶτον ἐμαρτύρησε τὴν καλὴν ὁμολογίαν, ὅτι εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ,

14 τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

14 νὰ διατηρήσῃς σὺ τὴν ἐντολὴν καὶ τὰς ὑποχρεώσεις, ποὺ ἀνέλαβες εἰς τὸ βάπτισμα καὶ τὴν χειροτονίαν σου, καθαρὰν ἀπὸ κάθε μολυσμόν, ἀνωτέραν ἀπὸ κάθε κατηγορίαν μέχρι τῆς ἡμέρας, κατὰ τὴν ὁποίαν θὰ ἐπιφανῇ ἐνδόξως ὁ Κύριός μας Ἰησοῦς Χριστός.

15 ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων,

15 Τὴν ἔνδοξον δὲ ταύτην ἐπιφάνειαν τοῦ Κυρίου εἰς καιρούς, τοὺς ὁποίους ὁ Θεὸς ὥρισε καὶ γνωρίζει, θὰ δείξῃ ὁ μακάριος καὶ ὁ μόνος ἐξουσιαστής, ὁ βασιλεὺς αὐτῶν ποὺ βασιλεύουν ἐπὶ γῆς καὶ ὁ κύριος αὐτῶν ποὺ κυριαρχοῦν ἐπὶ γῆς,

16 ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ κράτος αἰώνιον· ἀμήν.

16 ὁ ὁποῖος μόνος ἔχει ἀπὸ τὸν ἑαυτόν του ζωὴν ἀθάνατον καὶ ἀΐδιον, ὁ ὁποῖος κατοικεῖ εἰς φῶς, εἰς τὸ ὁποῖον δὲν ἠμπορεῖ κανεὶς νὰ πλησιάσῃ, τὸν ὁποῖον δὲν εἶδε κανεὶς ἀπὸ τοὺς ἀνθρώπους, οὔτε δύναται νὰ τὸν ἴδῃ· εἰς τὸν ὁποῖον ἀνήκει τιμὴ καὶ κράτος παντοτινὸν καὶ αἰώνιον. Ἀμήν.

Στίχ. 17-19. Τὰ καθήκοντα τῶν πλουσίων.

17 Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐν τῷ Θεῷ τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν,

17 Εἰς αὐτούς, ποὺ εἶναι πλούσιοι εἰς τὴν παροῦσαν πρόσκαιρον ζωήν, παράγγελλε νὰ μὴ ὑψηλοφρονοῦν, οὔτε νὰ ἔχουν στηριγμένας τὰς ἐλπίδας των εἰς τὸν πλοῦτον, τοῦ ὁποίου ἡ κατοχὴ εἶναι ἀβεβαία καὶ ἄδηλος, ἀλλὰ νὰ ἐλπίζουν εἰς τὸν Θεόν, ποὺ δὲν εἶναι ἄψυχος σὰν τὸν μαμωνᾶν, ἀλλ' εἶναι Θεὸς ζωντανός, ὁ ὁποῖος μᾶς παρέχει πλούσια καὶ ἄφθονα ὅλα διὰ νὰ τὰ ἀπολαμβάνωμεν.

[11]) 4 Βσ. α΄ 9. 11. 13. δ΄ 9. 16. 2 Τμ. β΄ 22. γ΄ 17. 2 Πτ. α΄ 21. [12]) 13. 19. α΄ 18. 2 Τμ. β΄ 2. δ΄ 7. Φλ. γ΄ 12. 14. 2 Κρ. θ΄ 13. 1 Κρ. θ΄ 24 - 26. [13]) 12. ε΄ 21. Ἰν. ε΄ 21. ιη΄ 37. ιθ΄ 11. Μτ. κζ΄ 11. – Νεμ. θ΄ 6. [14]) Ττ. β΄ 12. 13. 1 Θσ. γ΄ 13. ε΄ 23. [15-16]) α΄ 11. 17. β΄ 6. Κλ. α΄ 12. 1 Ἰν. α΄ 5. δ΄ 12. Ἀπ. ιζ΄ 14. ιθ΄ 16. Ἰν. α΄ 18. ε΄ 26. – Δτ. ι΄ 17. Ψ. ργ΄ 2. [17]) Ἰβ. λα΄ 24. Ψ. ξα΄ 11. Πρμ. ια΄ 28. 1 Τμ. δ΄ 3. 2 Κρ. θ΄ 8. 10. Ῥμ. ια΄ 20. Λκ. ιβ΄ 15. 21.

18 ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς,

18 Παράγγελλέ τους νὰ ἀγαθοεργοῦν, νὰ γίνωνται πλούσιοι εἰς ἔργα καλά, νὰ εἶναι πρόθυμοι εἰς τὸ νὰ μεταδίδουν καὶ εἰς ἄλλους ἀπὸ τὰ ἀγαθά των, νὰ εἶναι ἁπλοῖ καὶ καταδεκτικοί

19 ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς.

19 καὶ ἔτσι νὰ ἀποταμιεύουν διὰ τὸν ἑαυτόν των θεμέλιον στερεὸν εἰς τὸ μέλλον, διὰ νὰ ἀποκτήσουν ὡς ἀναφαίρετον κτῆμα τὴν αἰώνιον ζωήν.

Στίχ. 20-21. Τελευταία ἔκκλησις πρὸς τὸν Τιμόθεον.

20 Ὦ Τιμόθεε, τὴν παρακαταθήκην φύλαξον, ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως,

20 Ὦ Τιμόθεε, τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, ποὺ ὡς πολύτιμον θησαυρὸν μᾶς ἐνεπιστεύθη ὁ Κύριος, φύλαξέ την καὶ ἀπόφευγε τοὺς κούφιους καὶ ματαίους λόγους, ποὺ τὴν βεβηλώνουν καὶ νοθεύουν, καὶ τὰς ἀντιλογίας τῆς πλάνης, ποὺ φέρει ψεύτικα τὸ ὄνομα τῆς γνώσεως.

21 ἥν τινες ἐπαγγελλόμενοι περὶ τὴν πίστιν ἠστόχησαν. Ἡ χάρις μετὰ σοῦ· ἀμήν.

21 Τὴν ψευδογνῶσιν αὐτὴν ἔχουν μερικοὶ τὴν ἀξίωσιν, ὅτι τὴν κατέχουν, ἀλλ' ἐξ αἰτίας αὐτῆς ἔπεσαν ἔξω ἀπὸ τὴν πίστιν. Ἡ χάρις εἴθε νὰ εἶναι μαζί σου. Ἀμήν.

ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β΄.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Στίχ. 1-5. Ὁ Παῦλος εὐχαριστεῖ τὸν Θεὸν διὰ τὴν πίστιν τοῦ Τιμοθέου.

Παῦλος, ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελήματος Θεοῦ κατ' ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ,

Ἐγὼ ὁ Παῦλος, ποὺ ἔγινα ἀπόστολος τοῦ Ἰησοῦ Χριστοῦ μὲ τὸ θέλημα τοῦ Θεοῦ διὰ νὰ κηρύττω τὴν αἰώνιον ζωήν, ποὺ μᾶς ἔχει δοθῇ ὡς ἐπαγγελία θεία καὶ ἐπιτυγχάνεται διὰ τοῦ Ἰησοῦ Χριστοῦ,

2 Τιμοθέῳ ἀγαπητῷ τέκνῳ· χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

2 γράφω τὴν ἐπιστολὴν πρὸς τὸν Τιμόθεον τὸ ἀγαπητόν τέκνον. Εἴθε νὰ εἶναι μαζί σου χάρις, ἔλεος, εἰρήνη ἀπὸ τὸν Θεὸν Πατέρα καὶ τὸν Κύριόν μας Ἰησοῦν Χριστόν.

3 Χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου νυκτὸς καὶ ἡμέρας,

3 Εὐχαριστῶ τὸν Θεόν, τὸν ὁποῖον λατρεύω μὲ καθαρὰν συνείδησιν, ὅπως μὲ ἐδίδαξαν οἱ πρόγονοί μου. Καὶ τὸν εὐχαριστῶ, διότι ἀκατάπαυστα καὶ χωρὶς νὰ τὸ παραλείπω ποτέ, σὲ ἐνθυμοῦμαι εἰς τὰς δεήσεις μου νύκτα καὶ ἡμέραν,

[18]) Ττ. γ΄ 8. 14. Ἑβ. ιγ΄ 16. Γλ. ς΄ 6. Ῥμ. ιβ΄ 8. 13. [19]) 12. Μτ. ς΄ 19. 20. [20-21]) α΄ 6. 18. 19. δ΄ 7. 2 Τμ. α΄ 12. 14. β΄ 16. δ΄ 22. Κλ. β΄ 8. Ῥμ. ις΄ 20.

Α΄. [1-2]) Ττ. α΄ 1. 2. 4. 1 Τμ. α΄ 1. 2. δ΄ 8. 2 Κρ. α΄ 1. 2. [3-4]) 1 Τμ. α΄ 12. 1 Θσ. α΄ 2. γ΄ 10. Φλ. α΄ 8. Ῥμ. α΄ 9. 11. Πρ. κγ΄ 1. κδ΄ 14 - 16.

4 ἐπιποθῶν σε ἰδεῖν, μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ,

4 ἐπιθυμῶν πολὺ νὰ σὲ ἴδω. Ἔχω δὲ τόσον πόθον καὶ ἀγάπην διὰ σέ, διότι ἐνθυμοῦμαι τὰ δάκρυα, ποὺ ἔχυνες, ὅταν ἐχωριζόμεθα. Καὶ θέλω νὰ σὲ ἴδω διὰ νὰ γεμίσῃ τὸ ἐσωτερικόν μου ἀπὸ χαράν.

5 ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι καὶ τῇ μητρί σου Εὐνίκῃ, πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί.

5 Ἀλλὰ συγχρόνως ἐνθυμοῦμαι καὶ τὴν ἀνυπόκριτον καὶ εἰλικρινῆ πίστιν, ποὺ ὑπάρχει μέσα σου καὶ ἡ ὁποία ἐκατοίκησε πρῶτον εἰς τὴν καρδίαν τῆς μάμμης σου Λωΐδος καὶ τῆς μητέρας σου Εὐνίκης, ἔχω δὲ πεποίθησιν, ὅτι ἐκατοίκησε καὶ εἰς τὴν ἰδικήν σου καρδίαν.

Στίχ. 6-18. Παροτρύνει τοῦτον νὰ ἐργασθῇ ἡρωϊκῶς διὰ τὸ εὐαγγέλιον.

6 δι' ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου·

6 Ἐπειδὴ δὲ ἔχω πεποίθησιν, ὅτι ἔχεις ἀνυπόκριτον πίστιν, δι' αὐτὸ σοῦ ὑπενθυμίζω καὶ πάλιν, ὅπως σὲ προέτρεψα καὶ εἰς τὸ παρελθόν, νὰ ἀνανεώνῃς τὸ πῦρ τοῦ χαρίσματος τοῦ Θεοῦ, τὸ ὁποῖον ἔλαβες κατὰ τὴν χειροτονίαν σου μὲ τὴν ἐπίθεσιν τῶν χειρῶν μου.

7 οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ.

7 Διατήρει ἀναμμένον τὸ χάρισμα τοῦτο, ποὺ σὲ κάνει ἄφοβον καὶ θαρραλέον εἰς τὸ κήρυγμα τοῦ εὐαγγελίου. Διότι ὁ Θεὸς δὲν μᾶς ἔδωκε πνεῦμα δειλίας, ὥστε νὰ μᾶς φοβίζουν αἱ ἀπειλαὶ καὶ οἱ διωγμοί, ἀλλὰ μᾶς ἔδωκε πνεῦμα καὶ χάρισμα δυνάμεως διὰ νὰ ἀντέχωμεν εἰς τοὺς πειρασμούς· μᾶς ἔδωκε καὶ πνεῦμα ἀγάπης καὶ πνεῦμα, ποὺ μᾶς σωφρονίζει, ὥστε φρόνιμα καὶ συνετὰ νὰ κυβερνῶμεν καὶ τὸν ἑαυτόν μας καὶ τοὺς ἄλλους.

8 μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ, ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ κατὰ δύναμιν Θεοῦ,

8 Ἀφοῦ λοιπὸν ὁ Θεὸς μᾶς ἔδωκε χάρισμα ἀνδρείας καὶ δυνάμεως, μὴ ἐντραπῇς νὰ ὁμολογῇς τὴν μαρτυρίαν περὶ τοῦ Κυρίου μας, τοῦ Χριστοῦ τοῦ ἐσταυρωμένου. Μὴ ἐντραπῇς ἀκόμη μηδὲ ἐμέ, ποὺ ἔχω φυλακισθῆ διὰ τὸ ὄνομά του, ἀλλὰ κακοπάθησε μαζί μου χάριν τοῦ εὐαγγελίου σύμφωνα μὲ τὴν δύναμιν, ποὺ δίδει ὁ Θεός,

9 τοῦ σώσαντος ἡμᾶς καὶ καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν καὶ χάριν, τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων,

9 ὁ ὁποῖος μᾶς ἔσωσε καὶ μᾶς ἐκάλεσε μὲ κλῆσιν, ποὺ μᾶς ἁγιάζει. Μᾶς ἔσωσε δὲ καὶ μᾶς ἐκάλεσεν ὄχι διὰ τὰ ἔργα μας, ἀλλὰ σύμφωνα μὲ τὴν ἰδίαν του ἀγαθὴν θέλησιν καὶ χάριν, ποὺ μᾶς ἐδόθη διὰ τῆς σχέσεώς μας μὲ τὸν Ἰησοῦν Χριστόν. Μᾶς ἐδόθη δὲ ἡ χάρις καὶ ἡ σωτηρία αὐτή, προτοῦ νὰ κτισθοῦν τὰ ἐν χρόνῳ δημιουργήματα, διότι ἀνάρχως εἶχεν ἀποφασίσει αὐτὴν ὁ Θεός.

10 φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου,

10 Ἐφανερώθη δὲ ἡ χάρις καὶ ἡ σωτηρία αὐτὴ τώρα διὰ τῆς ἐνανθρωπήσεως καὶ ἐμφανίσεως τοῦ Σωτῆρος μας Ἰησοῦ Χριστοῦ, ὁ ὁποῖος ἐκατήργησε μὲν τὸν θάνατον, ἔφερε δὲ εἰς τὸ φῶς τὴν ζωὴν καὶ ἀφθαρσίαν μὲ τὸ κήρυγμα τοῦ εὐαγγελίου.

[5]) γ΄ 14. 1 Τμ. α΄ 5. Κλ. α΄ 4. Φλ. β΄ 20. 21. Πρ. ις΄ 1. [6]) 12. Ττ. α΄ 13. 1 Τμ. δ΄ 14. 1 Θσ. ε΄ 19. [7]) Ῥμ. η΄ 15. Γλ. ε΄ 22. Ἰν. ιδ΄ 27. [8]) 12. 16. β΄ 3. 9. δ΄ 5. 1 Τμ. β΄ 6. Φλ. α΄ 27. Ἐφ. γ΄ 1. Ῥμ. α΄ 16. [9-11]) Ττ. α΄ 2. 3. γ΄ 4. 5. 1 Τμ. β΄ 7. Κλ. α΄ 25. 26. Ἐφ. β΄ 8. 9. γ΄ 8 - 11. 1 Κρ. β΄ 7. ιε΄ 26. 54 - 57. Ῥμ. η΄ 28 - 30.

11 εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ καὶ ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν.

11 Διὰ τὸ εὐαγγέλιον δὲ αὐτὸ ἀνεδείχθην ἀπὸ τὸν Θεὸν ἐγὼ κῆρυξ καὶ ἀπόστολος καὶ διδάσκαλος τῶν ἐθνικῶν.

12 δι' ἣν αἰτίαν καὶ ταῦτα πάσχω, ἀλλ' οὐκ ἐπαισχύνομαι· οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι ὅτι δυνατός ἐστι τὴν παραθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν.

12 Διότι δὲ εἶμαι κῆρυξ καὶ ἀπόστολος τῶν ἐθνικῶν, δι' αὐτὸ καὶ ὑποφέρω αὐτά, ποὺ ὑφίσταμαι. Ἀλλὰ δὲν ἐντρέπομαι διὰ τὰ παθήματα αὐτά. Διότι γνωρίζω ποῖος εἶναι αὐτός, εἰς τὸν ὁποῖον ἔχω στηρίξει τὴν ἐμπιστοσύνην μου. Καὶ εἶμαι πεπεισμένος, ὅτι εἶναι δυνατὸς τὸ ὅλον ἔργον, ποὺ μοῦ ἐνεπιστεύθη καὶ ἐπετέλεσα, καθὼς καὶ τὴν δι' αὐτὸ ἀνταμοιβήν μου, νὰ τὰ φυλάξῃ μέχρι τῆς ἡμέρας ἐκείνης τῆς δευτέρας παρουσίας.

13 ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων ὧν παρ' ἐμοῦ ἤκουσας, ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ·

13 Ὡς ὑπόδειγμα καὶ τύπον διδασκαλίας ὑγιοῦς καὶ ἀπηλλαγμένης ἀπὸ τὴν ἀρρώστιαν τῆς πλάνης κράτει στερεὰ τοὺς λόγους, ποὺ ἤκουσες ἀπὸ ἐμὲ καὶ οἱ ὁποῖοι ἀναφέρονται εἰς τὴν πίστιν καὶ ἀγάπην, ποὺ ἀποκτῶμεν διὰ τῆς σχέσεώς μας μὲ τὸν Ἰησοῦν Χριστόν.

14 τὴν καλὴν παραθήκην φύλαξον διὰ Πνεύματος Ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν.

14 Τὸν καλὸν καὶ πολύτιμον θησαυρὸν τῆς εὐαγγελικῆς διδασκαλίας, ποὺ σοῦ ἐνεπιστεύθη ὁ Θεός, φύλαξέ τον διὰ τῆς ἐνισχύσεως καὶ τοῦ φωτισμοῦ τοῦ Ἁγίου Πνεύματος, τὸ ὁποῖον κατοικεῖ μέσα μας.

15 Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ, ὧν ἐστι Φύγελλος καὶ Ἑρμογένης.

15 Μὴ μιμῆσαι αὐτούς, ποὺ μὲ ἐγκατέλιπαν. Γνωρίζεις, ὅτι μὲ ἀπεστράφησαν ὅλοι αὐτοί, ποὺ τώρα εἶναι εἰς τὴν Ἀσίαν, ἀπὸ τοὺς ὁποίους εἶναι ὁ Φύγελλος καὶ ὁ Ἑρμογένης.

16 δῴη ἔλεος ὁ Κύριος τῷ Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξε καὶ τὴν ἅλυσίν μου οὐκ ἐπαισχύνθη,

16 Εἴθε ὁ Κύριος νὰ δώσῃ ἔλεος εἰς τὴν οἰκογένειαν τοῦ Ὀνησιφόρου, διότι πολλὲς φορὲς μοῦ ἔδωκε ἀναψυχὴν καὶ ἀνακούφισιν καὶ δὲν ἐντράπη οὗτος τὴν ἁλυσίδα, μὲ τὴν ὁποίαν εἶμαι δεμένος,

17 ἀλλὰ γενόμενος ἐν Ῥώμῃ σπουδαιότερον ἐζήτησέ με καὶ εὗρε·

17 ἀλλ' ἦλθε εἰς τὴν Ῥώμην καὶ μὲ μεγάλο ἐνδιαφέρον καὶ σπουδὴν μὲ ἐζήτησε καὶ μὲ εὗρεν.

18 δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις.

18 Εἴθε ὁ Κύριός μας Ἰησοῦς Χριστὸς νὰ δώσῃ εἰς αὐτὸν νὰ εὕρῃ ἔλεος ἀπὸ τὸν Κύριον καὶ Πατέρα κατ' ἐκείνην τὴν ἡμέραν τῆς δευτέρας παρουσίας. Ἀλλὰ καὶ πόσον μᾶς ἐβοήθησε καὶ μᾶς ὑπηρέτησεν εἰς τὴν Ἔφεσον, τὸ γνωρίζεις σὺ καλύτερον.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Στίχ. 1-10. Ἡ αὐταπάρνησις καὶ ἡ προσοχὴ τοῦ ἐργάτου τοῦ εὐαγγελίου.

Σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ,

Σὺ λοιπόν, τέκνον μου, ἀντιθέτως πρὸς αὐτοὺς ποὺ μὲ ἀρνήθησαν, νὰ ἐνδυναμώνεσαι μὲ τὴν χάριν, ποὺ μᾶς δίδεται ἀπὸ τὴν σχέσιν καὶ ἕνωσίν μας μὲ τὸν Ἰησοῦν Χριστόν.

[12]) 6. 8. 14. 18. δ΄ 8. 1 Τμ. α΄ 11. 12. ς΄ 14. 20. Ἑβ. β΄ 11. 2 Θσ. α΄ 10. [13]) β΄ 2. γ΄ 14. 1 Τμ. α΄ 10. 14. 16. ς΄ 3. Ῥμ. ς΄ 17. [14]) 6. 12. 1 Τμ. δ΄ 14. Ῥμ. η΄ 11. [15]) δ΄ 10. 16. [16-17]) 8. 18. δ΄ 19. Ἐφ. ς΄ 20. [18]) 12. 16. Ἰδ. 21. – Δν. γ΄ 38.
Β΄. [1-2]) α΄ 13. 1 Τμ. γ΄ 1 - 15. δ΄ 11. ς΄ 12. Ἐφ. ς΄ 10.

2 καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι.

2 Καὶ ἐκεῖνα, ποὺ ἤκουσες ἀπὸ ἐμὲ ἐμπρὸς εἰς πολλοὺς μάρτυρας, ταῦτα νὰ ἐμπιστευθῇς ὡς πολύτιμον θησαυρὸν εἰς ἀνθρώπους πιστούς, ποὺ δὲν θὰ τὰ νοθεύουν, οὔτε θὰ τὰ προδίδουν, ἀλλ' οἱ ὁποῖοι θὰ εἶναι ἱκανοὶ νὰ διδάξουν καὶ ἄλλους.

3 σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ.

3 Σὺ λοιπὸν κακοπάθησε σὰν καλὸς στρατιώτης τοῦ Ἰησοῦ Χριστοῦ.

4 οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ.

4 Ὅταν κανεὶς ὑπηρετῇ ὡς στρατιώτης, δὲν ἐμπλέκεται εἰς τὰς ὑποθέσεις καὶ φροντίδας τοῦ βίου, διὰ νὰ ἀρέσῃ εἰς ἐκεῖνον, ποὺ τὸν ἐστρατολόγησεν.

5 ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ.

5 Ἐὰν δὲ κανεὶς λαμβάνῃ μέρος καὶ εἰς ἀθλητικοὺς ἀγῶνας, δὲν στεφανώνεται, ἐὰν δὲν ἀγωνισθῇ σύμφωνα μὲ τοὺς νόμους τῆς ἀθλήσεως.

6 τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν.

6 Ὁ γεωργός, ποὺ κοπιάζει διὰ νὰ καλλιεργήσῃ τὸν ἀγρόν του, πρέπει πρῶτος νὰ ἀπολαμβάνῃ τοὺς καρπούς, ποὺ θὰ παραχθοῦν. Ἔτσι καὶ σὺ ἀπὸ τὸν πνευματικὸν ἀγρόν, ποὺ καλλιεργεῖς καρποφόρως, πρέπει νὰ ἀπολαμβάνῃς πρῶτος τὴν παρηγορίαν καὶ τὴν τιμὴν καὶ τὴν συντήρησίν σου.

7 νόει ἃ λέγω· δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι.

7 Καταλάβαινε τὴν ἀλληγορικὴν σημασίαν αὐτῶν, ποὺ λέγω. Θὰ τὴν ἐννοήσῃς δέ, διότι εὔχομαι νὰ σοῦ δώσῃ ὁ Κύριος σύνεσιν, ὥστε νὰ διακρίνῃς ὅλα.

8 Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυΐδ, κατὰ τὸ εὐαγγέλιόν μου,

8 Ἐνθυμοῦ τὸν Ἰησοῦν Χριστόν, ποὺ ἔχει ἀναστηθῆ ἐκ νεκρῶν καὶ κατάγεται ἀπὸ τὸν Δαβὶδ σύμφωνα μὲ τὸ εὐαγγέλιον,

9 ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος· ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται.

9 τὸ ὁποῖον κηρύττω καὶ διὰ τὸ ὁποῖον κακοπαθῶ μέχρι σημείου, ὥστε νὰ εἶμαι ἁλυσοδεμένος, σὰν νὰ ἤμουν κακοῦργος. Ἀλλ' ὁ λόγος τοῦ Θεοῦ δὲν εἶναι δεμένος.

10 διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.

10 Διὰ πάντα ταῦτα καὶ διότι τὸ εὐαγγέλιον προοδεύει καὶ δὲν εἶναι δεμένον, μὲ ὑπομονὴν ὑποφέρω ὅλα χάριν ἐκείνων, τοὺς ὁποίους ἐξέλεξεν ὁ Θεός. Καὶ τὰ ὑποφέρω διὰ νὰ ἐπιτύχουν καὶ αὐτοὶ τὴν σωτηρίαν, τὴν ὁποίαν μᾶς ἐξασφαλίζει ἡ μετὰ τοῦ Ἰησοῦ Χριστοῦ κοινωνία καὶ ἡ ὁποία συνοδεύεται μὲ δόξαν αἰώνιον.

Στίχ. 11-13. Αἱ συνέπειαι τῆς διαγωγῆς τῶν Χριστιανῶν καὶ τῶν ὑπηρετῶν τοῦ Χριστοῦ.

11 Πιστὸς ὁ λόγος· εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν·

11 Τὸ ὅτι δὲ οἱ πιστοὶ θὰ ἀπολαύσουν αἰώνιον καὶ ἔνδοξον σωτηρίαν, εἶναι λόγος ἀξιόπιστος. Διότι, ἐὰν ἀπεθάναμεν μαζὶ μὲ τὸν Χριστὸν διὰ τοῦ βαπτίσματος καὶ διὰ τῶν θλίψεων, ποὺ ὑποφέρομεν δι' αὐτόν, μαζί του καὶ θὰ ζήσωμεν εἰς τὴν μέλλουσαν ζωήν.

³) 9. α΄ 8. 1 Τμ. α΄ 18. ⁴) 1 Κρ. θ΄ 7. ⁵) δ΄ 7. 8. 1 Κρ. θ΄ 24 - 27. ⁶⁻⁷) 15. 1 Τμ. δ΄ 6. 1 Κρ. ιδ΄ 37. Μτ. ε΄ 19. 20. κγ΄ 3. κδ΄ 15. ⁸) 1 Τμ. α΄ 11. 1 Κρ. ιε΄ 4. 20. Ῥμ. α΄ 3. 4. β΄ 16. ⁹) 3. α΄ 8. Φλ. α΄ 12 - 14. ¹⁰) Κλ. α΄ 24. 2 Κρ. α΄ 6. δ΄ 12. ¹¹⁻¹³) 1 Τμ. γ΄ 1. δ΄ 9. 1 Θσ. ε΄ 10. 2 Κρ. δ΄ 10. 11. Ῥμ. γ΄ 2. 3. η΄ 17. Μτ. ι΄ 33.

12 εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· εἰ ἀρνούμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς·

12 Ἐὰν δεικνύωμεν ὑπομονήν, τότε καὶ θὰ βασιλεύσωμεν μαζὶ μὲ αὐτόν. Ἐὰν τὸν ἀρνούμεθα, καὶ ἐκεῖνος θὰ μᾶς ἀρνηθῇ.

13 εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται.

13 Ἐὰν ἡμεῖς δεικνύωμεν ἀπιστίαν, ἐκεῖνος μένει πιστὸς εἰς ὅσα ὑπόσχεται. Δὲν ἠμπορεῖ νὰ ἀρνηθῇ τὸν ἑαυτόν του καὶ νὰ ἀθετήσῃ τοὺς λόγους του.

Στίχ. 14-21. Ὁ διάκονος τοῦ εὐαγγελίου ἔναντι τῶν ψευδοδιδασκάλων.

14 Ταῦτα ὑπομίμνησκε, διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίου μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων.

14 Ταῦτα ὑπενθύμιζε εἰς τοὺς πιστοὺς καὶ ἐξόρκιζέ τους ἐνώπιον τοῦ Κυρίου νὰ μὴ λογομαχοῦν, πρᾶγμα ποὺ δὲν ὠφελεῖ εἰς τίποτε, ἀλλὰ φέρει καταστροφὴν εἰς τοὺς ἀκούοντας.

15 σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ Θεῷ, ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας.

15 Προσπάθησε νὰ παραστήσῃς τὸν ἑαυτόν σου εἰς τὸν Θεὸν δοκιμασμένον καὶ τέλειον ἐργάτην, ποὺ δὲν τὸν ἐντροπιάζει τὸ καλοφτιαγμένον ἔργον του, καὶ διδάσκει ὀρθῶς τὸν λόγον τῆς ἀληθείας.

16 τὰς δὲ βεβήλους κενοφωνίας περιΐστασο· ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας,

16 Ἀπόφευγε δὲ τοὺς λόγους, ποὺ εἶναι φωνὲς ἄδειανὲς ἀπὸ οὐσιαστικὸν περιεχόμενον καὶ βεβηλώνουν τὴν ἁπλότητα τῆς ἀληθείας. Διότι αὐτοί, ποὺ κηρύττουν καὶ ἀκολουθοῦν τοὺς λόγους αὐτούς, θὰ προχωρήσουν εἰς μεγαλύτερον βαθμὸν ἀσεβείας.

17 καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει· ὧν ἐστιν Ὑμέναιος καὶ Φιλητός,

17 Καὶ ἡ διδασκαλία των θὰ ἐξαπλωθῇ σὰν γάγγραινα. Δύο δὲ ἀπὸ αὐτοὺς τοὺς ψευδοδιδασκάλους εἶναι ὁ Ὑμέναιος καὶ ὁ Φιλητός,

18 οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι, καὶ ἀνατρέπουσι τήν τινων πίστιν.

18 οἱ ὁποῖοι ἔπεσαν ἔξω ἀπὸ τὴν ἀλήθειαν λέγοντες, ὅτι ἔχει γίνει πλέον ἡ ἀνάστασις, καὶ ἀνατρέπουν τὴν πίστιν μερικῶν.

19 ὁ μέντοι στερεὸς θεμέλιος τοῦ Θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην· ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ· καί· ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου.

19 Ὁ στερεὸς ὅμως θεμέλιος, τὸν ὁποῖον ἐστήριξεν ὁ Θεός, ἡ Ἐκκλησία δηλαδή, ποὺ κρατεῖ τὴν θείαν ἀλήθειαν, στέκει ἀκλόνητος καὶ ἔχει αὐτὴν τὴν σφραγῖδα καὶ ἐπιγραφήν· Ἐγνώρισεν ὁ Κύριος ἐκείνους, ποὺ εἶναι ἰδικοί του· καί· Ἂς απομακρυνθῇ ἀπὸ ἀδικίαν καθένας, ποὺ ὀνομάζει καὶ ὁμολογεῖ τὸ ὄνομα τοῦ Κυρίου.

20 ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ

20 Εἰς ἕνα δὲ σπίτι μεγάλο, ὅπως εἶναι ἡ Ἐκκλησία, δὲν ὑπάρχουν μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ πή-

¹⁴) δ΄ 1. Ττ. γ΄ 1. 1 Τμ. ε΄ 21. ς΄ 4. 2 Πτ. α΄ 12. 2 Κρ. ιγ΄ 10. ¹⁵) 6. Ττ. β΄ 7. 8. 1 Τμ. δ΄ 6. 12. ¹⁶⁻¹⁷) γ΄ 9. 13. 1 Τμ. α΄ 20. δ΄ 7. ς΄ 20. Πρ. δ΄ 17. ¹⁸) Ττ. α΄ 11. 1 Τμ. α΄ 6. 19. ς΄ 21. 1 Κρ. ιε΄ 12. ¹⁹) Ἀρ. ις΄ 5. 26. Ἡσ. κς΄ 13. νβ΄ 11. 2 Κρ. ς΄ 17. Ἰν. ι΄ 14. 27. ²⁰) 1 Τμ. γ΄ 15. 1 Κρ. γ΄ 12. Ῥμ. θ΄ 21. 22. Μτ. ιγ΄ 24 - 30.

ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα, καὶ ἃ μὲν εἰς τιμήν, ἃ δὲ εἰς ἀτιμίαν.

λινα. Καὶ ἄλλα μὲν εἶναι διὰ χρῆσιν τιμητικήν, ἄλλα δὲ διὰ χρῆσιν ἐξευτελισμένην.

21 ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμήν, ἡγιασμένον καὶ εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.

21 Ἐὰν λοιπὸν κανεὶς καθαρίσῃ τὸν ἑαυτόν του καὶ τὸν ξεχωρίσῃ ἀπὸ τὰ ἄτιμα αὐτὰ σκεύη, θὰ εἶναι σκεῦος, ποὺ θὰ χρησιμοποιηθῇ διὰ τιμητικὸν σκοπόν, ἁγιασμένον καὶ εὐμεταχείριστον εἰς τὸν δεσπότην, ἑτοιμασμένον διὰ κάθε ἔργον ἀγαθόν.

Στίχ. 22-26. Πῶς νὰ φέρεται ὁ Τιμόθεος πρὸς τοὺς Χριστιανοὺς καὶ τοὺς ψευδοδιδασκάλους.

22 τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε, δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην μετὰ τῶν ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρδίας.

22 Ἀπὸ τὰς ἐπιθυμίας δέ, ποὺ ἐπικρατοῦν κυρίως εἰς τοὺς νεωτέρους κατὰ τὴν ἡλικίαν, φεῦγε μακράν. Ἐπιδίωκε δὲ τὴν δικαιοσύνην, τὴν πίστιν, τὴν ἀγάπην, τὴν εἰρήνην μὲ ἐκείνους, ποὺ ἐπικαλοῦνται τὸν Κύριον μὲ καθαρὰν καρδίαν καὶ ἀνυπόκριτον εὐλάβειαν.

23 τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς ὅτι γεννῶσι μάχας·

23 Ἀπόφευγε δὲ τὰς ἀνοήτους ἐρεύνας καὶ συζητήσεις, ποὺ δὲν συντελοῦν εἰς τὴν χριστιανικὴν παιδαγωγίαν. Γνώριζε ὅτι αὐταὶ προκαλοῦν φιλονεικίας καὶ ἐχθρότητας.

24 δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον,

24 Ὁ δοῦλος δὲ τοῦ Κυρίου δὲν πρέπει νὰ φιλονεικῇ, ἀλλ' ὀφείλει νὰ εἶναι ἤπιος καὶ γλυκὺς πρὸς ὅλους, ἱκανὸς εἰς τὸ νὰ διδάσκῃ, νὰ εἶναι ἀνεξίκακος,

25 ἐν πρᾳότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας,

25 καὶ νὰ σωφρονίζῃ μὲ πρᾳότητα ἐκείνους, ποὺ ἔχουν ἐναντία φρονήματα. Ποῖος ἠξεύρει, μήπως καμμιὰ φορὰ τοὺς δώσῃ ὁ Θεὸς μετάνοιαν καὶ ὁδηγηθοῦν εἰς τὴν πλήρη καὶ ὀρθὴν γνῶσιν τῆς ἀληθείας,

26 καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.

26 καὶ συνέλθουν ἀπὸ τὴν μέθην, ποὺ τοὺς ἔχει φέρει ἡ παγίδα τῆς πλάνης, εἰς τὴν ὁποίαν τοὺς ἔπιασεν ὁ διάβολος, τοὺς συλλάβῃ δὲ τώρα ὡς αἰχμαλώτους ὁ δοῦλος τοῦ Θεοῦ, διὰ νὰ πράττουν τὸ θέλημα Ἐκείνου!

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Στίχ. 1-9. Ἔρχονται καιροὶ δύσκολοι.

Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί·

Γνώριζε δὲ καλὰ τοῦτο, ὅτι δηλαδὴ κατὰ τὰς τελευταίας αὐτὰς ἡμέρας θὰ ἔλθουν καιροὶ δύσκολοι καὶ ἐπικίνδυνοι.

[21]) 19. γ΄ 17. Ῥμ. θ΄ 23. Πρ. θ΄ 15. [22]) 1 Τμ. α΄ 5. ς΄ 11. Ἑβ. ιβ΄ 14. Ῥμ. ι΄ 12. 13. Πρ. θ΄ 14. [23]) Ττ. γ΄ 9. 11. 1 Τμ. δ΄ 7. ε΄ 11. ς΄ 20. [24]) Ττ. α΄ 7. 1 Τμ. γ΄ 2. 3. 1 Θσ. β΄ 7. [25-26]) γ΄ 7. Ττ. α΄ 9. 1 Τμ. β΄ 4. γ΄ 7. Γλ. ς΄ 1. 1 Κρ. ιε΄ 34. Πρ. η΄ 21. 22.
Γ΄. [1]) 1 Τμ. δ΄ 1.

2 ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι,

2 Διότι οἱ ἄνθρωποι θὰ εἶναι φίλαυτοι καὶ θὰ ἀγαπᾷ ὁ καθένας των μόνον τὸν ἑαυτόν του, θὰ εἶναι φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, ἀπειθεῖς εἰς τοὺς γονεῖς των, ἀχάριστοι, ἀσεβεῖς μὴ ἔχοντες ἱερὸν καὶ ὅσιον.

3 ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι,

3 Θὰ στεροῦνται καὶ αὐτὴν ἀκόμη τὴν φυσικὴν στοργήν, θὰ εἶναι ἀδιάλλακτοι, διαβολεῖς, ἀκρατεῖς εἰς τὰς ἐπιθυμίας των, σκληροὶ καὶ ἀνήμεροι, ἐχθροὶ παντὸς ἀγαθοῦ,

4 προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι,

4 προδόται, αὐθάδεις, φουσκωμένοι ἀπὸ ὑπερηφάνειαν καὶ ἐγωϊσμόν, ἄνθρωποι ποὺ θὰ ἀγαποῦν τὰς ἡδονὰς μᾶλλον παρὰ τὸν Θεόν.

5 ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι. καὶ τούτους ἀποτρέπου.

5 Καὶ θὰ ἔχουν μὲν τὸ ἐξωτερικὸν σχῆμα τῆς εὐσεβείας, θὰ ἔχουν ἀρνηθῆ ὅμως τὴν δύναμίν της. Ἀπόφευγε καὶ τούτους.

6 ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις,

6 Ἀπόφευγέ τους διὰ νὰ μὴ συσταίνωνται, ὅτι ἔχουν σχέσιν μαζί σου. Διότι ἀπὸ αὐτοὺς εἶναι ἐκεῖνοι, ποὺ εἰσχωροῦν εἰς τὰ σπίτια καὶ ὑποδουλώνουν σὰν αἰχμαλώτους γυναικάρια φορτωμένα ἀπὸ σωροὺς ἁμαρτιῶν, ποὺ σύρονται ἀπὸ ποικίλας ἐπιθυμίας,

7 πάντοτε μανθάνοντα καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα.

7 καὶ διαρκῶς περιεργάζονται νὰ μάθουν, ἀλλὰ δὲν ἠμποροῦν ποτὲ νὰ ἔλθουν εἰς ἐπίγνωσιν ἀληθείας.

8 ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσεῖ, οὕτω καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ, ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν, ἀδόκιμοι περὶ τὴν πίστιν.

8 Ὅπως δὲ ὁ Ἰαννῆς καὶ ὁ Ἰαμβρῆς, οἱ μάγοι τοῦ Φαραώ, ἀντεστάθησαν κατὰ τοῦ Μωϋσέως, ἔτσι καὶ αὐτοὶ ἀντιστέκονται κατὰ τῆς ἀληθείας, ἄνθρωποι ποὺ ἔχουν διεστραμμένον τὸν νοῦν καὶ εἶναι ἀποδοκιμασμένοι ὡς πρὸς τὴν πίστιν.

9 ἀλλ' οὐ προκόψουσιν ἐπὶ πλεῖον· ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο.

9 Ἀλλὰ δὲν θὰ προκόψουν περισσότερον· διότι ἡ ἠθική τους ἀμυαλωσύνη θὰ γίνῃ εἰς ὅλους ὁλοφάνερος, ὅπως ἔγινε φανερὰ καὶ ἡ ἠθικὴ ἀφροσύνη τῶν μάγων ἐκείνων.

Στίχ. 10-17. Ὁ Τιμόθεος πρέπει νὰ μείνῃ σταθερός.

10 Σὺ δὲ παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ,

10 Σὺ ὅμως ἔχεις παρακολουθήσει τὴν διδασκαλίαν μου, τὴν ἐν γένει συμπεριφοράν μου, τὴν πρόθεσιν καὶ τὰ ἐλατήριά μου, τὴν φωτισμένην πίστιν μου, τὴν μακροθυμίαν μου, τὴν ἀγάπην μου, τὴν ὑπομονήν μου,

11 τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι ἐγένοντο

11 τοὺς διωγμούς μου, τὰ παθήματά μου, ποὺ μοῦ συνέβησαν εἰς Ἀντιόχειαν, εἰς Ἰκόνιον, εἰς Λύστρα. Τί φοβεροὺς διω-

[2-4]) 1 Τμ. γ΄ 6. 11. Ττ. α΄ 8. 1 Κρ. ι΄ 24. Ῥμ. α΄ 29 - 31. [5]) Ττ. α΄ 16. β΄ 12. Ῥμ. β΄ 20. Μτ. ζ΄ 21. [6-7]) β΄ 25. Ττ. α΄ 11. 1 Τμ. ς΄ 5. Πρ. ιζ΄ 21. Μτ. κγ΄ 13. [8]) Ἐξ. ζ΄ 11. 22. Ττ. α΄ 16. 1 Τμ. ς΄ 5. Πρ. ιγ΄ 8. [9]) 13. β΄ 16. 17. – Ἐξ. ζ΄ 24. η΄ 18. 19. θ΄ 11. [10-11]) 1 Τμ. δ΄ 6. 2 Κρ. α΄ 10. Πρ. ιγ΄ 50. ιδ΄ 2. 5. 19.

ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις. οἵους διωγμοὺς ὑπήνεγκα! καὶ ἐκ πάντων με ἐρρύσατο ὁ Κύριος.

γμοὺς ὑπέφερα καὶ ἀπὸ ὅλους μὲ ἐγλύτωσεν ὁ Κύριος.

12 καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται·

12 Καὶ ὄχι μόνον ἐγὼ ἔπαθον καὶ πάσχω ταῦτα, ἀλλὰ καὶ ὅλοι ὅσοι θέλουν νὰ ζοῦν εὐσεβῶς, ὅπως ἐπιβάλλει ἡ σχέσις μας μὲ τὸν Ἰησοῦν Χριστόν, θὰ καταδιωχθοῦν.

13 πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι.

13 Κακοὶ δὲ ἄνθρωποι, ποὺ καταδιώκουν καὶ βασανίζουν τοὺς εὐσεβεῖς, καθὼς καὶ ἀπατεῶνες, θὰ προχωρήσουν εἰς τὸ χειρότερον καὶ θὰ πλανοῦν τοὺς ἄλλους καὶ θὰ πλανῶνται καὶ αὐτοὶ οἱ ἴδιοι.

14 σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες,

14 Σὺ ὅμως, ὦ Τιμόθεε, μένε ἀκλόνητος εἰς ἐκεῖνα, ποὺ ἔμαθες καὶ ἐβεβαιώθης περὶ τῆς ἀληθείας των ἀπὸ τὴν προσωπικὴν πεῖραν. Καὶ μὴ ξεχάνῃς ποτέ, ἀλλὰ διατήρει ζωηρὰ τὴν γνῶσιν ἀπὸ ποῖον διδάσκαλον ἔμαθες ταῦτα,

15 καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

15 καὶ ὅτι ἀπὸ μικρὸ παιδὶ γνωρίζεις τὰς Ἁγίας Γραφάς, αἱ ὁποῖαι ἠμποροῦν νὰ σοῦ μεταδώσουν τὴν ἀληθῆ σοφίαν, ποὺ ὁδηγεῖ εἰς σωτηρίαν διὰ μέσου τῆς πίστεως εἰς τὸν Ἰησοῦν Χριστόν.

16 πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ,

16 Ὅλη ἡ Γραφὴ ἔχει ἐμπνευσθῆ ἀπὸ τὸν Θεὸν καὶ ἔχει συγγραφῆ ὑπὸ τὸν ἄμεσον φωτισμὸν καὶ τὴν καθοδηγίαν τοῦ Ἁγίου Πνεύματος. Διὰ τοῦτο δὲ εἶναι ὠφέλιμος διὰ νὰ διδάσκῃ τὴν ἀλήθειαν, διὰ νὰ ἐλέγχῃ τὰς πλάνας καὶ παρεκτροπάς, διὰ νὰ διορθώνῃ τοὺς ἁμαρτάνοντας, διὰ νὰ παιδαγωγῇ εἰς τὴν καθόλου ἀρετήν,

17 ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.

17 καὶ ἔτσι ὁ ἄνθρωπος τοῦ Θεοῦ νὰ εἶναι τέλειος, καταρτισμένος εἰς κάθε ἔργον ἀγαθόν.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Στίχ. 1-8. Ἐξορκίζει τὸν Τιμόθεον νὰ κηρύττῃ καὶ νὰ κακοπαθῇ. Τὸ τέλος τοῦ Ἀποστόλου πλησιάζει.

Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ Θεοῦ καὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ,

Σὲ ἐξορκίζω λοιπὸν ἐγὼ ἐνώπιον τοῦ Θεοῦ καὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, ὁ ὁποῖος μέλλει νὰ κρίνῃ ζῶντας καὶ νεκροὺς κατὰ τὴν δευτέραν ἔνδοξον φανέρωσίν του καὶ τὴν βασιλείαν του·

[12]) 1 Θσ. γ΄ 3. 4. Πρ. ιδ΄ 22. Ἰν. ιε΄ 19. Μτ. ι΄ 22. 23. ις΄ 24. [13]) 9. β΄ 17. 1 Τμ. δ΄ 1. [14-15]) α΄ 5. β΄ 2. 1 Τμ. γ΄ 13. Ἰν. ε΄ 39. [16]) 2 Πτ. α΄ 19 - 21. 1 Κρ. ι΄ 11. Ῥμ. ιε΄ 4. Λκ. ις΄ 29. [17]) β΄ 21. 1 Τμ. ς΄ 11. Κλ. α΄ 28.
Δ΄. [1-2]) 5. β΄ 14. 1 Τμ. ε΄ 20. 21. ς΄ 13. 14. Ττ. β΄ 13. 15. 1 Πτ. δ΄ 5. 2 Κρ. ε΄ 10. Πρ. ι΄ 42. κ΄ 20. 21. 31.

2 κήρυξον τὸν λόγον, ἐπίστηθι εὐκαίρως ἀκαίρως, ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον, ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ.

2 κήρυξε τὸν λόγον τοῦ Θεοῦ, στάσου ἐπιτηρητὴς καὶ καθοδηγὸς ἐπὶ τῶν ἀκροατῶν σου ὄχι μόνον εἰς περιστάσεις καταλλήλους, ἀλλὰ καὶ εἰς ἐκείνας, ποὺ φαίνονται ἀκατάλληλοι, ἔλεγξε, ἐπίπληξε, παρηγόρησε μὲ κάθε μακροθυμίαν καὶ μὲ κάθε μέθοδον διδασκαλίας.

3 ἔσται γὰρ καιρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται, ἀλλὰ κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους κνηθόμενοι τὴν ἀκοήν,

3 Πρέπει δὲ ἔτσι ἀκούραστα νὰ ἐπιτελῇς τὸ ἔργον σου, διότι θὰ ἔλθῃ καιρός, ποὺ οἱ ἄνθρωποι δὲν θὰ ἀνέχωνται τὴν ὑγιᾶ καὶ ὀρθὴν διδασκαλίαν, ἀλλὰ σύμφωνα μὲ τὰς ἰδίας των ἐπιθυμίας καὶ ἀρεσκείας θὰ ἐκλέγουν εἰς τοὺς ἑαυτούς των σωρὸν ὁλόκληρον διδασκάλους. Καὶ θὰ προτιμοῦν ἐκείνους, ἀπὸ τὴν διδασκαλίαν τῶν ὁποίων θὰ αἰσθάνωνται γαργαλισμὸν καὶ τέρψιν εἰς τὰ αὐτιά των.

4 καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται.

4 Καὶ ἀπὸ μὲν τὴν ἀλήθειαν θὰ ἀποστρέψουν μὲ δυσαρέσκειαν τὴν ἀκοήν των, θὰ παρεκτραποῦν δὲ μόνοι των εἰς μύθους.

5 σὺ δὲ νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον.

5 Σὺ ὅμως ἄγρυπνα πρόσεχε εἰς ὅλα ὅσα σοῦ παρουσιάζει τὸ ποιμαντικόν σου ἔργον. Κοπίασε· κάμε ἔργον εὐαγγελιστοῦ, φέρε εἰς πλῆρες καὶ αἴσιον πέρας τὴν ὑπηρεσίαν, ποὺ σοῦ ἀνετέθη ἐν τῇ Ἐκκλησίᾳ.

6 ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε.

6 Πρέπει δὲ νὰ ἀγρυπνῇς καὶ νὰ κοπιάζῃς, διότι ἐγὼ τώρα χύνω τὸ αἷμα μου σπονδὴν καὶ θυσίαν εἰς τὸν Θεὸν καὶ ὁ καιρὸς τῆς ἀναχωρήσεώς μου ἀπὸ τὸν κόσμον αὐτὸν εἶναι πολὺ πλησίον.

7 τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα·

7 Ἔχω ἀγωνισθῆ τὸν καλὸν ἀγῶνα πρὸς διάδοσιν τοῦ εὐαγγελίου. Ἔχω φθάσει εἰς τὸ τέλος τοῦ δρόμου τῆς ἀρετῆς καὶ τῆς τηρήσεως τοῦ καθήκοντος. Ἔχω διαφυλάξει τὴν πίστιν.

8 λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής, οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

8 Λοιπὸν μοῦ ἐπιφυλάσσεται ὁ στέφανος, ποὺ ἀνήκει ὡς βραβεῖον εἰς τὴν δικαιοσύνην καὶ ἀρετὴν καὶ τὸν ὁποῖον θὰ μοῦ δώσῃ ὡς ἀνταμοιβὴν ὁ Κύριος κατὰ τὴν ἔνδοξον ἐκείνην ἡμέραν τῆς Κρίσεως, ὁ δίκαιος κριτής. Θὰ τὸν δώσῃ δὲ ὄχι μόνον εἰς ἐμέ, ἀλλὰ καὶ εἰς ὅλους, ὅσοι ἔχουν ἀγαπήσει καὶ μὲ πόθον περιμένουν τὴν ἔνδοξον ἐμφάνισίν του.

Στίχ. 9-13. Καλεῖ τὸν Τιμόθεον νὰ ἔλθῃ πρὸς αὐτόν.

9 Σπούδασον ἐλθεῖν πρός με ταχέως·

9 Προσπάθησε νὰ ἔλθῃς πρὸς ἐμὲ γρήγορα.

10 Δημᾶς γάρ με ἐγκατέλιπεν ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην, Κρήσκης εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν·

10 Σὲ θέλω πλησίον μου, διότι ὁ Δημᾶς μὲ ἐγκατέλιπε ἀγαπήσας τὴν ματαιότητα τοῦ παρόντος κόσμου καὶ ἐπῆγεν εἰς τὴν Θεσσαλονίκην. Ὁ Κρήσκης ἐπῆγεν εἰς Γαλατίαν, ὁ Τίτος εἰς Δάλματίαν.

[3-4]) β΄ 16. 17. γ΄ 1. 1 Τμ. α΄ 4. 6. 10. 2 Θσ. β΄ 11. [5]) α΄ 8. β΄ 3. 1 Θσ. ε΄ 6. Κλ. δ΄ 17. Ἐφ. δ΄ 11. Πρ. ιβ΄ 25. κα΄ 8. [6]) Φλ. α΄ 23. β΄ 17. [7]) 1 Τμ. ς΄ 12. Φλ. γ΄ 14. 1 Κρ. θ΄ 24. Πρ. κ΄ 24. [8]) α΄ 12. 18. β΄ 5. Ἰκ. α΄ 12. 1 Πτ. ε΄ 4. Ἀπ. β΄ 10. 1 Κρ. α΄ 7. θ΄ 25. [9]) 21. α΄ 4. Ττ. γ΄ 12. [10-11]) 16. Φλμ. 24. Κλ. δ΄ 10. 14. Πρ. ιε΄ 37. 38.

11 Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ. Μᾶρκον ἀναλαβὼν ἄγε μετὰ σεαυτοῦ· ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν.

11 Μόνος ὁ Λουκᾶς εἶναι μαζί μου. Παράλαβε τὸν Μᾶρκον καὶ φέρε τον μαζί σου· διότι μοῦ εἶναι χρήσιμος διὰ νὰ μὲ βοηθῇ.

12 Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔφεσον.

12 Τὸν Τυχικὸν δὲ ἀπέστειλα εἰς τὴν Ἔφεσον.

13 τὸν φαιλόνην, ὃν ἀπέλιπον ἐν Τρῳάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας.

13 Τὸ χονδρὸν ἐπανωφόριον, ποὺ ἀφῆκα εἰς τὴν Τρῳάδα εἰς τὸ σπίτι τοῦ Κάρπου, φέρε το, ὅταν ἔλθῃς. Φέρε μαζί καὶ τὰ βιβλία, πρὸ παντὸς δὲ τὰς μεμβράνας.

Στίχ. 14-22. Πληροφορίαι καὶ χαιρετισμοί.

14 Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο· ἀποδῴη αὐτῷ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ·

14 Ὁ Ἀλέξανδρος ὁ χαλκωματᾶς μοῦ ἔκαμε πολλὰ κακά. Ἂς τοῦ ἀποδώσῃ ὁ Κύριος σύμφωνα μὲ τὰ ἔργα του.

15 ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις.

15 Φυλάγου καὶ σὺ ἀπὸ αὐτόν. Διότι πολὺ ἐναντιώθη καὶ ἐπολέμησε τοὺς λόγους, τοὺς ὁποίους καὶ ἐγὼ καὶ σὺ κηρύττομεν.

16 Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον· μὴ αὐτοῖς λογισθείη·

16 Κατὰ τὴν πρώτην μου ἀπολογίαν δὲν ἦλθε κανεὶς μαζί μου, ἀλλ' ὅλοι μὲ ἐγκατέλειψαν. Εἴθε νὰ μὴ τοὺς λογαριασθῇ τοῦτο ἀπὸ τὸν Κύριον.

17 ὁ δὲ Κύριός μοι παρέστη καὶ ἐνεδυνάμωσέ με, ἵνα δι' ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ καὶ ἀκούσῃ πάντα τὰ ἔθνη· καὶ ἐρρύσθην ἐκ στόματος λέοντος.

17 Ὁ Κύριός μου ὅμως παρεστάθη καὶ μοῦ ἔδωκε δύναμιν, διὰ νὰ γίνῃ δι' ἐμοῦ πλήρης ἔκθεσις καὶ βεβαίωσις τοῦ κηρύγματος τοῦ εὐαγγελίου καὶ ἀκούσουν ταύτην ὅλοι οἱ ἐθνικοί. Καὶ ἐγλύτωσα ἀπὸ τὸ στόμα τοῦ λεονταριοῦ. Τόσον μεγάλον κίνδυνον διέτρεξα.

18 καὶ ῥύσεταί με ὁ Κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

18 Καὶ θὰ μὲ γλυτώσῃ καὶ εἰς τὸ μέλλον ὁ Κύριος ἀπὸ κάθε ἐπιβουλὴν καὶ ἐπίθεσιν τοῦ πονηροῦ καὶ τῶν ὀργάνων του καὶ θὰ μὲ διαφυλάξῃ σῶον διὰ τὴν βασιλείαν του τὴν ἐπουράνιον. Εἰς αὐτὸν ἂς εἶναι ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

19 Ἄσπασαι Πρίσκαν καὶ Ἀκύλαν καὶ τὸν Ὀνησιφόρου οἶκον.

19 Χαιρέτησε τὴν Πρίσκαν καὶ τὸν Ἀκύλαν καὶ τοὺς οἰκιακοὺς τοῦ Ὀνησιφόρου.

20 Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ, Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα.

20 Ὁ Ἔραστος ἔμεινεν εἰς τὴν Κόρινθον, τὸν Τρόφιμον δὲ ἀφῆκα ἄρρωστον εἰς τὴν Μίλητον.

---

12) Ττ. γ΄ 12. Ἐφ. ς΄ 21. 13) 20. 2 Κρ. β΄ 12. Πρ. ις΄ 8. κ΄ 6. 14) 1 Τμ. α΄ 20. Ῥμ. β΄ 6. ιβ΄ 19. 15) γ΄ 8. 16) 10. α΄ 15. Φλ. α΄ 7. Λκ. κγ΄ 34. 17) Ψ. κα΄ 22. 2 Τμ. γ΄ 11. 1 Πτ. ε΄ 8. Πρ. κγ΄ 11. κζ΄ 23. 18) 8. 1 Τμ. α΄ 17. 2 Κρ. α΄ 10. 19) α΄ 16. Ῥμ. ις΄ 3. Πρ. ιη΄ 2. 20) 13. Ῥμ. ις΄ 23. Πρ. ιθ΄ 22. κ΄ 4. κα΄ 29.

21 σπούδασον πρὸ χειμῶνος ἐλθεῖν. Ἀσπάζεταί σε Εὔβουλος καὶ Πούδης καὶ Λίνος καὶ Κλαυδία καὶ οἱ ἀδελφοὶ πάντες.

21 Φρόντισε νὰ ἔλθῃς προτοῦ πιάσῃ ὁ χειμώνας.
Σὲ χαιρετᾷ ὁ Εὔβουλος καὶ ὁ Πούδης καὶ ὁ Λίνος καὶ ἡ Κλαυδία καὶ ὅλοι οἱ ἀδελφοί.

22 Ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου. Ἡ χάρις μεθ' ὑμῶν· ἀμήν.

22 Ὁ Κύριος Ἰησοῦς Χριστὸς νὰ εἶναι μετὰ τοῦ πνεύματός σου. Εἴθε ἡ χάρις νὰ εἶναι μαζί σας. Ἀμήν.

---

21) 9. Φλ. δ΄ 22. 2 Κρ. ιγ΄ 12. 22) Φλμ. 25. 1 Τμ. ς΄ 21. Φλ. δ΄ 23.

Η ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗ

Ὁ Τίτος ἦτο ἐξ ἐθνῶν Χριστιανὸς καὶ συναντῶμεν αὐτὸν ὡς ἀκόλουθον τοῦ Παύλου καὶ τοῦ Βαρνάβα εἰς τὰ Ἱεροσόλυμα, ὅτε συνεκροτεῖτο ἐκεῖ περὶ τὸ 51 μ. Χ. ἡ Ἀποστολικὴ Σύνοδος διὰ νὰ ἐπιλύσῃ τὸ ζήτημα, ἐὰν ἡ περιτομὴ καὶ αἱ λοιπαὶ τελετουργικαὶ τοῦ νόμου διατάξεις ἦσαν ὑποχρεωτικαὶ διὰ τοὺς ἐξ ἐθνῶν Χριστιανούς. Ὑπὸ τοιαύτας περιστάσεις εὑρεθεὶς ὁ Παῦλος μετὰ τοῦ Τίτου εἰς Ἱεροσόλυμα, ἐπόμενον ἦτο νὰ μὴ συγκατατεθῇ, ὅπως περιτμηθῇ οὗτος, καθὼς ἠξίουν οἱ Ἰουδαΐζοντες (Γαλάτ. β΄ 1). Ἀκολούθως γενόμενος συνεργὸς τοῦ Παύλου ἀποστέλλεται ὑπ' αὐτοῦ ἐπανειλημμένως εἰς Κόρινθον, κατὰ τὴν τετάρτην δὲ ἀποστολικὴν ὁδοιπορίαν του καταλείπεται ὑπ' αὐτοῦ εἰς τὴν Κρήτην. Ἐκ Κρήτης δὲ ἔπειτα ὁ ἀπόστολος συνεχίσας τὴν ὁδοιπορίαν αὐτοῦ πρὸς ἐπίσκεψιν τῶν ἐν τῇ Μικρᾷ Ἀσίᾳ Ἐκκλησιῶν καὶ καταλιπὼν ἐν Ἐφέσῳ τὸν Τιμόθεον, ὅτε ἐπέστρεφεν εἰς Ρώμην ἀπηύθυνε πρὸς τὸν Τίτον τὴν ἐπιστολὴν ταύτην, ἐν τέλει τῆς ὁποίας καλεῖ αὐτὸν νὰ ἔλθῃ εἰς Νικόπολιν. Πράγματι δὲ φαίνεται νὰ συνηντήθη ἐκεῖ μετὰ τοῦ Παύλου, ὡς δυνάμεθα νὰ συμπεράνωμεν ἐκ πληροφορίας τινὸς τῆς Β΄ πρὸς Τιμόθεον ἐπιστολῆς (δ΄ 10), κατὰ τὴν ὁποίαν, ὅτε ὁ ἀπόστολος ἀντιμετώπιζεν ἐν Ρώμῃ τὸν κίνδυνον τοῦ μαρτυρίου, ὁ Τίτος εὑρίσκετο εἰς τὴν Δαλματίαν.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Στίχ. 1-9. Ποῖοι νὰ ἐκλέγωνται ἐπίσκοποι.

Παῦλος, δοῦλος Θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν	Παῦλος, δοῦλος τοῦ Θεοῦ, Ἀπόστολος δὲ τοῦ Ἰησοῦ Χριστοῦ διὰ νὰ διαδίδω μεταξὺ ἐκείνων, ποὺ ἐξέλεξεν ὁ Θεός, τὴν πίστιν καὶ τὴν ἐπίγνωσιν τῆς ἀληθείας, ποὺ ὁδηγεῖ εἰς τὴν εὐσέβειαν,
2 ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων,	2 καὶ μᾶς στηρίζει εἰς τὴν ἐλπίδα τῆς αἰωνίου ζωῆς, ποὺ μᾶς ὑπεσχέθη ὁ Θεός, ὁ ὁποῖος δὲν ψεύδεται ποτέ. Μᾶς ὑπεσχέθη δὲ ὁ Θεὸς τὴν αἰωνίαν ζωὴν πρὸ πολλῶν αἰώνων, διὰ πρώτην φορὰν εἰς τὸν Παράδεισον, ὅταν ἐξεδιώκοντο οἱ πρωτόπλαστοι,
3 ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν Θεοῦ,	3 ἐφανέρωσε δὲ αὐτὴν εἰς χρόνους καταλλήλους, τοὺς ὁποίους αὐτὸς ὥρισεν. Ἐφανέρωσε δηλαδὴ τὸν λόγον του, τὸ εὐαγγέλιόν του, μὲ τὸ κήρυγμα, ποὺ ὡς θησαυρὸς πολύτιμος καὶ ἱερὸς ἐνεπιστεύθη καὶ ἀνετέθη εἰς ἐμὲ σύμφωνα μὲ τὴν διαταγὴν τοῦ σωτῆρος μας Θεοῦ.
4 Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν· χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν.	4 Ἐγὼ λοιπὸν ὁ Παῦλος γράφω τὴν ἐπιστολὴν ταύτην πρὸς τὸν Τίτον, γνήσιον τέκνον, ποὺ ἀνεγεννήθη ἀπὸ ἐμὲ διὰ τῆς πίστεως, ἡ ὁποία εἶναι κοινὴ καὶ εἰς αὐτὸν καὶ εἰς ἐμέ. Εἴθε νὰ εἶναι μαζί σου χάρις, ἔλεος, εἰρήνη ἀπὸ τὸν Θεὸν Πατέρα καὶ τὸν Κύριον Ἰησοῦν Χριστόν, τὸν Σωτῆρα μας.
5 Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην,	5 Δι' αὐτὸ σὲ ἀφῆκα εἰς τὴν Κρήτην, διὰ νὰ συμπληρώσῃς ὅσα παρέλειψα ἐγὼ καὶ ἐγκαταστήσῃς εἰς κάθε πόλιν πρεσβυτέρους, ὅπως ἐγὼ προφορικῶς σὲ διέταξα.

Α΄. [1-3]) 1 Τμ. α΄ 1. 11. β΄ 3. 6. 7. δ΄ 3. ς΄ 3. 2 Τμ. α΄ 1. 9 - 11. Ῥμ. α΄ 1. 2. 5. γ΄ 3. 4. [4]) 1 Τμ. α΄ 2. Γλ. β΄ 3. 2 Κρ. β΄ 13. [5]) 1 Τμ. α΄ 3. Πρ. ιδ΄ 23.

6 εἴ τίς ἐστιν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστά, μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ ἀνυπότακτα.	6 Θὰ ἐγκαταστήσῃς δὲ πρεσβύτερον μόνον, ἐὰν ἀπὸ τοὺς ὑποψηφίους κανεὶς δὲν διατελῇ ὑπὸ κατηγορίαν, ἐὰν εἶναι σύζυγος μιᾶς καὶ μόνης γυναικός, καὶ ἐὰν ἔχῃ παιδιά, τὰ ὁποῖα νὰ εἶναι πιστὰ εἰς τὸν Χριστὸν καὶ νὰ μὴ κατηγοροῦνται ὡς ἄσωτα ἢ ἀνυπότακτα.
7 δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ,	7 Διότι πρέπει ὁ ἐπίσκοπος νὰ εἶναι ἀκατηγόρητος, ὡς ἐπιστάτης, εἰς τὸν ὁποῖον ὁ Θεὸς ἐμπιστεύθη τὴν διεύθυνσιν τοῦ οἴκου του, νὰ μὴ εἶναι αὐθάδης, ὀργίλος, φίλος τοῦ κρασιοῦ, νὰ μὴ εἶναι βίαιος καὶ δέρνῃ μὲ τὰ χέρια του τοὺς ἄλλους, νὰ μὴ μαζεύῃ κέρδη παράνομα καὶ αἰσχρά.
8 ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ,	8 Ἀλλὰ πρέπει νὰ εἶναι φιλόξενος, νὰ ἀγαπᾷ τὸ καλόν, νὰ εἶναι φρόνιμος, δίκαιος, εὐσεβής, ἐγκρατής,
9 ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.	9 νὰ ὑπερασπίζῃ καὶ νὰ κρατῇ καλὰ τὸν ἀληθῆ καὶ ἀξιόπιστον λόγον, ποὺ συμφωνεῖ πρὸς τὴν ἀποστολικὴν διδαχήν, διὰ νὰ δύναται καὶ νὰ προτρέπῃ μὲ τὴν ὑγιᾶ καὶ ὀρθὴν διδασκαλίαν καὶ νὰ ἐξελέγχῃ καὶ ἀποστομώνῃ ἐκείνους, ποὺ ἀντιλέγουν.

Στίχ. 10-16. Πῶς νὰ καταπολεμῶνται οἱ ψευδοδιδάσκαλοι.

10 Εἰσὶ γὰρ πολλοὶ καὶ ἀνυπότακτοι, ματαιολόγοι καὶ φρεναπάται, μάλιστα οἱ ἐκ περιτομῆς,	10 Εἶναι δὲ ἀνάγκη νὰ ἔχῃ τὴν δύναμιν καὶ ἱκανότητα αὐτήν, διότι ὑπάρχουν καὶ πολλοὶ ἀνυπότακτοι, ποὺ διδάσκουν λόγια κούφια καὶ μάταια καὶ μὲ αὐτὰ ἐξαπατοῦν τὰ μυαλὰ τῶν ἄλλων, πρὸ παντὸς αὐτοί, ποὺ προέρχονται ἀπὸ τοὺς περιτετμημένους Ἰουδαίους.
11 οὓς δεῖ ἐπιστομίζειν, οἵτινες ὅλους οἴκους ἀνατρέπουσι διδάσκοντες ἃ μὴ δεῖ αἰσχροῦ κέρδους χάριν.	11 Αὐτοὺς πρέπει ὁ ἐπίσκοπος νὰ ἀποστομώνῃ. Εἶναι ἄνθρωποι, ποὺ ἀναστατώνουν καὶ ἀναποδογυρίζουν ὁλόκληρα σπίτια, μὲ τὸ νὰ διδάσκουν ἐκεῖνα, ποὺ δὲν πρέπει, χάριν αἰσχροῦ κέρδους.
12 εἶπέ τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης· Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.	12 Εἶπε κάποιος ἀπὸ τοὺς Κρῆτας αὐτούς, ποὺ τὸν ἔχουν ὡς προφήτην ἰδικόν τους· Οἱ Κρῆτες εἶναι πάντοτε ψεῦσται, κακὰ θηρία, ἄνθρωποι, ποὺ θέλουν νὰ τρώγουν πολὺ χωρὶς νὰ ἐργάζωνται.
13 ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής. δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει,	13 Ἡ μαρτυρία αὐτὴ εἶναι ἀληθής. Δι' αὐτὸν τὸν λόγον ἔλεγχέ τους ἀπότομα, διὰ νὰ ὑγιαίνουν καὶ νὰ μὴ εἶναι ἀρρωστημένοι εἰς τὴν πίστιν,

[6-8]) β΄ 12. 1 Τμ. γ΄ 2 - 5. 2 Τμ. β΄ 24. γ΄ 2. 3. 1 Κρ. δ΄ 1. [9]) β΄ 1. 1 Τμ. α΄ 10. 2 Τμ. β΄ 25. [10-11]) 1 Τμ. α΄ 6. ε΄ 13. ς΄ 5. 2 Τμ. γ΄ 6. 13. Γλ. β΄ 12. ς΄ 3. Πρ. ια΄ 2. [12]) Φλ. γ΄ 19. 1 Κρ. ιε΄ 33. Πρ. ιζ΄ 28. [13-14]) β΄ 2. 1 Τμ. α΄ 4. δ΄ 1. 2 Τμ. α΄ 6. δ΄ 4. Κλ. β΄ 22. Μτ. ιε΄ 9.

14 μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις καὶ ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν.

14 καὶ νὰ μὴ προσέχουν εἰς Ἰουδαϊκοὺς μύθους καὶ εἰς ἐντολὰς ἀνθρώπων, ποὺ ἀποστρέφονται τὴν ἀλήθειαν.

15 πάντα μὲν καθαρὰ τοῖς καθαροῖς· τοῖς δὲ μεμιαμμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις.

15 Τέτοιοι μῦθοι καὶ ἐντολαὶ ἀνθρώπων εἶναι καὶ αἱ διακρίσεις τῶν φαγητῶν εἰς καθαρὰ καὶ ἀκάθαρτα. Ἂς ἠξεύρουν δὲ αὐτοί, ποὺ κάνουν τὰς διακρίσεις αὐτάς, ὅτι ὅλα μὲν εἶναι καθαρὰ εἰς τοὺς καθαροὺς κατὰ τὴν καρδίαν καὶ τὴν συνείδησιν, εἰς τοὺς μολυσμένους ὅμως καὶ ἀπίστους δὲν εἶναι τίποτε καθαρόν, ἀλλ' ἔχει μολυνθῆ καὶ ὁ νοῦς των καὶ ἡ συνείδησίς των.

16 Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

16 Ὁμολογοῦν, ὅτι γνωρίζουν τὸν Θεόν, μὲ τὰ ἔργα των ὅμως τὸν ἀρνοῦνται. Εἶναι σιχαμένοι καὶ ἀπειθεῖς καὶ ἄχρηστοι διὰ κάθε ἔργον ἀγαθόν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Στίχ. 1-15. Καθήκοντα καὶ ὑποχρεώσεις ὡρισμένων τάξεων Χριστιανῶν.

Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ.

Σὺ ὅμως δίδασκε ἐκεῖνα, ποὺ πρέπουν καὶ ἁρμόζουν εἰς τὴν ὀρθὴν καὶ ὑγιᾶ διδασκαλίαν.

2 Πρεσβύτας νηφαλίους εἶναι, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ.

2 Δίδασκε τοὺς γέροντας νὰ εἶναι προσεκτικοὶ καὶ ἄγρυπνοι, σεβαστοί, φρόνιμοι, νὰ μὴ εἶναι ἄρρωστοι καὶ ἀδύνατοι, ἀλλ' ὑγιεῖς καὶ ἀκλόνητοι εἰς τὴν πίστιν, τὴν ἀγάπην, τὴν ὑπομονήν.

3 Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους,

3 Τὸ ἴδιο καὶ αἱ ἡλικιωμέναι γυναῖκες δίδασκε νὰ εἶναι εἰς τὴν ἐξωτερικήν των ἐμφάνισιν καὶ ἐνδυμασίαν, ὅπως πρέπει εἰς ἱερὰ πρόσωπα, ποὺ ἐμφανίζονται ὡς εὐσεβῆ καὶ ἀφωσιωμένα εἰς τὸν Θεόν. Νὰ μὴ ἔχουν τὸ πάθος τῆς διαβολῆς καὶ τῆς κατακρίσεως, οὔτε νὰ εἶναι ὑποδουλωμέναι εἰς τὸ πολὺ κρασί, καὶ νὰ διδάσκουν τὰ καλά,

4 ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους,

4 διὰ νὰ σωφρονίζουν καὶ βάζουν μυαλὸ εἰς τὰς νέας, ὥστε νὰ ἀγαποῦν αὗται τοὺς ἄνδρας των καὶ τὰ παιδιά των,

5 σώφρονας, ἁγνάς, οἰκουρούς, ἀγαθάς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται.

5 καὶ νὰ εἶναι ἐγκρατεῖς, ἁγναί, νὰ φροντίζουν διὰ τὰ σπίτια των, νὰ εἶναι ἀγαθαὶ καὶ νὰ ὑποτάσσωνται εἰς τοὺς ἰδίους των ἄνδρας, διὰ νὰ μὴ βλασφημῆται ἀπὸ αὐτοὺς ὁ λόγος τοῦ Θεοῦ ἐξ αἰτίας τῆς δυστροπίας τῶν γυναικῶν των.

6 Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν,

6 Τὸ ἴδιο καὶ τοὺς νεωτέρους πρότρεπέ τους νὰ εἶναι ἐγκρατεῖς καὶ συγκρατημένοι.

---

[15]) 1 Τμ. δ' 2 - 4. Ῥμ. ιδ' 14. 20. Μτ. ιε' 11. κγ' 26. [16]) 1 Τμ. ε' 8. 2 Τμ. γ' 5. 8.

Β'. [1]) α' 9. 2 Τμ. α' 13. γ' 14. δ' 5. [2]) α' 8. 13. 1 Τμ. γ' 2. ε' 1. 1 Θσ. α' 3. [3-5]) 10. 1 Τμ. β' 9. 10. γ' 11. ε' 2. 13. 14. ς' 1. Ἐφ. ε' 22. [6]) 1 Τμ. ε' 1.

7 περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα, ἀφθαρσίαν,

7 Ἀλλὰ συγχρόνως πρέπει καὶ σὺ νὰ παρέχῃς τὸν ἑαυτόν σου εἰς ὅλα ὑποδειγματικὸν παράδειγμα καλῶν ἔργων. Καὶ εἰς τὴν διδασκαλίαν ἀπόφευγε κάθε νόθευσιν, ὥστε αὐτὰ ποὺ διδάσκεις νὰ εἶναι ἡ ἀλήθεια ἀδιάφθορος, νὰ ἐμπνέουν τὴν σεμνότητα, νὰ διακρίνωνται διὰ καθαρότητα διδασκαλίας,

8 λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον.

8 νὰ εἶναι λόγος ὑγιής, ἐλεύθερος ἀπὸ τὴν ἀρρώστιαν τῆς αἱρέσεως, ἀκατηγόρητος, ὥστε καθένας, ποὺ ἀνήκει εἰς τὴν ἀντίθετον πρὸς τὸν Χριστὸν καὶ τὸ εὐαγγέλιον μερίδα, νὰ ἐντροπιασθῇ, ἐπειδὴ δὲν θὰ ἔχῃ νὰ λέγῃ κανὲν κακὸν δι' ἡμᾶς.

9 Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας,

9 Πρότρεπε τοὺς δούλους νὰ ὑποτάσσωνται εἰς τοὺς δεσπότας των, νὰ εἶναι εἰς αὐτοὺς εὐάρεστοι εἰς ὅλα, νὰ μὴ ἀντιλέγουν.

10 μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν, ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ἡμῶν Θεοῦ κοσμῶσιν ἐν πᾶσιν.

10 Νὰ μὴ κλέπτουν, ἀλλὰ νὰ δεικνύουν κάθε καλὴν καὶ σύμφωνον πρὸς τὸ θεῖον θέλημα ἀξιοπιστίαν καὶ τιμιότητα. Καὶ νὰ φέρωνται ἔτσι, διὰ νὰ γίνωνται στολισμὸς καθ' ὅλα τῆς διδασκαλίας τοῦ σωτῆρος μας Θεοῦ.

11 Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις,

11 Εἶναι δὲ δυνατὸν καὶ οἱ δοῦλοι νὰ γίνουν στολισμὸς τῆς διδασκαλίας τοῦ Χριστοῦ, διότι διὰ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐφανερώθη ἡ χάρις τοῦ Θεοῦ, ποὺ εἶναι σωτήριος δι' ὅλους τοὺς ἀνθρώπους.

12 παιδεύουσα ἡμᾶς ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι,

12 Καὶ μᾶς παιδαγωγεῖ ἡ χάρις τοῦ Θεοῦ, ἵνα, ἀφοῦ ἀρνηθῶμεν τὴν ἀσέβειαν καὶ τὰς ἐπιθυμίας τοῦ ματαίου καὶ ἁμαρτωλοῦ αὐτοῦ κόσμου, ζήσωμεν εἰς τὸν παρόντα αἰῶνα μὲ ἐγκράτειαν εἰς τὴν ζωήν μας, καὶ μὲ δικαιοσύνην πρὸς τοὺς πλησίον μας καὶ μὲ εὐσέβειαν πρὸς τὸν Θεόν.

13 προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,

13 Νὰ ἐνισχυώμεθα δὲ εἰς τὴν ἐνάρετον αὐτὴν ζωὴν περιμένοντες μὲ χαρὰν τὴν μακαριότητα ποὺ ἐλπίζομεν καὶ τὴν φανέρωσιν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος μας, τοῦ Ἰησοῦ Χριστοῦ,

14 ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων.

14 ὁ ὁποῖος ἔδωκε τὸν ἑαυτόν του εἰς θάνατον ὑπὲρ ἡμῶν, διὰ νὰ μᾶς ἐξαγοράσῃ ἀπὸ κάθε παράβασιν τοῦ νόμου καὶ νὰ μᾶς καθαρίσῃ διὰ τὸν ἑαυτόν του ὡς λαὸν ἐκλεκτὸν καὶ ἰδικόν του, γεμᾶτον ζῆλον διὰ καλὰ ἔργα.

15 Ταῦτα λάλει καὶ παρακάλει καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς· μηδείς σου περιφρονείτω.

15 Ταῦτα λέγε καὶ πρότρεπε καὶ ἔλεγχε μὲ πᾶσαν ἐξουσίαν. Κανεὶς ἂς μὴ σὲ περιφρονῇ.

[7-8]) 1 Τμ. δ' 12. ε' 14. 2 Θσ. γ' 9. [9-10]) γ' 2. 1 Τμ. ς' 1. Κλ. γ' 22. Μτ. ε' 16. [11-12]) γ' 3. 4. 1 Τμ. β' 4. γ' 16. 1 Ἰν. β' 16. Ἐφ. α' 4. Ῥμ. ς' 1 - 4. [13]) 1 Τμ. ς' 14. 2 Τμ. δ' 8. Κλ. α' 5. Φλ. γ' 20. 21. 1 Κρ. α' 7. Ῥμ. ε' 2. [14]) 1 Τμ. β' 6. 1 Πτ. β' 9. 10. Ἐφ. α' 14. β' 10. ε' 25. Γλ. α' 4. Πρ. κ' 28. — Ἐξ. ιθ' 5. Δτ. ζ' 6. ιδ' 2. κς' 18. [15]) 1 Τμ. δ' 11. 12. 1 Κρ. ζ' 6.

ΚΕΦΑΛΑΙΟΝ Γ´.

Στίχ. 1-8. Ὁδηγίαι διὰ τὴν συμπεριφορὰν τῶν Χριστιανῶν.

Υπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι,

Υπενθύμιζε εἰς αὐτοὺς νὰ ὑποτάσσωνται εἰς τοὺς ἄρχοντας καὶ εἰς καθένα, ποὺ ἔχει ἐξουσίαν, νὰ πειθαρχοῦν καὶ νὰ εἶναι πρόθυμοι καὶ ἕτοιμοι διὰ κάθε ἔργον ἀγαθόν.

2 μηδένα βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πρᾳότητα πρὸς πάντας ἀνθρώπους.

2 Νὰ μὴ κακολογοῦν κανένα, νὰ μὴ μάχωνται καὶ φιλονεικοῦν, νὰ εἶναι ἐπιεικεῖς καὶ ὑποχωρητικοί, νὰ ἐπιδεικνύουν κάθε πρᾳότητα πρὸς ὅλους ἀνεξαιρέτως τοὺς ἀνθρώπους.

3 Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους·

3 Πρέπει δὲ νὰ εἴμεθα ἐπιεικεῖς καὶ πρᾶοι πρὸς ὅλους, διότι καὶ πρὸς ἡμᾶς ἔτσι ἐδείχθη ὁ Θεός. Διότι ἤμεθα κάποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς καὶ ἐπλανώμεθα μακρὰν τοῦ Θεοῦ καὶ τῆς ἀληθείας καὶ ἤμεθα δοῦλοι εἰς ἐπιθυμίας καὶ εἰς κάθε εἶδος ἡδονάς, ἐπερνούσαμεν δὲ τὴν ζωήν μας μὲ μοχθηρίαν καὶ φθόνον καὶ ἤμεθα ἄξιοι νὰ μᾶς μισοῦν, ἀφοῦ καὶ ἡμεῖς οἱ ἴδιοι ἐμισούμεθα μεταξύ μας.

4 ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ,

4 Ὅταν δὲ ἐφανερώθη ἡ ἀγαθότης καὶ ἡ φιλανθρωπία τοῦ σωτῆρος μας Θεοῦ,

5 οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος Ἁγίου,

5 μᾶς ἔσωσεν ὄχι ἀπὸ ἔργα ἀρετῆς, ποὺ ἐκάμαμεν ἡμεῖς, ἀλλὰ σύμφωνα μὲ τὸ ἔλεός του, διὰ τοῦ λουτροῦ τοῦ βαπτίσματος, εἰς τὸ ὁποῖον μᾶς ξαναγεννᾷ καὶ μᾶς ξανακαινουργώνει τὸ Ἅγιον Πνεῦμα,

6 οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν,

6 τὸ ὁποῖον ὁ Θεὸς ἔχυσεν ἐπάνω μας πλούσια διὰ μέσου τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Σωτῆρος μας.

7 ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι κληρονόμοι γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίου.

